# ΣΤΟΙΧΕΙΑ ΤΗΣ ΜΕΤΑΦΥΣΙΚΗΣ

ΥΠΟ

ΕΥΓΕΝΙΟΥ ΤΟΥ ΒΟΥΛΓΑΡΕΩΣ

Διακόνου ἔτι ὄντος, καὶ ἐνιαχοῦ σχολαρχοῦντος τοῖς αὐτοῦ Ἀκροωμένοις πρώην ἀναπτυσσόμενα.

Νῦν δὲ παρὰ τῶν

ΖΩΣΙΜΑΔΩΝ ΑΥΤΑΔΕΛΦΩΝ

ΑΝΑΣΤΑΣΙΟΥ, ΝΙΚΟΛΑΟΥ, ΖΩΗ, ΚΑΙ ΜΙΧΑΗΛ

Τοῖς

Ὁμογενέσι Φιλολόγοις φιλοτίμῳ δαπάνῃ ἐπὶ τῷ διανεμηθῆναι δωρεὰν τύποις ἐκδοθέντα.

Ἐπιστασίᾳ Σπυρίδωνος Βλαντῆ.

---

## ΤΜΗΜΑ Γʹ.

---

Ὅπερ ἐστὶν

## Η ΨΥΧΟΛΟΓΙΑ.

ΕΝΕΤΙΗΣΙΝ.

Παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων.

1805

ΣΧΟΛΗ … ΙΩΑΝ…

# ΤΗΣ
# ΜΕΤΑΦΥΣΙΚΗΣ
## ΒΙΒΛΙΟΝ Γ'.
### ΟΠΕΡ ΕΣΤΙΝ
## Η ΨΥΧΟΛΟΓΙΑ.

---

§. χξέ. Περὶ τὴν ἄϋλον φύσιν, κατάγε τοὺς ἀρχοειδεστέρους τε, καὶ γενικωτέρους τῶν ἐν αὐτῇ λόγων, καὶ τοὺς ὁπωσοῦν τῆς μεταφυσικῆς σκέψεως ἐξημμένους, ὅσον ἀπόχρη τὸν νοῦν γυμνασθέντας, ἐπ' αὐτὰς δὴ τὰς φύσεις, ὧν νοῦς ἡ Κορυφαιοτάτη τῶν περιεχουσῶν δυνάμεων, ξεναγεῖ ἡ ὑπόσχεσις. (§. ά. καὶ β'.) Εὖ δ' ἂν ἔχοι καὶ αὕτη τοῖς ἐπιφανεστάτοις ἐν Φιλοσοφίᾳ τῆς διδασκαλίας ἡ τάξις, οἰκείως οἰκονομηθεῖσα καὶ προσφόρως τοῖς πράγμασιν. Ἀπὸ γὰρ τοῦ κατὰ τὴν μονάδα ἑνοειδοῦς, διὰ τὸ καθόλου, ὄντος, ἐπὶ τὸ κατὰ τὴν ὑλικὴν δυάδα προβᾶσα, σωματοειδὲς σύνταγμα, καὶ μικρὸν, οἷα εἰκὸς τῇ ὕλῃ συνυπτιάσασα, τοῖς χωριστοῖς εἴδεσι καὶ ἀϋλοτέροις, ἐν τῷ ἀνὰ χεῖρας Τρίτῳ Βιβλίῳ τελειωτικῶς συνεξαίρεται, καὶ τῶν καθ' ὕπαρξιν ἐνδεχομένων (§. σγ'.) τὴν θεωρίαν προβάλλεται, τῶν μάλιστα τιμιωτάτων. Αὗται δὲ εἰσὶν αἱ τὰ λογικὰ ζῶα διακοσμοῦσαι ψυχαὶ, καὶ εἴτινα ἄλλα (ὧν ὁ λόγος ἐκ παρόδου θίξει.) παρ' αὐτὰς, ὑπὸ τῆς πρωτίστης Αἰτίας (περὶ ἧς ἐν τῷ μετὰ τοῦτο) οὐσιωθέντα ὑπέστη πνεύματα, ἐν ἀμερίστῳ οὐσιώσει τὸ εἶναι ἔχοντα.

§. χξϛ'. Τοῦ γοῦν ἐπιστήμης τῆς πρώτης Φιλοσοφίας, ἔξορον εἴτις τὴν περὶ ψυχῆς, καὶ τῶν ἄλλων πνευμάτων θεωρίαν ὑποτοπήσειεν, αὐτόθεν ἄγνοιαν ἑαυτοῦ καταγνοίη, καὶ

τοῦ ἐκτὸς καὶ τῆς ἕξεως. Ἑκατέρου, παρὰ τὴν θατέρου ἔλλειψιν τῆς σχέσεως διεκπίπτοντος. Εἰ μὴ γὰρ ὁ περὶ τῶν ἀσωμάτων, καὶ ἀΰλων λόγος ταύτῃγε καθοσιωθείη (§. δ'.) σχολῇ γ' ἂν περί τι ἡ Μεταφυσικὴ ἐνδικώτατα πραγματεύοιτο, οὐδ' αὖ τις ὑπολειφθείη σκέψις ὅλως περὶ τὰ κάλλιστα τῶν ὄντων καὶ τιμιώτατα. Ὅτι μὲν γὰρ τῆς ὕλης ὑπεριδρυμένη τυγχάνει ψυχῆς ἡ φύσις, πολλοῖς μὲν ἐδείχθη, εἰ δέ τισι καὶ ἠπόρηται, τὸ γε μὴν εἰς ἀπορίαν ἐλθεῖν, εἰ μηδὲν ἄλλο, τὴν ἐξιδιοποιουμένην τῶν ἀϋλοτέρων τὴν γνῶσιν, εἰς ἔρευναν τὴν ἑαυτὴν αὐτῆς ἐπισπάσεται. Οὐ γὰρ περὶ τῆς φυτικῆς μάλιστα ὧδε πρόκειται λόγος, οὐδὲ περὶ τῆς ἁπλῶς αἰσθητικῆς, καὶ κτηνώδους (ὅτι μὴ δι' ἐκείνην), ὡς ἐντεῦθεν τινὰ ὑπονοῆσαι τῆς φυσικῆς εἶναι μοίρας τὸ σπουδαζόμενον, ἀλλ' ἐκείνης προηγουμένως, ἧς ἐπεὶ νοῦς ἡ οὐσία ἔξω κιγκλίδων τῶν τῆς Φυσιολογίας ἡ διάσκεψις ἵσταται.
„ Οὐδὲ γὰρ περὶ πάσης ψυχῆς διαλεκτέον τῷ φυσικῷ (ὡς
„ Ἀριστοτέλης (1) φησίν.) οὐδὲ γὰρ πᾶσα ψυχὴ φύσις,
„ ἀλλ' ὅση μὴ ἄνευ ὕλης. Περὶ δὲ τοῦ θεωρητικοῦ νοῦ (2) ἕτερος λόγος· τοῦ γὰρ Θεολόγου (3) ἂν εἴη τὸ περὶ τῶν χωριστῶν εἰδῶν διαλέγεσθαι· ὡς ὀρθῶς ἔχειν καὶ τὸ τοῦ Σιμ-
„ πλικίου, (4) οὐδὲ φυσικὴν ἁπλῶς, οὐδὲ μεταφυσικὴν
„ τὴν περὶ ψυχῆς θεωρίαν ἀποφαινομένου, ἀλλ' ἀμφοῖν ἐ-
„ χομένην. Ἐοικέναι τε ἐν πλάτει τὸν Ἀριστοτέλην καὶ τὴν
„ φυσιολογίαν, καὶ τὴν μετὰ τὰ φυσικὰ τιθέμενον φιλοσο-
„ φίαν, ἑκατέραν μέχρι ψυχῆς, τὴν μὲν ἀνάγειν, τὴν
„ δὲ προάγειν.

§. χξζ'. Ἐπεὶ τοίνυν οἰκείως τε, καὶ προσφυῶς ἔχων τῇ προκειμένῃ πραγματείᾳ, ὁ περὶ τῆς λογικῆς ψυχῆς ἀνωμολόγηται λόγος, φέρε δὴ τὸ καθαῖρον μὲν τὰ πνεύματα, φωταγωγοῦν δὲ εἰς γνῶσιν αὐτὰ (τρεῖς δὲ ἤδη τάδε πό-

(1) Μεταφ. Ε.
(2) Ἐν Β'. περὶ ψυχῆς.
(3) Φιλόπον. ἐν Β'. περὶ ψυχ. Ὑπομν. Καὶ ὁ Θεῖος Δαμασκ. περὶ γνώσεως Κεφ. γ'., καὶ ξζ'.
(4) Ἐν Προοιμ. τοῦ Ὑπομν. εἰς τὸ περὶ ψυχῆς.



πότνια φωνῶ.) Πνεῦμα συνεργὸν ἐπικαλεσάμενοι, καὶ τὸ ὑλοειδοῦς τῶν παθῶν νέφος, ἔτι μᾶλλον διὰ προσοχῆς τε καὶ βίου ὁσιότητος ὑπερκύψαντες, τῆς τῶν πνευμάτων θεωρίας ἀρξώμεθα, τὰ παλαιὰ καὶ περὶ τούτων, ὡς ἔθος, τοῖς νεωτέροις συγκαταμαστεύοντες, καὶ τὴν ἀλήθειαν ἐκ παντὸς χρόνου, ὅς κἂν ἴχνος αὐτῆς ἀμυδρὸν ὑποδεῖξαι ἰσχύσειεν, ἐπιμελῶς συμπορίζόμενοι· τὰ γὰρ δυσθήρατα ὄντα καὶ δυσαντίβλεπτα τῶν θεωρημάτων, οἷον δήπου πᾶς τις τὸ περὶ ψυχῆς εἶναι φήσει, οὐδὲ βραχεῖς τινες, οὐδ' ἐν βραχεῖ τῷ χρόνῳ τολμήσαντες ἂν ὤνησαν· πολλοῦγε καὶ δεῖ, εἴγε καὶ συχνοὶ, καὶ ἐν συχνῷ ἐπιχειρήσαντες, μόλις ἐξήρκεσαν. Ὥστε ἐπαινεῖν εἰκὸς κἀν τούτοις Ἀριστοτέλην, τὸν τοιᾷδε μεθόδῳ περὶ ψυχῆς ξυγγράφειν, αὐτόν τε προῃρημένον, καὶ τοῖς ἄλλοις ὑποθέμενον. „ Ἐπισκοποῦντας γάρ φησι (1) περὶ
„ ψυχῆς, ἀναγκαῖον ἅμα διαποροῦντας περὶ ὧν εὐπορεῖν
„ δεῖ, προελθόντας τὰς τῶν προτέρων δόξας, συμπαραλαμ-
„ βάνειν ὅσοι τι περὶ αὐτῆς ἀπεφήναντο· ὅπως τὰ μὲν εἰ-
„ ρημένα καλῶς λάβωμεν, εἰ δέ μή τι καλῶς, τοῦτ' εὐλαβη-
„ θῶμεν. Διὸ δὴ καὶ τῶν πολλῶν εὖ ὧν περὶ ψυχῆς ζητεῖν πρόκειται, τόγε τῆς Ἀθανασίας, ἐξ Ἑλλήνων ἅμα τε καὶ βαρβάρων μανθάνειν δεῖν ὁ Σωκράτης παραινεῖ τῷ Κέβητι· „ Πολλὴ μὲν ἡ Ἑλλὰς ὦ Κέβης, εἰπὼν (2) ἐν ᾗ ἔ-
„ νεισί που ἀγαθοὶ ἄνδρες, πολλὰ δὲ καὶ τὰ τῶν βαρβάρων
„ γένη, οὓς πάντας χρὴ διερευνᾶσθαι, ζητοῦντας τοιοῦτον ἐπωδόν, ὃς ἂν δεδιόσιν ἡμῖν δηλονότι τὸν θάνατον, ὥσπερ τὰ μορμολύκια, ἑκάστης ἡμέρας ἐπᾴδῃ, ἕως ἂν ἐξιάσηται. Καίτοι καὶ τοῦ σκοπουμένου οὐκ ἔξω ἡμῶν ἑκάστου κειμένου, ἐν ἡμῖν δὲ αὐτοῖς ὄντος, καὶ τῶν ἐν ἡμῖν ἐνδοτάτου καὶ κυριωτάτου, καὶ τοιούτου ὡς ἔπος εἰπεῖν, οἷον μάλιστα αὐτὸς ἕκαστος, πρὸς δὴ τοῖς ἄλλοις, καὶ ἑαυτοῖς καθηγεμόσιν ἐν τούτῳ χρηστέον. Αὕτη καὶ γὰρ ἀτεχνῶς ἐπιστήμη τις ἂν εἴη, ἣν τὸ πολὺ μέρος αὐτοδιδάκτοις εἶναι οὐδαμῶς ἀπείρηται. Καὶ
„ ἐπὶ

(1) Ἀριστ. ἐν Α'. περὶ Ψυχῆς.
(2) Πλάτων ἐν Φαίδωνι.

„ ἐπὶ τὸ γνῶθι σαυτὸν, τὸ σκόπει σεαυτὸν, καὶ τὸ πρόσεχε σεαυτῷ, οὐδὲν ἧττον μεῖον, εἰ μὴ καὶ μᾶλλον, ἢ τὰ ἐν Δελφοῖς γεγραμμένα (1) ἐνάξει. Τοῦτο δή ἔτι τις τῶν Νεωτέρων παρῄνεσε, (2) καὶ πρὸ ἐκείνου, πρὸς Σιμίαν τε καὶ Κέβητα λέγων Σωκράτης (3) πολύγε πρότερον· „ ζητεῖν δὲ χρὴ καὶ αὐτοὺς μετ' ἀλλήλων· ἴσως γὰρ ἂν οὐδὲ ῥᾳδίως εὕροιτε μᾶλλον ὑμῶν δυναμένους τοῦτο ποιεῖν. Καὶ Ἡράκλειτος, ἐδιζησάμην ἐμεωϋτὸν, φήσας, ὡς οὐ μέγα τι καὶ σεμνὸν ὅπως ἀλλὰ καὶ πάνυ συντελὲς διαπεπραγμένος. (4) Ταύτητοι καὶ αὐτὸς ἐμμελετῶν κατ' ἐμὲ, τῷ ἐν ἐμοὶ ἀνθρώπῳ, τῆς διδασκαλίας ταυτησὶ ἅψομαι. Ὧν τε αὖ ἐν ἀκριβεῖ καὶ τελείᾳ πληροφορίᾳ ἐμαυτῷ συναισθοίμην διερευνώμενος γινομένων, ἐν μοίρᾳ ὑποθέσεων προτάξας, ἐξ αὐτῶν περὶ ἑκάστου τῶν ζητουμένων, τὸ δοκοῦν ἐπιψηφιῶ. Σκοπεῖτε δὲ καὶ αὐτοὶ μάλ' ἀκριβῶς, εἰ τὰς αὐτὰς ἔμοιγε συνειδοίητε διαθέσεις, καὶ σφίσιν αὐτοῖς συμβαινούσας, ὡς ἂν ἔπειτα καὶ τοῖς ὑποσυναχθησομένοις ἐντεῦθεν, κατὰ λόγον συνεπιψηφίσησθε· ἐν γὰρ τοῖς περὶ ψυχῆς λόγοις, ἧς ἡ οὐσία ἐν ἀφανεῖ καὶ ἀπόπτῳ ἐστὶ κειμένη, τὸ ἀπὸ τῶν ἐνεργειῶν τὴν ἀρχὴν ποιεῖσθαι τῆς θεωρίας δεῖν, καὶ Ἀριστοτέλει (5) δοκεῖ, καὶ κοινῇ πᾶσι τοῖς φιλοσοφοῦσιν ἐγκέκριται (6) καὶ τοῖς „ θνητὴν εἶναι τὴν ψυχὴν ὑπολαβοῦσι, καὶ τοῖς ἀθάνατον.

ΚΕ-

(1) Ὅρα Πλουτάρχ. περὶ τοῦ ἐν Δελφοῖς Εἶ.
(2) Γενουήνσ. ἐν προοιμ. τῆς ψυχοσοφίας.
(3) Πλάτων ἐν Φαίδ.
(4) Παρὰ Πλουτάρχ. πρὸς Κολώτην.
(5) Περὶ ψυχ. ἐν Προοιμ.
(6) Φιλόπον. εἰς τὸ ὑπόμν. αὐτ.



# ΚΕΦΑΛΑΙΟΝ Α'.

## Περὶ ὧν σφίσιν ἑαυτοῖς προσέχοντες συνίσμεν ἐνεργειῶν, καὶ δυνάμεων.

### Ὑποθέσεις.

§. χξη'. Α'. Ἐνεῖναι μέν μοι τῇ φύσει δύναμίν τινα συνορῶ, δι' ἧς ἐμοί τε αὐτῷ, καί τισι τῶν ἐν ἐμοὶ, καὶ περὶ ἐμὲ, καὶ ἐκτὸς ἐμοῦ συμβαινόντων, ἐπιβάλλων προσέχω. Καί μοι δοκῶ, νῦν μὲν τῇ περὶ τὸ αὐτὸ προσοχῇ ἐπὶ ποσὸν ἐμμένειν, νῦν δὲ ἀφ' ἑτέρου ἐφ' ἕτερον τῇ αὐτῇ δυνάμει μεθίστασθαι, τῶν ἐπιβολῶν ἐμοὶ τούτων ἀμειβομένων, καὶ ἄλλας ἄλλων διαδεχομένων. Καλεῖν δὲ φιλῶ τὴν μὲν οὕτως ἔχουσαν ἐν ἐμοὶ δύναμιν, γνωστικὴν, τὰς δ' ἐξ αὐτῆς προϊούσας ἐνεργείας, γνώσεις. Καὶ τούτων ἃς μὲν ἕτερον ὅ,τι τύχοι, ἢ αὐτὸ θεωρῶ, οἷον ἥλιον, γνώσεις κατ' εὐθυωρίαν πως περαινομένας, ἃς δ' αὖ αὐτοῦ ἐπιστασίαν τῷ ἐνεργήματι, τῆς αὐτῆς ἐνεργείας τε ὑπούσης, καὶ ὅρου περὶ ὃν ἡ ἐνέργεια, οἷον ὅτι τῇ ἐμῇ γνώσει προσέχω, καὶ τὴν ἐξ ἧς πρόεισιν αὐτὴ δύναμιν, ἥτις τε οὖσα ἐστὶ, καὶ ὅπως ἔχουσα τυγχάνει, περισκοπῶ, γνώσεις ἐπιστροφάς τε, καὶ κατ' ἐπανάκαμψιν. Ἑκατέρῳ δὲ τῷ εἴδει παρὰ πόδας συνίημι, καί τινα προσεπισυμβαίνουσαν ἐμοὶ συνείδησιν, καθ' ἣν ἀμέλει ἀγνοεῖν μὴ δυνάμενος, ὡς ἤδη τι γιγνώσκων εἰμὶ, σύνοιδά τε ἐμαυτῷ εἰδότι τί, καὶ ἐννοῶν συνεπινοῶ ἅμα, ἣν φέρω καὶ νῦν τοῦ νοητοῦ νόησιν.

§. χξθ'. Β'. Ἐντετοπίσθαι δέ μοι τῇ κεφαλῇ τὴν γνωστικὴν ταύτην δύναμιν, καὶ ὡς ἀπὸ κορυφῆς ἐπὶ τὰ ἐκτὸς ἀποτείνεσθαι, ἐν ταῖς κατ' εὐθυωρίαν ἐπιβολαῖς, οὐδὲ χρόνων, οὐδὲ διαστημάτων ὅλως τὴν ἀπότασιν παραποδιζόντων, ἐμφιλοχωρεῖν δέ πως αὐτὴν ἑαυτῇ ἐν ταῖς ἀδιαστάτοις, καὶ ἀνεκπτώτως μέντοι, ὡσανεὶ δὲ κυκλικῶς ἐπανιοῦσαν κατ' ἐπιστροφήν τινα, καὶ ἀνάκαμψιν, ἀρχῆς τε ἅμα τῆς αὐτῆς καὶ πέρατος γινομένης, συμπροϊέναι δὲ καὶ συμπαρομαρτεῖν τὰς συ-



συ-

συνειδήσεις ταῖς αἰσθήσεσιν ἅμα, οὐκ οἶδ᾽ ὅπως, ἀλλ᾽ ἐνάγομαι φρονεῖν, ἐμαυτῷ προσέχων τε καὶ συνεπιστάμενος.

§. χο΄. Γ΄. Ἐμβατεύοντι δέ μοι κατ᾽ ἐπιμονὴν τῇ περί τι προσοχῇ τῶν δυσχερεστέρων (οὐδὲ γὰρ περὶ ἄττα ἂν ἐπικατατεινοίμην, ἐπίσης εὐεπιβόλως ἔχω· ἀλλὰ τῶν μὲν ἔχομαι δὴ τῇ δυνάμει εὐκρατῶς τε καὶ ἐρρωμένως, τῶν δὲ ῥαδίως ἀπολισθαίνω καὶ διαπίπτω, τῶν δὲ οὐδ᾽ ἀρχὴν γοῦν οἷός εἰμι περιδράξασθαι, ἧπερ καὶ τούτων αὐτὸς ἐμαυτῷ συνῄσθημαι.) ὑποθερμαίνεσθαί μοι δοκεῖ ἡ τῆς γνωστικῆς δυνάμεως χώρα, καὶ οἷον παθαίνεσθαι ἐκβιαζομένη αὐτὴ ἡ δύναμις.

§. χοα΄. Δ΄. Διασκεπτομένῳ δὲ, ὡς εἰκὸς, ὅθεν ἄρα ἡ ἀρχὴ, τοῦ νῦν μὲν τῳδὶ, νῦν δὲ τῳδὶ ἤτῳ ἑτέρῳ γνωστικῶς με προσέχειν, ἐπιεικῶς ἄλλοτε μὲν οἴκοθεν δοκεῖ, καί πως ἀπ᾽ ἐμαυτοῦ διοριζόμενον, ἄλλοτε δ᾽ ἔξωθεν, καὶ ὑπὸ ἄλλων πως ἐναγόμενον.

§. χοβ΄. Ε΄. Εἰδέναι δ᾽ ὑπείληφα ὡς ἐνάγει με τὰ ἔξωθεν ἐπιόντα, προσέχειν τε καὶ ἐπιβάλλειν αὐτοῖς γνωστικῶς, διὰ κινήσεως τῆς οὕτω τῶν ἐν ἐμοὶ αἰσθητηρίων ἐμποιουμένης. Κινεῖ δέ ποτε καί τις ἐντόθειος σφοδρότερον, οὐκ οἶδ᾽ ὅθεν οὐδ᾽ ὅπως ἐνεγερθεῖσά μοι κίνησις, εἰς τὸ συνειδέναι κατ᾽ αἴσθησιν ἐνδομυχοῦσαν ὅπως διάκειμαι. Καί ποτε καὶ τῶν Αἰσθητηρίων ἔμοιγε ἀτρεμούντων, ὡς ἐν ὕπνοις, κινήσεις παντοῖαι, ὡς ἐγ᾽ ᾦμαι, προσπίπτουσαι, παραπλησίων ἐπιβολῶν, ταῖς ὧν ἄλλοτε προησθόμην ἐμοὶ παραίτιοι γίνονται. Εἶναι δὲ τῶν καθ᾽ ὕπαρ τὰς ὄναρ μᾶλλον ὑφειμένας, καὶ οἷον ἐμφάσεις τινὰς, ἐξ ἀνακλάσεως, ἀμυδροτέρας, ἐμαυτῷ ἔοικα συνεπισταμένῳ, φύσει γὰρ λαμπροτέρα ἡ αἴσθησις ἐμοὶ γίνεται τῆς φαντασίας. Ταύτας δὲ λέγω, ἢ μὲν δυνάμεις ἔξω αἴσθησιν, ἔσω αἴσθησιν, καὶ φαντασίαν· ἢ δ᾽ ἐνέργειαι αἰσθήματα τὰ μὲν ἔξω, τὰ δ᾽ ἔσω, καὶ φαντάσματα.

§. χογ΄. Ϛ΄. Γίνεται δέ μοι συνεχῶς λίαν, ἐπεὶ δύω, ἢ πλειόνων τινῶν κατὰ τὸ αὐτὸ, καὶ τούτων ὁμοίων, ἢ διαφερόντων, ἐνίοτε δὲ καὶ ὁπωσοῦν ὑπεναντιουμένων ἐφεξῆς ποτε ᾔσθημαι, ἢ πεφάντασμαι, ἢ ἄλλως πως ἔγνων, ἢ τούτων τὸ μὲν κατ᾽ αἴσθησιν, τὸ δὲ κατ᾽ ἄλλην τινὰ προσείληφα δύνα-

να-



μιν, θατέρου μετὰ χρόνον ὑποβαλλομένου, καὶ θατέρου, ἢ τῶν ἄλλων τὴν γνῶσιν ἀναπεμπάζεσθαι, καὶ οἷον συμπαραλαμβάνειν, οἷς συνεπέβαλον. Οὕτω δέ τοι, ὡς ποτὲ μὲν, οἷα καὶ πρὶν ἅμα, οἱονεὶ αὐτόματα τῇ γνωστικῇ δυνάμει ῥαδίως συνυποτρέχειν, μὴ συνειδότι ὅτι καὶ πρὶν αὐτὰ συνυπέδραμε, μηδὲ τούτου ὅλως φροντίζοντι, ποτὲ δὲ καὶ καλῶς ἐπιγινώσκοντι. Καὶ ποτὲ μὲν ὡρισμένως τε καὶ σαφῶς οὐχὶ, τοῦτο δὲ μόνον, ὡς ἀορίστως τοῖς ἤδη γινωσκομένοις, συνυπεγνώσθη καὶ ἄλλα τινὰ ἄλλοτε πρότερον, ὑποφαίνεται· ποτὲ δὲ καὶ μόλις ἀνακαλούμενα ὑπεισέρχεται· ποτὲ δὲ οὐδὲ μόλις. Τὸ μὲν οὖν, ἔργον τῆς κοινῆς εἶναι φασὶν αἰσθήσεως, τὸ δὲ δὴ μνήμης ἐντελοῦς, τὸ δὲ μνήμης ἀμυδροτέρας, τὸ δὲ λήθης παντελοῦς, τὸ δ᾽ ἀναμνήσεως.

§. χοδ΄. Ζ΄. Ἐφ᾽ ὧν δὲ αὐτοδιορίστως τε, καὶ αὐτοκινήτως ἥκω τοῦ γνωστικοῦ χρώμενος, ἐπὶ τούτων οὐ πάνυτι συντελεῖν μοι ἐπειγομένῳ, τὰς θύραθεν ἐπιούσας κινήσεις συνίημι, ὅτι μὴ πᾶσα ἀνάγκη αἰσθέσθαι τινὸς προελόμενον, οἷον ἰδεῖν, ἢ ἅψασθαι, ἢ ἀκοῦσαι. Ἢν δὲ φαντασθῆναι δέοι, καὶ τὴν ὁποιανοῦν ἐντόθειον κίνησιν, ἐξ ἧς τὸ φάντασμα, ὅλην ἀπ᾽ ἐμαυτοῦ ἠρτημένην οἶδα τὸ τηνικαῦτα, πρὸς ἣν τὰς ἀπὸ τῶν ἐκτὸς, τοσοῦτο δεῖ ῥοπὴν ἔχειν τινὰ, ὅσῳ γε καὶ εἰς ἀνατροπὴν, καὶ ἀναίρεσιν ἐκείνης αὗται προσίστανται. Ἢν δὲ καὶ ὑπὲρ τὴν φαντασίαν ᾖ τὸ σκοπούμενον, καὶ αὐτῶν δὴ τῶν ἐνδογενῶν κινήσεων τὴν τυχοῦσαν, οὐχ ὅπως οὐδὲν συνεισφέρειν ἡγοῦμαι εἰς τὸ τὴν σκέψιν προάγειν, ἀλλὰ δὴ καὶ τοῦ γνωστικοῦ παρενοχλεῖν, καὶ τοῦ προκειμένου ἀπάγουσαν, ἐφ᾽ ἕτερον βίᾳ ἀντιμετάγειν, καὶ ἀνθεφέλκεσθαι.

§. χοε΄. Η΄. Οὕτω δὲ οἴκοθεν πρὸς τὸ, ἤτοι αἰσθέσθαι τινὸς, εἴτ᾽ οὖν καὶ φαντασθῆναι ἐναγόμενος, τὰς ἐν ἐμοὶ ταύτας ῥοπὰς τῶν πρὸς ὁπότερον τύχοι ἀπαιτουμένων κινημάτων διαστέλλειν πως ἀναγκάζομαι, καὶ τὰς μὲν προτέρας ἡγεῖσθαι, τὰ δ᾽ ὕστερα, εἴγε δι᾽ ἐκείνας ταῦτα. Καὶ δὴ καὶ κινήσεις αὐτὰς ἀποφαίνεσθαι δυνάμεώς τινος αὐθορμήτου τε καὶ αὐτορρεποῦς (οἵαν τὴν βούλησιν λέγειν εἰώθαμεν) αἳ τῶν κατὰ τὰ σώματα μακρῷ εἰσὶ διαφέρουσαι· ταῖς μὲν γὰρ, ἐξ

 ἀλ-

ἄλλης ἀεὶ αἰτίας (§. χιή.) πότε ἐπὶ τὴν φορὰν ἐνδόσιμον, καὶ ὁ κατ᾽ αὐτὴν διορισμός· ταῖς δὲ αὐτόθεν ἤτε ἴξις, καὶ ἡ τῆς ἴξεως μεταβολή, καὶ ἡ πρόοδος, καὶ ἡ κατάπαυσις.

§. χος΄. Θ΄. Καὶ ταῦτα δὲ ἐμοὶ αὐτῷ συνειδέναι ἔχω πάνυ καλῶς, διὰ προσοχῆς ἐμβατεύων, ὅτι πολλάπως ἀνακεκραμένα τῇ ὕλῃ, καὶ ταῖς κατ᾽ αὐτὴν περιπαθείαις, οἷον μεγέθεσι, σχήμασι, κινήσεσι, καὶ τοῖς τοιούτοις ἀνατυπούμενος, καὶ πολλοῖς οὐδὲν ἧττον ἐπιβάλλω τοῖς τούτων ἁπάντων ἀπηλλαγμένοις, οἷστισι, καὶ λίαν ἐκβιαζόμενος ἴχνος τι παχύτητος περιελεῖν, οὐχ οἷός εἰμι συνιδεῖν οὐδέν· ἢ οὐχὶ τοιοῦτό τι συνορῶ, ἐν ᾧ τὸ γινώσκειν ὅ,τίποτε ἐστὶ περιεσκέπτομαι, ἐν ᾧ τὸ βούλεσθαι, ἐν ᾧ τὸ εἶναι, ἐν ᾧ τ᾽ ἀληθές, ἐν ᾧ δύναμιν, καὶ τὰ παραπλήσια; τῶν γὰρ τοιούτων ἐπιεικῶς οὐδενί, κἂν ὅτι πολὺ βουληθείην, σωματικὸν πάθος, ὧν οἶδα, οὐδὲ τὸ τυχὸν προσάψαι δυνήσομαι· ἢ πρότερον ἂν τοῦ προκειμένου ἐκπέσοιμι. Καλείσθω γοῦν εἰ δοκεῖ, τί γὰρ τὸ κωλῦον; τοῦτο τὸ εἶδος καθαρὰ νόησις, οἷα δήτις γνῶσις, ἡ πάσης ἐνύλου περιστάσεως καθαρεύουσα· ἢ δότι δύναμις τις.

§. χοζ΄. Ι΄. Κατὰ δὴ τάσδε τὰς ὁποιασοῦν τοῦ ἐν ἐμοὶ γνωστικοῦ ἐνεργείας, μηδεμιᾶς τῶν οἷς ἂν προσέχοιμι παραθέσεως πρὸς ἄλληλα γινομένης, οὐδὲ λόγου τινὸς κατ᾽ οἰκειότητα τὴν μεταξὺ τούτων, ἢ διαφορὰν θεωρουμένου, αἱ γνώσεις καθ᾽ ἁπλῆν προσοχὴν ὀρθῶς ἐμοὶ δοκοῦσι καὶ εἶναι, καὶ ὀνομάζεσθαι. Καὶ τούτων, αἱ μὲν τῆς ὕλης πάντη καθαρεύουσαι νοήσεις, ἐπιβολαὶ ἁπλαῖ, αἱ δὲ μή, καὶ αὗται, διά γε τὸ ἀπαράθετον τῶν κατ᾽ αὐτὰς γινωσκομένων, ἁπλαῖ ὡσαύτως, ἴδια δέ, τὰ μὲν φαντάσματα ἰνδάλματα, τὰ δ᾽ αἰσθήματα ἀντιλήψεις. Ἐπεὶ δὲ καὶ ἐπιβολὴν ἐπιβολῇ οἷός εἰμι παραβάλλειν, καὶ ἴνδαλμα ἰνδάλματι, καὶ αἴσθημα αἰσθήματι, καὶ ἐπιβολὴν δὲ ἰνδάλματι καὶ αἰσθήματι, καὶ ταῦτα ἀλλήλοις, τούτων τε τοὺς λόγους θατέρου πρὸς θάτερον πέφυκα ἀναθεωρεῖν, καὶ ποτὲ μέν, ἢ συμβαίνοντα ὑφ᾽ ἓν ἄγειν, ποτὲ δὲ ὡς ἀλλοτρίως ἔχοντα ἀπάγειν τε ἀλλήλων καὶ διϊστᾶν, ὅθεν ἐπάναγκες εἶναι κρίνω, τὴν εἰς τοῦτο περιοῦσαν ἐμοὶ δεξιότητα, τῆς ἐν τῷ ἁπλῶς προσέχειν τοῖς

πα-



παρεσταμένοις, καὶ πράγματι καὶ ὀνόματι διαστέλλειν· καὶ τὴν μὲν κατ᾽ αὐτὴν δύναμιν Κριτικὴν ἀποκαλεῖν, τὴν δὲ ἐνέργειαν, Κρίσιν.

§. χοή. ΙΑ΄. Ἐν ᾧ δέ τι κατὰ Κρίσιν γινώσκω τοῦτο ἐμαυτῷ σύνοιδα, ὅτι ἐνεργείᾳ μιᾷ ἁπλουστάτῃ τοῦ γνωστικοῦ, οὐχ ἑνί τινι καὶ μόνῳ, πλείοσι δὲ ἅμα, καὶ κατὰ τὸ αὐτὸ ἐν ἀκαρεῖ τυγχάνω προσέχων. Συνορῶν μὲν γάρ, οἷς ἐνοῦσάν τινα ἐνορῶ οἰκειότητα, ἅμα τε αὐτοῖς ἐπιβάλλω, καὶ ὅτι συμβατά ἐστιν· οἷον ἐν ᾧ τὰ τῷ αὐτῷ ἴσα, καὶ ἀλλήλοις ἀποφαίνομαι εἶναι, τῆς τε πρώτης ἰσότητος ἔχομαι γνωστικῶς, ἑκατέρων τῆς πρὸς τὸ τρίτον, καὶ τῆς δευτέρας, τῆς αὐτῶν τούτων πρὸς ἄλληλα. Καὶ τρίτης δέ, τῆς τῶν ἰσοτήτων αὐτῶν πρὸς ἀλλήλας. Οὐδὲ γὰρ ἂν δυναίμην ποτέ, ἤτοι τῆς πρώτης ἐπιλαθεὶς συνάψαι τὴν δευτέραν, ἢ τῆς δευτέρας ἀλογήσας, τὴν πρώτην· τὸ γὰρ ἓν ἀσύναπτον. Ἀπούσης δὲ καὶ τῆς τρίτης, ἥπερ συναπτικὴ γίνεται τῶν ἄκρων, παραπλησίως οὐ συσταθήσεται ἡ αὐτῶν ἐκείνων συνάφεια. Καὶ ἀνανεύων δέ, ἐπὶ τῶν διαφερόντων, κἂν σφόδρα ἐναντιώτατα ταῦτα ᾖ, ἅμα καὶ αὐτῶν, καὶ ἧς ἔχουσι μάχης στοχάζομαι. Οἷον ὅτι ἡ ἔστιν, ἢ οὐκ ἔστι κρίνων, τοῦ τε εἶναι, καὶ τοῦ μή, καὶ τοῦ ἀσύμβατα εἶναι ταῦτα ἀλλήλοις μιᾷ ῥοπῇ γνώσεως ἐπιβάλλω. Εἰ γὰρ διΐστημι αὐτὰ γνωστικῶς τε καὶ ἀποφαντικῶς, δῆλον ὅτι καὶ τὰ διϊστάμενα, καὶ τὴν τούτων διαμάχην ἅμα συνεπισκοπῶ. Ἐκπεσὼν γὰρ τῆς θατέρου ἐννοίας, τίνος ποτὲ θάτερον ὃ περινοῶ διαστήσομαι; ἢ οὐ πρὶν φθάσας ἐνόησα; ἀλλὰ πλειόνων ὄντων τίνος ποτέ; ἢ τοῦ ἀμέσως; οὐκοῦν νοήσω κατ᾽ αὐτὸ τὸ ἀμέσως τῶν λοιπῶν διαστείλας. Ὡσαύτως δὲ καὶ εἰ τοῖς μὲν διϊσταμένοις, τῇ δὲ διαστάσει μηδαμῶς ἐπιβάλλω, πῶς ἔπειτ᾽ αὐτὰ διαστάσεως μηδεμιᾶς νοουμένης, ἢ ἀλλήλων διϊστάμενα λογισθήσεται; ὥστε ἐν ἑνὶ ἀμερεστάτῳ καὶ ἀκαρεῖ νεύματι, ἢ ἀνανεύματι, πλειόνων ἅμα διαφερόντων, εὖ οἶδ᾽ ὅτι ἡ κατὰ τὴν Κρίσιν ἐνέργεια περιέχεται.

§. χοθ΄. ΙΒ΄. Καὶ τῶν Κρίσεων δέ, ἔστι μὲν πρὸς ἃς ὡρισμένως ἔχω, ἔστι δὲ πρὸς ἃς δυσδιορίστως καί πως ἠρέμα ἑτεροκλινῶς οὕτω φάναι, μετά τινος ὑποτρεχούσης ἐμοὶ ὑπονοίας πρὸς τοὐναντίον· ἔστι δὲ πρὸς ἃς καὶ πάντη ἀορίστως·

ϛως. Τετάχθωσαν οὖν ἐν τρίταις, ἐφ' ὧν οὐδόλως συνορᾶν ἔχω, τὸν ἐγχαράττοντα ταῖς ἁπλαῖς ἐπιβολαῖς λόγον, πότερον κατ' οἰκείωσιν ὢν τυγχάνει, ἢ ἀλλοτρίωσιν; οἷον περιττοὶ τὸν ἀριθμὸν οἱ ἀστέρες; Ἀλλ' ἄρτιοι; Καὶ αἱ παραπλήσιαι. Ἀριθμείσθωσαν δὲ ἐν δευτέραις, ὅσαις ὑπαυγάζει, οὐ μὴν οὐκ ἄνευ ὑποδισταγμοῦ τινός, ὁ λόγος τῆς σχέσεως· οἷον ἄνισοι τὰ μεγέθη ἀλλήλοις οἱ ἀστέρες, ἴσοι δὲ τὰς ἀφ' ἡμῶν ἀποστάσεις, εἴτις Πτολεμαΐσειε· καὶ αἱ τοιαῦται. Λογιζέσθωσαν δὲ ἐν ταῖς πρώταις, αἱ τὴν σχέσιν τῶν νοουμένων προδηλοτάτην ἐμφαίνουσαι· ὧν εἴδη δύο. Αἱ μὲν γὰρ ἐξ ἀντιλήψεων, ἢ ἰνδαλμάτων εἰσὶ συνιστάμεναι, καὶ κρίσεις αὗται περὶ τὰ κατὰ μέρος ἐπιφερόμεναι, εἰς ὧν δὴ τὴν γνῶσιν αἴσθησις ἐστὶν ἡ ἐνάγουσα· οἷον λαμπρὸς ὁ ἥλιος, σφαιροειδὴς ἡ σελήνη, θερμὸν τουτὶ τὸ σῶμα, λευκὸν ἐκεῖνο. Αἱ δὲ ἐκ νοερῶν ἐπιβολῶν, εἰσὶ δὲ καὶ αὗται διτταί, ἤτοι γὰρ πρώτως αὐτόθεν ἐμοὶ δῆλαι εἰσὶ τὸ ἐναργὲς κεκτημέναι, οἷον ὅτι τὸ ὅλον ἴσον αὐτοῦ τοῖς μέρεσι, καὶ τὰ τρίτῳ ὄντα ἴσα, καὶ ἀλλήλοις. Ἢ γοῦν δευτέρως, καὶ ἐξ ἄλλων ἡγησαμένων, οἷον ὅτι εἴπερ ἴσοι τὰ μεγέθη οἱ ἀστέρες, καὶ τὰς ἀποστάσεις πάντως ἀνίσους ἔχοντες διατελοῦσιν. Εἰ δὲ ταύτας ἴσας, ἐκεῖνα ἄνισοι. Δοκοῦσι δέ μοι καὶ οἱ Παλαιοί, (1) αἷς συνῄδεσαν ἑαυτοῖς γνώσεσι προσέχοντες, τὴν τετράδα τῶν ἐν ἡμῖν γνωστικῶν ὑποθέσθαι δυνάμεων. Καὶ παρὰ τὴν αἴσθησιν, καὶ τὴν φαντασίαν τὰς τῶν κατὰ μέρος οὔσας ἀντιληπτικάς, δόξαν μὲν εἰρηκέναι τὴν περὶ τὰ δοξαστά, διάνοιαν δὲ τὴν περὶ τὰ ἐπιστητά, καὶ διανοητά, νοῦν δὲ τὸν περὶ τὰ νοητὰ ἐνασχολούμενον. Καὶ τῆς μὲν δόξης σύμβολον λαβεῖν τὴν τριάδα, τὴν δὲ δυάδα τῆς διανοίας, τοῦ δὲ νοῦ τὴν μονάδα· ὅτι ἐπὶ μὲν τῶν κοινῶν ἐννοιῶν, περὶ ἃς ἡ κατὰ τὸν Νοῦν τελεωτάτη ἕξις ἐνασχολεῖται, στερρόντως ἵσταται τὸ γνωστικόν, ὡς ἐφ' ἑνὸς βεβηκός, καὶ μηδοπωσοῦν ἐξιστάμενον. Ἐπὶ δὲ τῶν ἐπιστητῶν

ἀφ'

(1) Ὅρα τὸν Φιλόπονον ἐν Προοιμ. τῶν εἰς τὰ περὶ ψυχ. τοῦ Ἀριστ. Ὑπομ. Καὶ τὸν αὐτόν, ἐκ Σιμπλίκ. ἐν τοῖς περὶ ψυχ. τοῦ αὐτοῦ Κεφ. Α΄.



ἀφ' ἑτέρας ἐφ' ἑτέραν γνῶσιν μεταβαίνει τε καὶ μεθίσταται, καὶ (ἵνα τοῖς ἐκείνων χρησάμενος εἴπω ῥήμασιν) ὅθεν ποι πρόεισι, δυαδικῶς ὁριζόμενον· ἐπὶ δὲ τῶν δοξαστῶν, ἀφ' ἑνὸς ἐπὶ δύο χωρεῖ, ὧν ἑκάτερον ἐνδεχόμενον πρὸς ἀλήθειαν οἶδε, μεριζόμενόν πως, καὶ διχαζόμενον. Αὕτη δὴ ἡ τριὰς ἥνπερ ὑπεδήλου, καὶ τὸ ᾀδόμενον.

„ Ἐν τριόδῳ ἕστηκα, δύ' εἰσὶ δὲ πρόσθεν ὁδοί μοι, φροντίζω τούτων, ἥν τιν' ἴω προτέρην.

§. χπ΄. ΙΓ΄. Ὁ μὲν οὖν Νοῦς, οὕτως ἔχεται καρτερῶς, ὧν ἂν ἔχηται. Ἡ δὲ δόξα οὕτως εὐόλισθος. Ἡ δὲ διάνοια ἀσφαλὴς μὲν καὶ αὐτή, μεταβατικῶς γε μὴν περαινομένη, ἐν κινήσει τὸ ἀκίνητον ἔχουσα, καὶ νῷ καὶ δόξῃ παρ' ἑκάτερον μεσιτεύουσα· λαβοῦσα γὰρ παρ' ἐκείνου τὸ ἑδραῖον εἰς ἐπιστήμην, οὐκ ἔξω κεῖται, κατὰ ταύτην, κινήσεως. Ἀλλὰ γὰρ τὸ κινεῖσθαι ἐνταῦθα τοῦ ἐπὶ τῶν σωμάτων, οὐκ οἶδ' ὅπως ἀλλοτριώτατον ἀναδείκνυται, ὡς ἐφ' οὗ οἵ τε ὅροι, καὶ τούτων τὰ μεταξύ, ἐμφιλοχωροῦντά πως ἀλλήλοις, εἰς ταυτὸ συνεισέρχεται· πολλοῖς τε ἅμα καὶ διαφορωτάτοις προσέχοντος, (πλέον ἢ κατὰ τὰς κρίσεις συμβαίνειν ἀνωτέρω ἐλέγετο) (§. χοη΄.) τοῦ κατὰ διάνοιαν, ἢ δόξαν γινώσκοντος. Ἐγὼ γὰρ οὕτω συμβάλλειν ἔχω κατ' ἐμαυτὸν λογιζόμενος, ὡς ὁσάκις ἀπὸ κρίσεων ἃς φθάσας ἀπεφηνάμην, κρίσιν ἑτέραν διανοούμενος (τοῦτο γὰρ διανοίας ἔργον εἶναι συνωμολόγηται.) ἐπιφέρω, πλείστοις ὅσοις τῶν ἐν ἐμοὶ γνωστικῶν κατὰ τὸ αὐτὸ ἐπιβάλλω, τούτων τε ἁπλῶς ἑκάστῳ, καὶ αἷς ἔχουσι πρὸς ἄλληλα σχέσεσι, καὶ πρὸς δὴ καὶ ταῖς σχέσεσιν αὐταῖς ταῖς τῶν σχέσεων ἀτενῶς προσέχων· ὧν κἂν ἑνὸς τοῦ τυχόντος ἀπολειφθείην, τῆς διανοίας εὖ οἶδ' ὅτι αὐτῆς παρ' αὐτὰ ἐκπεπτωκὼς ἔσομαι. Ἐν ᾧ γὰρ ἐκ τῆς τῶν ἀποστάσεων, φέρ' εἰπεῖν, τῶν ἀφ' ἡμῶν διαφορᾶς τοῦ τε φαέθοντος καὶ τοῦ πυρόεντος, τὴν διαφορὰν εἰσβάλλω τῶν μεγεθῶν, ἅμα μὲν τῶν σωμάτων διενθυμοῦμαι ἑκάτερον, ἅμα δὲ καὶ τὴν καθ' ἡμᾶς θέσιν, ἀφ' ὧν ἐκεῖνα ἐστὶν ἀπέχοντα, ἅμα δὲ καὶ τῶν ἀποστάσεων ἑκατέραν, ἅμα δὲ καὶ τούτων τὸ ἄνισον. Ἅμα δὲ καὶ καθόλου ὅτι τῶν ἰσομεγεθῶν φαινομένων τοῦ μὲν ἀπωτέρω καὶ μεῖζον, τοῦ δ' ἐγγυτέρω καὶ ἔλαττον ἐπάναγκες εἶναι τὸ μέγεθος. Καὶ τούτων δὲ ἕκαστον τῶν εἰρημένων

τί

τί δήποτε δύναται, καὶ ὅπως ἔχει πρὸς ἄλληλα. Ἅμα δὲ καὶ ὅτι μείζων μὲν ὁ φαέθων, ἐλάσσων δὲ ὁ πυρόεις. Εἰ μὴ γὰρ αὗται αἱ τοσαῦται, καὶ ἔπος ἀπ' ἀλλήλων μεμερισμέναι γνώσεις, ἀμερίστως εἰς ἓν συνέλθοιεν, σχολῇ γ' ἂν διάνοια εἴη τὸ περαινόμενον. Ἔνθεν τοι καὶ δεῖξιν ἐμοὶ πολλάκις ἑνός τινος τῶν κατὰ τὴν Γεωμετρείαν θεωρημάτων λαμβάνοντι, καὶ ἀρχὴν μὲν, ἵν' οὕτως εἴπω κελοπλοῦντι, εἶτ' ἀπεῤῥυηκείας ἐννοίας τινὸς τῶν εἰς αὐτήν γε τὴν δεῖξιν συμβαλλομένων, οἷον ἐχωνίδι προσπεσούσης μου τῷ τῆς διανοίας σκάφει, αἴφνης συσχεθέντι τε καὶ ἀκινητήσαντι, παλινδρομῆσαι ἐδέησε, καὶ ὡς τὴν γνῶσιν ἑλεῖν, ᾗ συνεξέστη συναπιοῦσα καὶ ἡ διάνοια. „Λήθη γὰρ ἐπιστήμης ἔξοδος ὡς ἄει„στα εἴρηται. (1) Οἶδε μὲν οὖν (Πλωτῖνος φησὶν, περὶ τοῦ νοῦ λέγων.) ὅστις ἐνήργησεν. Ἀλλ' οἶδεν οἶμαι, ὁ δ' ἐκεῖνον, οὐδὲ τῶν τοιούτων οὐδὲν ὅπως ἔχουσι φύσεως, ὅστις ἐνήργησε μὲν, οὐ προσέσχε δὲ, ὅσον ἀπόχρη, τοῖς ἰδίοις ἑαυτοῦ ἐνεργήμασι.

§. χπα΄. ΙΔ΄. Καὶ ἄλλην δέ τινα ἐνοῦσαν ἐμαυτῷ δύναμιν, παρὰ τὰς εἰρημένας προσέχων εὑρίσκω, καθ' ἣν ὀρμὴν οἷον τινὰ πρὸς πολλὰ ἔχων, πολλῶν αὖ πάλιν τἀναντίον, οὐκ οἶδ' ὅπως ἀφέλκομαι παραιτούμενος. Καὶ ἅττα μὲν καθ' ἡδονὴν αὖ ἤ μοι περισκεπτομένῳ, ἑτοίμως ἔχω τοῦ διώκειν αὐτὰ, καὶ εἰς θήραν τὴν τούτων ἀποδύειν· ὅσα δὲ ἀηδίαν τινὰ μηνύεται, καὶ δυσχέρειαν ἔχει, ἐκκλίνειν πέφυκα, ὡς ἂν οἷός τε ὦ, καὶ φεύγειν. Φαίην ἄν, ὡς ἐν τύπῳ δοῦναι ἄλλοις εἰκάσαι, ἐπὶ μὲν ἐκεῖνα βάρος ἔχειν οἷον, καὶ ὁρμὴν, ἀπὸ δὲ τούτων διάθεσιν τὴν ἐναντιωτάτην. Ἡγεῖσθαι δ' ἐν ἐμοὶ τῶν τοιούτων ῥοπῶν τε καὶ ἀποστροφῶν, τὴν γνῶσιν τῶν ἐφ' ἃ καὶ ἀφ' ὧν αὐταὶ, ἐς ἀεὶ ᾔσθημαι, καὶ τῶν προδηλοτάτων ἡγοῦμαι· μᾶλλον δὲ καὶ συνηυξημένην, καὶ συνδιασώζεσθαι, συμπροϊούσας τε καὶ συνακμαζούσας, καὶ ὑπ' ἀλλήλων πως συνεχομένας καὶ ῥωννυμένας, ὡς συναύξειν μὲν ταῖς γνωστικαῖς ἀντιλήψεσι τὰς πρός τινα κλίσεις, συνεπι-

(1) Πλάτων ἐν Συμποσίῳ.



πιτείνεσθαι δὲ καὶ συνεπιδιδόναι ταῖς κλίσεσι τὰς ἀντιλήψεις· τοὐναντίον δὲ ἀμοιβαδὸν συναπομαραινομένας ἐκλείπειν, καὶ τέλεον συνεξαφανίζεσθαι· ταύτῃ τοι καὶ οὐδὲ μέζον οἶδα τῶν τοιούτων ἐμοὶ διαθέσεων ἀεὶ τὸ αὐτό. Ἀλλὰ τούτων τὰς μὲν βιαιοτέρας οὔσας συνίημι, καὶ συντονωτέρας, τὰς δὲ μετεωροτέρας τε καὶ ἀσθενεστέρας. Καὶ ταῦτα οὐδὲ τὰς πρὸς ἕτερα μόνον, καὶ πολλὴν ἔχοντα τὴν ἀπ' ἀλλήλων διαφορὰν, ἀλλ' ὅ τις ἂν εἰκότως θαυμάσειε, ταύτην δὴ τὴν ἐπίτασίν τε καὶ ὕφεσιν ἐπιδέχεσθαι οἶδα, καὶ τῶν πρὸς τὸ αὐτὸ οὐκ ὀλίγας.

§. χπβ΄. ΙΕ΄. Ἀλλὰ καὶ δυοῖν πολλάκις ἀντικειμένων, ἑκάτερόν με πρὸς βίαν οἷον καθ' ἑαυτὸ ἐφελκόμενον ἐπισύρεται, οὐδετεροκλινῆ ἐπὶ τοσοῦτον, καὶ ἀῤῥεπῆ πάμπαν ὄντα, καί πως τὴν γνώμην ἀπῃωρημένον. Κἂν θάτερόν με λάβῃ κρατῆσαν, ἐφίσταται δὴ ἐπιθέλγον καὶ θάτερον, καὶ πρὸς ἑαυτὸ ἀντιπεριάγον· ὡς καὶ τὸ πλέον οὕτω τῆς ἀπολαύσεως ἐμοὶ ὑποτέμνεσθαι ἐκ τῆς διαμάχης, καὶ τὴν θατέρου ὑποπαραίτησιν, τῇ πρὸς θάτερον σπουδῇ, εἰς ἡδονῆς ὕφεσιν συνανακεράννυσθαι. Ἀλλὰ γὰρ καὶ ὡς ὁρμῆς ὁρμῇ ἔμοιγε ἀντιβαινούσης, καὶ νόμου νόμῳ παλαίοντος, εὖ δὴ ποτε ἀναμφισβητήτως οἶδα, ὅτι πρὸς ὅπερ ἂν βουληθείην τῶν προκειμένων, ἐλευθέρως τε καὶ αὐτοδιορίστως ῥέπω φερόμενος. Καὶ οὔτε δὲ πρὸ τῆς αἱρέσεως ἀπλῶς ἐμοῦ ἡ τοῦ μὴ τοῦθ' ἑλέσθαι δύναμις, ὅπερ εἱλόμην, οὐδὲ μὲν οὖν καί τοι προελόμενος ἀδυνάτως ἔχω μεταβουλεύσασθαι, καὶ ἀποσχέσθαι οὗπερ φθάσας προῄρημαι. Τοῦτο τοι τὸ τῆς ἐλευθερίας καλὸν, ὅπερ ἀπειπεῖν ἐλευθερίας ἥκιστα ἔτυχον.

§. χπγ΄. Ιϛ΄. Τῇ τοίνυν προαιρετικῇ ταύτῃ δυνάμει τὸν νοῦν ἐπιστήσας, αὐτὴν ἑαυτῇ παραίτιον τῶν ἐνεργημάτων κατείληφα. Ἀκούων γάρ τοι πολλῶν, δι' αἰτίας ἀεί ποτε ὑπούσης, οἱονεὶ βάρους ἐπιθήκῃ τὸ ἀντίῤῥοπον ἀναιροῦντες, τὸ βουλητικὸν διορίζεσθαι εἰσηγουμένους, σκοπήσας τε ἀκριβῶς εὖ μάλα ἧπερ οἷόν τε ἦν, οὐδὲν βουλητὸν ἐμοὶ πώποτε γεγονὸς κατεφώρασα, ἢ ὡς ἀγαθὸν ἐμοὶ καὶ προσῆκον, ἤτοι ὂν, ἢ φαινόμενον. Οὐδὲν δ' ἀβούλητον, ἢ ὡς ἐναντίως ἔχον. Οὕτω δ' αὖ ἢ ἐκείνως, ἕκαστον ἐμοὶ παρασταίη, ᾗ γνωστόν. Ἀλλὰ μὴν οὐδὲ προσέχειν μὴ ἐθελήσας

οἷος

οἷος εἰμὶ, ἐπὶ τὸ ἀλλ' ἐξ ἄλλων γινώσκειν, ἀπ' ἐμαυτῦ
ἐναγόμενος. (§. χοά. χοδ'.) ἐφ' ἃ δὲ ὑπὸ τῶν ἐκτὸς
περισκοπεῖν διεγείρομαι, τύπων καί τοι ἀντιλαμβανόμενος,
διεκφυγεῖν τε καὶ ὑπεκκλῖναι τὴν θήραν, ὐδὲν ἧττον δυνα-
μένῳ ἐμαυτῷ συνεπίσαμαι. (§. χπβ'.) Κἂν εἰ γὰρ
τὰ ἔξωθεν ἐπάγοι πρὸς τὴν τύπων διάσκεψιν, ἀλλ' αὐτὸς
ἐμαυτὸν ἀπάγειν ἔχω τῦ περὶ αὐτῶν ἐννοεῖν, καὶ διευθυ-
ρεῖσθαι ἀφεὶς, τῦ ἐπιθυμεῖν ἀποςήσομαι. Ὅτι γὰρ ὐδὲ
ἡ νοητὰ ταύτῃ παραίτια τῇ βυλήσει γίγνεται τῆς αἱρέ-
σεως, τεκμήριον ἐμοὶ ἱκανώτατον τυτὶ κεῖται, ὡς ὅταν
,, δυοῖν ἴσον δυναμένων, καὶ ὁμοίως ἐχόντων, θάτερον ᾖ
,, λαβεῖν ἀνάγκη, μηδεμιᾶς αἰτίας ἐπὶ θάτερον ἀγύσης,
,, τῷ μηδενὶ τῦ ἑτέρυ διαφέρειν, θατέρυ τὴν λῆψιν οἴκο-
,, θεν αἱρῦμαι διορειζόμενος. Ἐπὶ γῦν τῶν τοιύτων, κἂν
εἰ τὸ αὐτοκίνητον τῆς ἐν ἡμῖν δυνάμεως ἐπελευςικὴν τινὲς
ὀνομάζειν χαίρυσι δύναμιν, καὶ τῷ ἡγεμονικῷ τῆς ψυχῆς
,, ἐγκαθιδρύυσιν, ἐπίκλισιν ἐξ αὐτῆς (ἧ φασὶ) λαμβα-
,, νύσης, καὶ τὴν ἀπορίαν διακοπτύσης, ὐδὲν ἀντιλέγω.
Οὐδὲ γάρ μοι περὶ ὀνομάτων ἔπεισι ζητεῖν ἐνταῦθα, καὶ
διαφέρεσθαι. Ὁ δὲ Χρύσιππος ἐπιεικῶς κἀνταῦθα ψυχρὸς
,, ἐςὶν, ὃς παρατιθεὶς τὸν ἀςράγαλον καὶ τὸν ζυγὸν, καὶ
,, πολλὰ τῶν μὴ δυναμένων ἄλλοτε ἄλλας λαμβάνειν
,, πτώσεις καὶ ῥοπὰς ἄνευ τινὸς αἰτίας καὶ διαφορᾶς, ἢ περὶ
,, αὐτὰ πάντως, ἢ περὶ τὰ ἔξωθεν γινομένης, κἂν ταῖς
,, λεγομέναις ταύταις ἐπελεύσεσιν, αἰτίας ἀδήλυς ὑποδέ-
,, χειν, φησὶ, καὶ λανθάνειν ἡμᾶς ἐπὶ θάτερα τὴν ὁρμὴν
,, ἀγύσης. Αὐτὸς γὰρ ὗτος ὁ Χρύσιππος ἐν τῷ περὶ τῦ
δικάζειν, δυοῖν δρομέων κατ' ἴσον τάχος συνεκπεσόντων,
ἐξεῖναι, φησὶ, τῷ βραβευτῇ κατὰ τὴν ἐπίκλισιν, ὁποτέρῳ
,, βύλεται ἀποδῦναι τὸν φοίνικα, κοινὸν καί τοι ἀμφοτέρων
,, γενόμενον. Ἐν δὲ τῷ ϛ'. περὶ καθήκοντος, εἶναι τινὰ
φήσας πράγματα μὴ πάνυ πολλῆς ἄξια ὄντα πραγμα-
,, τείας, μηδὲ προσοχῆς, ἀφιέναι περὶ ταῦτα τῇ ὡς ἔτυ-
,, χεν ἐπικλίσει τῆς διανοίας οἴεται δεῖν, τὴν αἵρεσιν ἀ-
,, ποκληρώσαντας. Εἰ δὲ καὶ μὴ ὕτως ἐν ἄλλοις ὑπεναν-
τίως ἑαυτῷ λέγων, ἅπερ αὐτὸς εἰρήκει ἐξέπτυσεν, εἴη
ἂν ἔργον οὐδὲν τῶν ἐπαχθέντων ἀνωτέρω ἀπελέγξαι τὸ
κῦφον



κῦφον τε καὶ ἀσύςατον. Πολλὴ γὰρ δὴ ἀςραγάλυ τε καὶ ζυ-
γῦ ἡ διαφορὰ ἑτεροκινήτων ὄντων πρὸς δύναμιν αὐτοκίνη-
τον· ὅτι δ' αὐτοκίνητος ἡ προαιρετικὴ δύναμις, δι' ὧν ἀνα-
σκευάσαι ἐπειράσατο, αὐτὸς φθάσας ἐκράτυνεν. Εἰ γὰρ
ἄγυσι τὴν ὁρμὴν, ὅσα δήποτε ἄγειν ὁπωσῦν πεφύκασιν,
ἡ νοητὰ (ὃ τοῖς πᾶσι μὲν ἀνωμολόγηται, ἑκάςῳ δὲ αὐτὴ
προσμαρτυρεῖ ἡ ἐνδοτάτω συναίσθησις.) τὰ δὲ δὴ ἄδηλα
καὶ λανθάνοντα, ταύτῃ γε ὐδὲ νοητὰ, ὐδ' ἄγειν ἄρα οἷά τ' ἔ-
σαι τὴν βύλησιν κομιδῆ μὴ νοούμενον.

§. χπδ'. ΙΖ'. Ἐλευθέρως τοίνυν καὶ αὐθορμήτως ῥέπειν
ἐπὶ πολλὰ πεφυκὼς, ἔςι μὲν ἐφ' ὧν ἄχει ψιλῆς προαιρέ-
σεως ἥκω, ἔςι δ' ἐφ' ὧν καὶ εἰς θήραν σπεύδω τὴν τύπων,
τῶν ἐν ἐμοὶ δυνάμεων ὁπόσαι δὴ τῇ βυλητικῇ ὑπείκειν
ἐπάχθησαν, ὑπηρέτιδας οἷον τινὰς εἰς ἐνέργειαν διεγείρων·
ὥςε μοι καὶ διακρίνειν ἐπεῖναι τὰς ῥοπὰς ταύτας ἀλλήλων,
καὶ τὰς μὲν ἀδρανεςέρας ἐκείνας, ὡς ὑποθετικὰς ἀνασκο-
πεῖν, ταύτας δὲ τὰς δραςηρίυς ὔσας, καὶ τῶν ἄλλων δυνά-
μεων ἐπιτακτικὰς γιγνομένας ἀπολύτυς ἀποκαλεῖν. Καὶ
καταφανεῖς μὲν ἐμοὶ δοκῦσιν ἐκεῖναι, περίγε τὰ μὴ ῥᾳ-
δίως ἀνυςὰ, καὶ ἐφ' ὧν πολλάκις ὁ πρὸς τ' ἐναντία πόθος
ἐπικρατέςερος· οἷον βυλοίμην ἂν τῷ ἀνδρὶ ἀπελθὼν συν-
τυχεῖν, ἀλλ' ὄκνος μ' ἔχει, καὶ τὸ μῆκος τῆς πορείας ἀντι-
πίπτον, καὶ τ' ἄλλα ὅσα τοιαῦτα προσίςαται. Καὶ ἀρετῆς
ἂν ἐπιμεληθείην ὡς ἥδιςα, ἀλλὰ τοῖς βιωτικοῖς δὴ τύτοις
σχετλίως προσέτηκα. Κατάδηλοι δέ μοι γίγνονται καὶ αἱ δεύ-
τεραι ἐπὶ πάνυ πολλῶν. Καὶ γὰρ ἐθελήσας τῷ ὄντι, πά-
σῃ μὲν ἐχρησάμην ἂν τῇ δυνάμει, πᾶν δὲ τὸ ἐμποδὼν ἱ-
ςάμενον ἐκ μέσυ ἐποίησα. Καὶ εἰ μηδὲν ἤνυσα, τῶν γε-
μὴν εἰς ἐμὲ ἡκόντων ὐδενὸς ἀπολειφθεὶς, αὐτόθεν ὖν τῆς
ὁρμῆς ἐπίδηλον ἔςησα τὸ δραςήριον.

§. χπέ. ΙΗ'. Ἐπιτάσει δὲ ἄρα πολλαῖς τῶν ἐν ἐμοὶ
δυνάμεων ἡ κατὰ τὴν βύλησιν, ὐμήν γε πάσαις, ὐδ' ἐπὶ
πάντων. Καὶ δὴ τῇ γνωςικῇ πάντως. Καὶ γὰρ βυληθεὶς
τῦτο μὲν τὴν γνῶσιν ᾕρημαι, παρῄρημαι δὲ τὴν ἐκείνου.
Καὶ περὶ τῦδε δὲ τὴν φαντασίαν διέτεψα, ἢ ὑπεκςὰς
ταύτης, ἑτέρυ τινὸς ἀνετυπωσάμην τὸ ἴνδαλμα. Καί γε ἐ-
θελυσίως ἐπί τινος ἐπανέδραμον τὴν ἀνάμνησιν. Καὶ τὰς
αἰσθη-

αἰσθητικὰς δὲ τῶν δυνάμεων πρὸς τὸ τῶδε, ἢ τῶδε ἀντιλαβέσθαι ἐκίνησα, ἐπιστρέψας ἐπὶ τὰ αἰσθητά. Καὶ πολλὰς δὲ τῶν σωματικῶν κινήσεων, οἷον κεφαλῆς, γλώσσης, καὶ χειρῶν, καὶ ποδῶν, καὶ τῶν ἄλλων μελῶν, παρ' ἐμοὶ οἶδα κειμένας. Ἀλλὰ γὰρ οὐ πάσας πάντη, ὅπερ ἔφην, οὐδ' ἐπὶ πάντων· οὐ γὰρ οὐδ' ἐπὶ τῶν νοερῶν ἐπιβολῶν ταῖς φαντάταις, κἂν πάνυ πολὺ ἐθελήσαιμι, οὐκ ἔχω μὴ συναινεῖν, οὐδ' ὧν τῷ χρόνῳ μῆκος, ἢ δι' ἄλλο τι τῶν συμπιπτόντων, τὰ ἴχνη ἐξήλειπται, καί τοι ἐπειγόμενος, φανταθεῖσαν αὖ εὐμαρῶς τῶν τοιούτων, ἢ ἐπιμνησθεῖσαν. Καὶ πληγεὶς ἀκοὴν, ἢ ὅρασιν, ἤτινα τῶν ἄλλων αἰσθήσεων, ἐκφυγεῖν οὐχ οἷός εἰμι τὴν τῇ προσβολῇ παροπηδοῦσαν ἀντίληψιν. Καὶ οὐδὲ τὴν αὐξητικὴν, οὐδὲ τὴν ἀποκριτικὴν, οὐδ' ὅσας ἄλλας ἐνδομύχως ἐμοὶ τελουμένας οἶδα ἀναγκαίως κινήσεις, οὔτε προάγειν, οὔτε διακόπτειν δυνήσομαι· τὴν δὲ δὴ ὑπὸ τῶν ἀλόγων ὀρέξεων ἔμοιγε ἐμποιουμένην, (ἥπερ μοι αἰσθάνεσθαι συνεχῶς συμβαίνει.) τῶν πνευμάτων καὶ τοῦ αἵματος θύελλαν, εἰ μὴ ἐξ ἐπιπαγῆς αὐτίκα ἱκανῶς ἔχω καταστέλλειν καὶ κατευνάζειν, ἀλλ' οὖγε τοῦτο ἐκ πείρας εὖ μάλα κατέχω, ὡς τὴν κινοῦσάν τε, καὶ διεγείρουσαν, καὶ δὴ καὶ ῥωννύουσαν ἐν ἐμοὶ τάδε τὰ πάθη προσοχὴν, τρέψας ἐφ' ἕτερα, ἐντεῦθεν οὕτω τὸν τάραχον κατεστόρεσα· ὥστε μοι οὐδὲν ὧν ἔχω κατ' ἐμαυτὸν εἰδέναι, τοῦτο μοι προδηλότερον, ἢ ὅτι, καί τοι πολλῶν ἐμοὶ τοῦ βελτίονος ὑπεξῃρημένων κράτους, πλεῖστα γε μὴν ὅσα αὐτῷ πειθαρχεῖ, καὶ κατὰ τὸ δοκοῦν ἄγεται.

§. χπϛ'. ΙΘ'. Διαφέρουσι δέ μοι καλῶς σκοποῦντι, αἵ τε πρὸς τὰ θυμήρη κλίσεις, καὶ αἱ τῶν ἀπὸ θυμοῦ ἐμοὶ ὄντων ἀποφυγαί· τὸ δὲ, οὗ νύξιν ἤδη παρέσχον τινὰ (§. ἀνωτ.) ὅτι αἱ μὲν μετὰ σφοδροτέρων τινῶν ἐπισυμβαίνουσι κινημάτων, ἅττα κατ' ἐμαυτὸν αὐτὸς τελούμενα οἶδα, καὶ ἅμα, καὶ πρὸς τὰ ἔξω ἐκκύψαντά ποτε, μὴ καθεστότα τ' ἀΰδον τῆς ψυχῆς ἔχειν, καὶ τοῖς ἄλλοις ποιεῖ ἐπίδηλον· τοιαίδε δὴ αἱ τῶν ἀκρατῶς λαγνευομένων, καὶ ἐμμανῶς ὀργιζομένων, καὶ μεθ' ὑπερβολῆς γαννυμένων, καὶ χαιρόντων, ἢ ἀλυόντων καὶ δυσφορούντων ὁρμαί. Αἱ δὲ ἠρέμα πως, καὶ μετὰ νηνεμίας οὕτω φάναι, ἐμποιοῦνται τῇ ψυχῇ, σωφρονοῦντος τρόπου διαθέσεις, ἐν ἀταράχῳ τε καὶ ἀκύμονι τῷ σώματι, οὐδὲν ἧττον γενναίως προαιρουμένης, καὶ τοῦ προσήκειν οἱ δοκοῦντος, καὶ συντελεῖν, δυσαποσπάστως ἀντεχομένης. Τοιοῦτος ὁ τῶν σπουδῆς ἀξίων, ἐγγινόμενος τοῖς ἀγαθοῖς ἵμερος.



§. χπζ'. Κ'. Αἱ μὲν οὖν κατ' ἐκείνας δὴ τὰς πρώτας πρώτιστα προσβολαὶ, δυσκάθεκτοί πως εἰσὶ καὶ δυσκαταγώνιστοι. Ἐφ' ὧν μοι καὶ χρόνου δεῖν ἔγνωσται ποσοῦ τινος, ἕως οὗ λωφήσαν τοῦ σωματικοῦ σάλου τὸ δύσμαχον, ἐν εὐδίᾳ τε παντελεῖ, καὶ αἰθρίᾳ καθαρωτάτῃ γενόμενον, τῆς ἐπιπολασάσης ἀχλύος τὸ ἡγεμονικὸν ὑπερκύψῃ. Εἰ γὰρ ὑπ' ἐκείνων πολύ τι τὸ ἐνδόσιμον εἰς αἵρεσιν τῇ βουλήσει αὐτίκα ἐμποιεῖσθαι φιλεῖ, ἀλλ' ἦ μοι ἐκ πείρας συνιδεῖν ἐξεγένετο, ἔνι καὶ μάλα τῷ ἐπιτακτικῷ τῆς βουλήσεως χρησαμένης, ταῖς ὑπηρέτισι τῶν δυνάμεων ἀργίαν κελεῦσαι, ὥστε ἐκλιπούσης κατὰ βραχὺ τῆς φορᾶς, καὶ ἀρχὴν μὲν οἱονεὶ ἀπομαρανθείσης, τέως δὲ καὶ πάντη ἀποσβεσθείσης, ἐλευθέραν οὕτω τὴν ψυχὴν μεῖναι, καὶ οἵαν αὐτοκινήτως ἐθελήσασαν ἀκολουθῆσαι τῷ ὑγιεστέρῳ φρονήματι. Πάντως δὲ, εἰ μὴ πάσαις (§. χπέ.) ἀλλά γε ταῖς ἐπὶ τὸ πράττειν ὑπουργούσαις δυνάμεσιν, ἐφίστασθαι τὴν βούλησιν ἐπιτάττουσαν, τῶν προδηλοτάτων ἡγούμεθα.

§. χπή. ΚΑ'. Θαυμάζειν ἐμοὶ τοίνυν ἔπεστι διανοουμένῳ, καὶ τὸν ἐν ἡμῖν ἔσω, καὶ ἔξω ἄνθρωπον (καλῶ δὲ, ἔσω μὲν, τὴν ἀρχὴν τοῦ ἐν ἡμῖν διαγνωστικοῦ, καὶ προαιρετικοῦ, ὁποία τις ἂν εἴη, ἔξω δὲ, αὐτὸ τὸ σῶμα, καὶ τὰς ἐν αὐτῷ ἐπιθεωρουμένας σωματικὰς δυνάμεις) ὅπως ἔχουσι πρὸς ἀλλήλους. Τὰ μὲν γὰρ, οὕτω συνορῶ τὸν ἕτερον τῷ ἑτέρῳ συνηρτημένον, καὶ συνημμένον, ὥστε καὶ ὑφορᾶσθαι ἐνάγομαι, μήπου τὸ ἐξ αὐτῶν συγκροτούμενον, μία τις καὶ ἡ αὐτὴ τῷ πράγματι ἡ οὐσία, ἐν ἀμερίστῳ πάντη τῇ φύσει, πλουτοῦσα τὰς πρὸς ἑκάτερον ἰδιότητας. Καὶ γὰρ, καί τις ὡς τὰ πολλὰ τῶν ὑπὸ τοῦ ἔσω λεγομένου ἐνθύμησις, κίνησίν τινα ἐκ τοῦ παραχρῆμα ἐπιγενομένην τῷ ἔξω δὴ τούτῳ ἐνήγειρε, καὶ ἀνάπαλιν ἡ τούτῳ πάθει, καὶ ὁπωσοῦν ἐπεισπεσοῦσα προσβολὴ, ἐνθυμηθῆναί τι ἐκεῖνον πάντως ἐποίησε· τὰ δὲ οὕτως ἀλλήλων κατείληφα διαφέροντας, ὥστε πρὸς τοὐναντίον κλίνειν ἀνθέλκομαι, οὐσίας ταυτασὶ διττὰς οὔσας, χωριστάς

στὰς ἀλλήλων ἠγάμενος, ὡς δεσμός μέν τις κρατίστας εἰς ἓν συνῆψέ τε καὶ συνέδησε, τὸ δὲ τῆς φύσεως ἑτεροῖον, διεῖλέ τε, καὶ διέκρινεν· ἐν πολλοῖς γάρ μοι οὐδὲν ἡ ἑτέρα τῆς ἑτέρας πρὸς ἐνέργειαν ἐπιδεὴς οὖσα, τὴν καθ' ἑαυτὴν ἀναδείκνυται· ἐν πολλοῖς δὲ καὶ ἡ ἑτέρα πρὸς τὴν ἑτέραν πολὺ πάνυ τὸ δυσπειθὲς ἀντιπαρεξίστησι, καὶ δυσήνιον· τὸ μὲν γὰρ ταύτῃ πρὸς ἡδονὴν ὄν, ἐκείνην ἠνίασεν, ὃ δὲ τὴν ἑτέραν ἐπιῤῥῶσαν ἐτόνωσε, τοῦτο τὴν ἄλλην κολοῦσαν ἐξέλυσε. Καὶ μέντοι καὶ πρὸς τὰ διαφορώτατα, καὶ ἐναντιώτατα ἀναστρέφεται. Ἡ μὲν γὰρ περὶ τὴν ὕλην εἰλύεται, καὶ περὶ τὰ καθ' ἕκαστα ἀεὶ ἀποτείνεται, καὶ τοῖς παροῦσι μόνοις προστέτηκεν. Ἡ δὲ τῶν ἐξῃρημένων τῆς ὕλης ἀντέχεται, καὶ πρὸς τοὺς καθόλου λόγους τῶν ὄντων πτεροῦται, κἀπὶ τὰ πορρωτάτω καὶ τόποις, καὶ χρόνοις ἀπέχοντα ῥᾳδίως ἐφίπταται. Διό μοι οὐδὲν ἧττον ταῖς ἐνθεωρουμέναις ἀμφοῖν τοῖς μέρεσι διαφοραῖς, ἢ τῇ κοινωνίᾳ τῇ τούτων προσέχοντι, θαυμάζειν ἔπεισι τῶν περὶ τοῦ τῆς συναφείας μόνου θεσμοῦ εἰρηκότων, μηδένα δέ, οὐδὲ τὸν τυχόντα λόγον ποιῆσαι, περὶ τοῦ τῆς ἑτερότητος εἰρημένων. Συνεῖδον γὰρ ἂν εἰ ἀκριβῶς προσέχειν σφίσιν αὐτοῖς βουληθεῖεν, ὡς οὐ τοῦτο μόνον, ἀκόλουθα συμβαίνει τοῖς τοῦ σώματος ψυχικὰ ἄττα παθήματα, καὶ τούτοις ἐκεῖνα ἀνάπαλιν. Ἀλλὰ κἀκεῖνο οὐχ ἥκιστα, ὡς πολλὰ τῶν ἐν τῷ σώματι πολλοῖς τῶν κατὰ τὴν ψυχήν, καὶ ἀνάπαλιν, οὐχ ὅπως οὐ πειθαρχεῖ, ἀλλὰ καὶ λαμπρῶς διαμάχεται· ὡς εἶναι ἐπάναγκες τῷ συνδέοντι νόμῳ, νόμον ἀνθυπενεγκεῖν ἕτερον τὸν διαστέλλοντα τὰ συνημμένα, καὶ οὐσιωδῶς διακρίνοντα.

§. χπθʹ. ΚΒʹ. Καὶ τοῦτο δὲ πάντων ἔσχατον ἤδη τοῖς εἰρημένοις προσθήσω τὸ πρώτιστον, ὅτι ἔρως με, οὐκ οἶδ' ὅστις τοῦ Ἀθανάτου δεινὸς κατέχει, καὶ ἐλπὶς ὕπεστιν οὐ σμικρά, ὡς ἄρα ἔτι καὶ μετὰ τὴν ἀνάλυσιν αὐτὴν περιεσομένῃ· οὕτω δέ τι διακείμενον, εὔθυμον μοι ἀναδείκνυσι, καὶ εἰς ἀρετὴν ὑποθήγει, τὰ μετὰ τὴν ἀποβίωσιν τοῖς εὖ βεβιωκόσιν ἀποκείμενα γέρα, δειμαίνει δὲ τοὐναντίον καὶ θράττει τὰ ἐκεῖσε δικαιωτήρια. Ὡς ἵνα γε ταύτας τις φαίη ἐγγίνεσθαί μοι τὰς ὑπονοίας, ἐκ φρούδης προλήψεως πεπεισμένῳ, τὸ γοῦν καὶ εἰσέπειτα εἰ μήτι κλέος καταθέσθαι πα-

ρὰ



ρὰ τοῖς ἄλλοις φροντίζειν, ἀλλὰ μηδὲ κακῶς καὶ ἀπελθόντα ποτὲ ἀκούσειν, ἤδη ἀνέχεσθαι, καίτοι μηδὲν τῷ μηκέτι ὄντι, οὐδὲ τὴν εὐδοξίαν συντελοῦσαν, οὐδὲ τὴν ἀδοξίαν προσλυμαινομένην σαφῶς ἐπισταμένῳ, σαφὲς εἶναί μοι δοκεῖ μαρτύριον, καὶ προαναφώνησις, ἄλλης τινὸς λήξεως ἐσομένης, ἥτις ἐνθένδε ἀπαλλαττομένους τοὺς ἀνθρώπους ἐκδέχεται. Ὁ μὲν οὖν φιλόσοφος Συνέσιος τὸν ἐκ τοῦ ναυαγίου κίνδυνον ὑπερχόμενος, περικαθήμενος, τὸ παλαμ-
„ναῖον φησὶ βαλάντιον, τὴν παρακαταθήκην τοῦ ξένου,
„ἔκλαιεν οὐκ εἰ τεθνήξοιτο, ἀλλ' εἰ ὁ Θρᾷξ ἀποστερήσοιτο
„τῶν χρημάτων ἕνεκεν, ὃν καὶ ἀποθανεῖν ἂν ηὔχετο. Ἔν-
„θα καὶ τὸ ἐξαπολωλέναι κέρδος ἐκεῖνος ἡγεῖτο, καὶ συ-
„ναπολωλέναι, καὶ συναποδρᾶναι τὴν αἴσθησιν. Ἡ δὲ σοφωτάτη Διοτίμα πρὸς Σωκράτην διαλεγομένη „ὡς δει-
„νῶς, φησί, διάκεινται ἄνθρωποι τοῦ ὀνομαστοὶ γενέσθαι,
„καὶ κλέος εἰς τὸν ἀεὶ χρόνον ἀθάνατον καταθέσθαι, καὶ ὑ-
„πὲρ τούτου κινδύνους τε κινδυνεύειν ἕτοιμοί εἰσι πάντας
„μᾶλλον, καὶ χρήματα ἀναλίσκειν, καὶ πόνους πονεῖν οὑστι-
„νασοῦν, καὶ ὑπεραποθνήσκειν. Εἶτα τῆς Ἀλκήστιδος μνησθεῖσα, τῆς ὑπὲρ Ἀδμήτου ἀποθανούσης, καὶ Ἀχιλλέως τοῦ Πατρόκλῳ ἐπαποθανόντος, καὶ μέντοι καὶ Κόδρου τοῦ Ἀθηναίου τῶν παίδων προαποθανόντος „οἶμαι, ἐπιφέρει, ὑπὲρ
„ἀρετῆς ἀθανάτου, καὶ τοιαύτης δόξης εὐκλεοῦς πάντες πάν-
„τα ποιοῦσιν, ὅσῳ ἂν ἀμείνους ὦσι, τοσούτῳ μᾶλλον· τοῦ
„γὰρ Ἀθανάτου ἐρῶσιν.

# ΚΕΦΑΛΑΙΟΝ Β΄.

## Εἰ αἱ κατὰ τὰς προτεθείσας δυνάμεις ἐνέργειαι τῇ ἁπλῶς σωματικῇ ἢ ἐνύλῳ φύσει προσήκουσι. Καὶ εἰ τὰ τοῦ σώματος πάθη, ἡ ἐν ἀνθρώπῳ ψυχὴ προσοικειοῦται.

### Λῆμμα Α΄.

§. χυ΄. „Οὐδεμίαν δύναμιν, οὐκ ἐνέργειαν, οὐδ᾽ ὁτιοῦν ὅλως πάθος πραγματιῶδες, ὅπερ αὖ τῇ σωματικῇ οὐσίᾳ προσείη, ἐν ἀδιαιρέτῳ αὐτῆς προσεῖναι δυνήσεται, οὔθ᾽ ὡς οὐσιῶδές τι, οὔθ᾽ ὡς ἐπουσιῶδες.

Προσέστω γὰρ εἴπως εἰ δυνατὸν τῇ σωματικῇ οὐσίᾳ δύναμις, ἢ ἐνέργεια, ἢ πάθημα ὁτιοῦν, καὶ ἔστω ὡς οὐσιῶδες· ὅπερ οὖν ἐν ἀδιαιρέτῳ προσέστω, (ἐξ ὑποθ.) ἡ δὲ τοῦ σώματος οὐσία ἐν ἐκτάσει, (§. φια΄. φιη΄.) τῆς ἄρα οὐσίας (καίτοι οὐσιῶδες ὂν αὐτῇ) τὸ τοιοῦτον ἐξώρισται· ἤτοι οὐσία τὸ ἑαυτῆς οὐσιῶδες ἀφῄρηται. Ἀδύνατον δέ. (§. σκα΄. καὶ σλγ΄.) Ἄρα τὸ Α΄.

Ἀλλὰ γὰρ ἐνυπαρχέτω, εἰ τοῦτο δόξει, τὸ πάθος ἐπουσιῶδές τι, καὶ κατὰ συμβεβηκὸς τῇ οὐσίᾳ τοῦ σώματος, πλὴν ἐν ἀδιαιρέτῳ. Καὶ ὑποβεβλήσεται ἄρα, ἐκ τοῦ ἀκολούθου, τούτῳ τὸ σῶμα, ἢ σῶμα, ὡς ὑποκείμενον· (ἐξ ὑποθ.) ἐν ἀδιαιρέτῳ δὲ τὸ σῶμα οὐκ ἔστιν (§. φια΄. φιη΄.), ἢ σῶμα. Ἅμα τοιγαροῦν τὸ σῶμα ὑποκείσεται τῷ αὐτῷ, καὶ οὐχ ὑποκείσεται. Ἀδύνατον δέ. (§. ρξδ΄.) Ἄρα καὶ τὸ Β΄.

### Πόρισμα.

§. χυα΄. Καὶ ταῦτα ἄρα ὅσα σωματικὰ παθήματα ἐστί τε καὶ λέγεται, μετέχει τινὸς ἐκτάσεως, καὶ δεκτικά ὄντα ἐστὶν ὁποσοῦν διαιρέσεως, τὰ μὲν καθ᾽ αὑτά, τὰ δὲ καὶ

διὰ



διὰ τὸ σῶμα. Καὶ καθ᾽ αὑτὰ μὲν αἱ τῆς σωματικῆς οὐσίας ἀναφαίρετοι διαστάσεις, καὶ σχῆμα, καὶ τόπος διὰ τὰς αὐτάς. Κατὰ δὲ συμβεβηκός, καὶ διὰ τὸ σῶμα, χρῶμα, καὶ θερμότης, καὶ βάρος, καὶ κίνησις, καὶ ἠρεμία, καὶ εἴτι ἄλλο· τούτων γὰρ ἕκαστον εἰ καὶ καθ᾽ ἑαυτὸ ποσοῦ καὶ τομῆς ἀνεπίδεκτον, ἐπειλημμένα τοῦ σώματος εἰσὶν αὐτά, καὶ περὶ τὸ σῶμα, οὐκ ἐν σημείῳ τὸ εἶναι ἔχοντα ἐστίν, οὐδ᾽ ἐν ἀκαρεῖ, ὡς οὐδ᾽ ἂν εἶεν οὕτω πάθη (διὰ τὸ Λῆμμα) ὅλως τοῦ σώματος.

### Λῆμμα Β΄.

§. χυβ΄. „Οὐσίᾳ τῇ σωματικῇ καὶ ἐνύλῳ, πλείους κατὰ τὸ αὐτὸ τῇ αὐτῇ προσεῖναι κινήσεις, διαφοροῦντε καὶ ὑπεναντίωσιν πρὸς ἀλλήλας ἐχούσας, μηδαμῶς δ᾽ ὑπ᾽ ἀλλήλων ἀναιρεπομένας (πολλοῦ γὰρ ἂν δέοι συνεισαγομένας.) ἀδύνατον.

Φανερὸν γὰρ ὅτι οὐδὲ τἀναντία ἅμα ὑπάρχειν ἐνδέχεται τῷ αὐτῷ (§. λδ΄.).

Ἄλλως τε οὐδὲ αἱ τῶν Κινήσεων, ὡς ἴσμεν, [illegible] ὑφίστανται (§. χιη΄.).

### Σχόλιον.

§. χυγ΄. Οὔκουν δὲ ἐντεῦθεν ἀναιρεῖσθαι ὑπολαμβανόμενον, τὸ ἐπὶ τοῖς σώμασι συμβαινουσῶν κινήσεων τὸ σύνθετον. Ἐκ γὰρ ἐκείνων κρατυνέεται μᾶλλον, ἢ κλονεῖται τὸ Λῆμμα. Ἐκ φορῶν γὰρ ἀντιθέτων, ἴσων μὲν ἠρέμησις, ἀνίσων δέ, συμμέτρως τῇ ἀμβλυτέρᾳ, τῆς ὀξυτέρας ἐποχή τε καὶ ἐπιβράδυνσις, τὸ πλεονάζον· ἐκ δὲ τῶν κατὰ πλευρὰς γωνιῶν, κινήσεις αἱ διαγώνιοι· ἐκ δὲ τῆς ἀποκέντρου ἅμα, καὶ ἐπικέντρου, ἡ καμπύλη· ἐκ δὲ τῶν κατ᾽ εὐθεῖαν καὶ κύκλον, ἡ κατὰ σπεῖραν. Καὶ ἁπλῶς, ἤτοι ἑτέρα ἀεὶ παρὰ τὰς στοιχειώδεις, ἢ ἐξ αὐτῶν ἀναφυομένη, ἢ βραδυτέρα, ἢ εἰς τὸ μηκέτ᾽ εἶναι ἀπολήγουσα.

 Λῆμ-

## Λῆμμα Γ'.

§. χψδ'. ,, Κίνησις ἡ αὐτὴ, ἐν ὑποκειμένῳ τοῦ αὐτοῦ ,, ἐπιτελέσει πάντως τὸ αὐτό.

Μὴ γὰρ, ἀλλ' ἕτερον· ἐπεὶ δὲ ἤτοι οὐδεὶς ἐστὶ τῆς ἑτεροιώσεως ὁ λόγος, ἤτις πάντως· (τὸ γὰρ ἀλόγως οἱ κατὰ λόγον φιλοσοφεῖν ἐπαγγελλόμενοι παραιτήσονται) (§. λθ'.) ποῖποτε ἄρα τὸν περιμάχητον τουτονὶ λόγον, φέροντες θήσουσι; τῇ κινήσει; Ἀλλ' οὐκ ἔσται ἡ αὐτή. Ἀλλὰ τῷ ὑποκειμένῳ; ἀλλ' οὐδὲ τοῦτο ἔμπης τὸ αὐτὸ οὕτως ἔσται, ὅπερ ἦν πρότερον. Ὅ,τίποτ' ἂν οὖν καὶ φαῖεν, λαμπρῶς αὐτοῖς περιπίπτει, εἰς τὴν τοῦ ὑποτεθέντος ἀναίρεσιν. Ἄρα κτ.

## Λῆμμα Δ'.

§. χψε'. ,, Αἱ κατὰ τὰς τῶν κινήσεων προσβολὰς συμ- ,, βαίνουσαι ἀντιδράσεις, ταῖς κινήσεσιν αὐταῖς συνάρχον- ,, ται, συνδεδεμένουσι, συναιτίασιν, ἁπλῶς συμπαρεκτεί- ,, νουσι.

Γίνεται γὰρ δήτις κατὰ τὰς ἀντιδράσεις ἀλληλενέργεια, ἢ ἀλληλοπάθεια· (§. χιη'.) καθ' ἣν τις σχέσις θεωρεῖται πραγματιώδης, τοῦ τε ἐνεργοῦντος, καὶ τοῦ καθ' ὃ πρὸς ἄλληλα· σχέσιν δὲ ἄνευ τοῦ ἀντικειμένου τοιαύτην συστῆναι οὐ δυνατόν. Ἄρα κτ.

## Θεώρημα Α'.

§. χψϛ'. ,, Οὐσίας εἶναι σωματικῆς δυνάμεις τὰς ἐν ,, ἡμῖν γνωστικάς τε, καὶ βουλητικὰς ἀποφαινόμενος, ἐν κινή- ,, σει τινὶ, (εἰ μέλλοι σύμφωνα ἀποφαίνεσθαι) σωματι- ,, κῇ καὶ ταύτῃ, τὰς κατ' ἐκείνας θέσθαι ἐνεργείας κατα- ,, ναγκάζεται.

Ἂς γὰρ δὴ στοιχειώδεις οἱονεὶ ἀρχὰς ἴσμεν, ἀφ' ὧν κατὰ τὸ ἁπλῶς ἢ πῶς ἔχειν, πᾶσα σωματικὴ ἐνέργεια ἤρτηται,



ται, αὗται εἰσί· τό,τε κατὰ τὴν ἔκτασιν μέγεθος, καὶ σχῆμα, καὶ κίνησις, καὶ θέσις, καὶ ἠρεμία (1). Καὶ ἡ μὲν κατὰ τὴν κίνησιν δύναμις ἐνεργητικὴ μόνη πέφυκε καὶ δραστήριος, αἱ δὲ λοιπαὶ παθητικαί πως, καὶ τῆς κινήσεως αὐτῆς κατὰ τὸ μεταβάλλεσθαι ἠρτημέναι. Ἡ μὲν γὰρ ἠρέμησις στάσις τις οὖσα ἐστὶ τοῦ σώματος, κατὰ τὸν αὐτὸν τόπον, καὶ ψιλὴ στέρησις. (§. φοϛ'. φοζ'.) Εἰ δέ τισι, καὶ θετικὸν εἶναι τὶ κατὰ νῦν ἐπῆλθε ποτὲ αὐτὴν ὑποθέσθαι, (§. αὐτ.) οὐ μὴν ἀλλ' οὐχὶ παρὰ τοῦτο καὶ ἐνεργὸν εἰπεῖν ἐτόλμησαν, καὶ δραστήριον· τὸ δὲ κατὰ τὴν ἔκτασιν μέγεθος, ὅπερ ἐστὶ τὸ ποσόν, παθητικὸν τῆς ὕλης τυγχάνειν παρακολούθημα, καὶ τοῖς πάλαι διώρισται, καὶ τοῖς ὕστερον. (2) τὸ δέ γε σχῆμα ὅρος τε καὶ πέρας ἐστὶ τῆς ἐκτάσεως· θέσις δὲ ἡ τῶν μερῶν, κατὰ τόπον, ἐν συναφείᾳ πρὸς ἄλληλα σχέσις. Καὶ μεταβάλλει μὲν μεταβάλλουσα, μεθισταμένων τῶν μερῶν, ἡ θέσις διὰ κινήσεως· μεταβάλλει δὲ ἡ ἔκτασις καὶ τὸ σχῆμα κατὰ τομὴν, ἢ μετάθεσιν, ἢ ἀφαίρεσιν, ἢ προσθήκην, ἃ οὐκ ἔστιν ἄνευ κινήσεως. Ὡς ἂν ἄρα σωματικῆς οὐσίας δυνάμεις εἶναι, τὰς ἐν ἡμῖν γνωστικάς τε, καὶ βουλητικὰς διατείνοιτο, ἐν κινήσεσι σωματικαῖς (εἰ μέλλοι λέγειν τὰ συμβαίνοντα.) τὰς κατ' ἐκείνας ἐνεργείας τελεῖσθαι λέγειν κατηναγκάζεται.

## Σχόλιον.

§. χψζ'. ,, Ἀμέλει τοι ἐκ τε φορᾶς, καὶ κινήσεως, καὶ κρά- ,, σεως πρὸς ἄλληλα γίγνεται πάντα, ἃ δὴ φαμὲν εἶναι, ,, οὐκ ὀρθῶς προσαγορεύοντες. (ταῦτα δὲ τὰ σωματικά ἐστι περὶ ὧν ὁ Πλάτων φησὶν (3) ὧν διὰ τὸ ῥοπαῖς ὑποκεῖσθαι παντοίαις καὶ ἀλλοιώσεσιν, ἔστιν ἧπερ αὐτῷ δοκεῖ, οὐδέ ποτ' οὐδέν.) ,, Καὶ περὶ τούτου πάντες ἑξῆς οἱ Σοφοὶ ,, πλὴν

(1) Ὅρα Λογικ. ἐν Κατηγ. ταῖς κατὰ τοὺς Νεωτέρους.
(2) Ὅρα Λογικ. Περὶ Ποσοῦ.
(3) Πλάτων ἐν Θεαιτήτῳ.

„ πλὴν Παρμενίδου ξυμφέροντας (φησὶ) Πρωταγόρας τε, καὶ Ἡράκλειτος, καὶ Ἐμπεδοκλῆς, καὶ τῶν Ποιητῶν οἱ ἄκροι τῆς Ποιήσεως ἑκατέρας, κωμῳδίας μὲν Ἐπίχαρμος, τραγῳδίας δὲ Ὅμηρος, εἰπών·

Ὠκεανόν τε θεῶν γένεσιν, καὶ μητέρα Τηθύν·

„ Πάντα εἴρηκεν ἔκγονα ῥοῆς τε καὶ κινήσεως.

Οἷς δὴ ὁ Σωκράτης, σημεῖα καὶ τάδε ἱκανὰ παρέθηκεν „ ὅτι, τὸ μὲν εἶναι δοκοῦν, καὶ τὸ γίγνεσθαι, κίνησις παρέχει, τὸ δὲ μὴ εἶναι, καὶ ἀπόλλυσθαι ἡσυχία· τὸ γὰρ θερμόν τε καὶ πῦρ, ὃ δὴ καὶ τ' ἄλλα γεννᾷ, καὶ ἐπιτροπεύει, αὐτὸ γεννᾶται ἐκ φορᾶς, καὶ τρίψεως· τοῦτο δὲ κίνησις. Καὶ τὸ ζώων γένος ἐκ τῶν αὐτῶν τούτων φύεται. τί δαί, ἡ τῶν σωμάτων ἕξις, οὐχ ὑπὸ ἡσυχίας μὲν, καὶ ἀργίας διόλλυται, ὑπὸ γυμνασίων δὲ, καὶ κινήσεων, ὡς ἐπὶ πολὺ σώζεται; Ἡ δ' ἐν τῇ ψυχῇ ἕξις οὐχ ὑπὸ μαθήσεως μὲν καὶ μελέτης, κινήσεων ὄντων, κτᾶται τὰ μαθήματα, καὶ σώζεται, καὶ γίγνεται βελτίων, ὑπὸ δ' ἡσυχίας, ἀμελετησίας τε, καὶ ἀμαθίας οὔσης, οὔτε τι μανθάνει, ἅ τε ἂν μάθοι ἐπιλανθάνεται; τὸ μὲν ἄρα ἀγαθὸν κίνησις κατά τε ψυχὴν, καὶ τὸ σῶμα, τὸ δὲ, τοὐναντίον. Ἔτι οὖν σοι λέγω νηνεμίας τε καὶ γαλήνας, καὶ ὅσα τοιαῦτα, ὅτι αἱ μὲν ἡσυχίαι σήπουσι καὶ ἀπολλύουσι, τὰ δ' ἕτερα σώζει. Καὶ ἐπὶ τούτοις τὸν κολοφῶνα ἀναγκάζω, προσβιβάζων τὴν χρυσῆν σειρὰν, ὡς οὐδὲν ἄλλο ἢ τὸν ἥλιον Ὅμηρος λέγει, καὶ δηλοῖ, ὅτι ἕως μὲν ἂν ἡ περιφορὰ ᾖ κινουμένη, καὶ ὁ ἥλιος, πάντα ἐστὶ, καὶ σώζεται τὰ ἐν θεοῖς τε, καὶ ἀνθρώποις. Εἰ δὲ σταίη τοῦτο, ὥσπερ δεθὲν, πάντα χρήματ' ἂν διαφθαρείη, καὶ γένοιτ' ἂν τὸ λεγόμενον ἄνω κάτω πάντα.

Καὶ οὕτως ἂν ὁ Πλάτων ἡμῖν τὸ πᾶν κινήσας ἐκόσμησε, καὶ διέσωσε. Ἀριστοτέλης δὲ οὐκ ἐν τοῖς ἥττω τὸν καθηγεμόνα λακτίσας φαίνεται, πᾶσαν μὲν γένεσιν, πᾶσαν δὲ φθορὰν, καὶ μείωσιν, καὶ αὔξησιν, καὶ ἁπλῶς τὴν τιναοῦν ἀλλοίωσιν εἶδος εἶναι τι κινήσεως θέμενος, καὶ ταύτην ἐργάνον οἷον εἶναι τῶν γινομένων τὸ κυριώτατον ὑπειληφώς. Ἐκείνου γὰρ ἐστὶ καὶ τὸ εἰρημένον (1) „ ὅτι ἀναγκαῖον ἀγνοουμένης τῆς κινή-

„ σεως,

(1) Φυσικ. Βιβλ. Γ'. Κεφ. Α'.



„ σεως, ἀγνοεῖσθαι καὶ τὴν φύσιν, ὡς μηδὲν οὖσαν σχεδὸν ταύτην, ἢ κίνησιν, καὶ διὰ κινήσεως ἕκαστα περαίνουσαν. Τί δὲ Δημόκριτος, καὶ Ἐπίκουρος, καὶ ὅσοι ἐν τοῖς Παλαιοῖς τοῦ τῶν ἀτομολόγων ἐγένοντο κόμματος, οὐχὶ καὶ ἔμφυτον ὁρμὴν ἐπὶ τὸ κινεῖσθαι ταῖς ἀτόμοις φύσεσιν ἐνετίθεσαν; καθ' ἣν ὁ μὲν Δημόκριτος „ ἐς ἀεὶ πλαγίως αὐτὰς φέρεσθαι ᾤετο, ὁ δὲ Ἐπίκουρος καὶ βάρος προσθεὶς, τὰς μὲν κατὰ στάθμην, τὰς δὲ κατὰ παρέγκλισιν, τὰς δὲ κινουμένας ἄνω κατὰ πληγὴν, καὶ κατὰ παλμὸν κινεῖσθαι ἐτόπαζεν (1). Ἀλλὰ μὴν καὶ παρὰ τοῖς Νεωτέροις κοινῇ τὸ δόγμα ἐκράτησε. Καὶ γὰρ καὶ Καρτέσιος ἐκεῖνος, διὰ κινήσεως ἡμῖν ἅπαντα ὤφθη δραματουργῶν (§. χξβ'.) τὰ ἐν σώμασι. Καὶ Νεύθων, τὴν ὀξύτητι κινήσεως διαφέρουσαν, ὡς τελεσιουργὸν τῶν ἐν τῷ παντὶ γινομένων, ἁπάσῃ τῇ σωματικῇ φύσει ἐνέχεεν. (§. χξγ'.) Καὶ Λεϊβνίτιος ἑκάστῃ τῶν κατ' αὐτὸν μονάδων, ὁρμὴν ἐνῆκεν (§. φοθ'.) εἰς κίνησιν. Καὶ ὅσους ποτὲ Φιλοσοφίας μετὰ σπουδῆς ἐπιμεληθέντας ὁ πάλαι καὶ ὕστερον ἤνεγκε χρόνος (ἢν οὖν τυχὸν, ἢ ἕτερον ἐξέλῃς, οἷς παιδείας τις ἄντικρυς τὸ φιλοσοφεῖν ἔδοξε, τοῦτο μέγα αὐτοῖς εἰς κλέος ἔσεσθαι ἐλπικόσιν, εἴτι τῶν προδηλοτάτων ἱκανοὶ ἐλέγξαι αὐτοὶ ὀφθεῖεν.) ἅπαντες ψήφῳ μιᾷ, ἁπάσας ὅσαι τοῖς σώμασιν ἐπισυμβαίνουσαι τροπαί τε καὶ ἀλλοιώσεις, τῇ σωματικῇ κινήσει ὀφειλομένας ἀνέθεντο. Εἰ δὲ δὴ ταῦτα, τίς ἂν (τὸ γάρ τοι Πλάτωνος (2) ἐν καιρῷ ἂν εἰρῆσθαι μοι δόξειεν.) „ τίς ἂν αὖ ἔτι πρός γε τοσοῦτον στρατόπεδον, καὶ στρατηγὸν Ὅμηρον, δύναιτο ἀμφισβητήσας μὴ καταγέλαστος γενέσθαι; Πῶς δ' οὐκ αὖ καταγέλαστος εἴη ὁ σωματικῆς μὲν οὐσίας δυνάμεις εἶναι, τὰς ἐν ἡμῖν γνωστικάς τε, καὶ βουλητικὰς διϊσχυριζόμενος, μὴ προβάλλειν δὲ διὰ κινήσεως σωματικῆς τὰς κατ' αὐτὰς ἐνεργήσεις διατεινόμενος; Ἔστι γὰρ δήπου οὕτως ἐναργὲς τὸ λεγόμενον, ὡς καὶ Ἕνρικον ἐν Νεωτέροις τὸν Μόρον (3) παρὰ

τῷ

(1) Πλούταρχ. Α. Ἀρεσκ. Κεφ. Β'.
(2) Πλάτων ἐν Θεαιτήτῳ.
(3) Βιβλ. Β'. περὶ Ἀθαν. Ψυχ. Κεφ. Α'.

τῷ Νεαπολίτῃ Γενουησίῳ, ἀξίωμα ἄντικρυς ὑπειληφότα τὸ προτεθὲν „ ἐμβρόντητον, οἷα εἰκὸς ἀποκαλέσαι ( men„ te captum ) καὶ πάνυ εὐήθη, ὅς αὖ φέρε ῥόμβον μο„ λίβδινον, καὶ χρυσῆν γλωττίδα, νοήσεως ἀνεπίδεκτα „ εἶναι, ἀπὸ τινὸς προσβολῆς τε καὶ συγκρούσεως, ἥτις πρὸς „ ὄγκον αὐτῆς, καὶ στερρότητα, ἀνάλογον εἴη, μὴ δέξαιτο. Ἀλλὰ γὰρ πλειόνων τί δεῖ; Καὶ ὅσοι δήποτε σωματικὴν εἶναι τὴν ψυχὴν ὑπειλήφασιν, ἐν κινήσει πάντες σωματικῇ, καὶ γνῶσιν πᾶσαν καὶ βούλησιν, τελεῖσθαι παρέδωκαν, οἵτε περὶ Δημόκριτον, καὶ Ἐπίκουρον τὸ πάλαι, καὶ οἱ νεώτεροι Ἐπικούρειοι, οἷοι οἱ περὶ τὸν Ὠβέσιον ἐγένοντο ὕστερον· ὥστε καὶ ἣν αὐτοὶ ἐν ὑποθέσεως λόγῳ διωρισάμεθα, ὡς θέσιν ἐκείνους διαπρεσβεύειν. Μόνους ἂν εὕροις ἀντιφερομένους τοῖς προτεθεῖσι τοὺς περὶ Λώκιον (1) ὧν ἡ δόξα τὴν αὐτὴν ὕλην, διαφορεῖν οἵαν εἶναι φύσει πρὸς κίνησίν τε, καὶ νόησιν· μηδὲ γὰρ οὕτως ἀντιπάσχειν ταῦτα ἀλλήλοις, ὥστε εἶναι ἀσύμβατα, ἐξεῖναι δὲ καὶ μάλα, οἷάπερ βαρύτης, καὶ ὁλκή, καὶ ὁπόσαι ἄλλαι δυνάμεις ἐνεργοὶ καὶ δραστήριοι, ὡς ἐν ὑποκειμένῳ τῇ ὕλῃ ἑδράζονται, οὕτω τι καὶ τὴν διαγνωστικήν, καὶ τὴν βουλητικὴν τὰς δυνάμεις, τῇ αὐτῇ ὡς ὑποκειμένῳ προσεῖναι ὕλῃ, κἂν μὴ ἐν κινήσεσι σωματικαῖς, τὰς κατ᾽ αὐτὰς ἐνεργείας ὦσι περαίνουσαι.

Πρὸς μὲν οὖν Λώκιον ἤδη τοῦ ἀγῶνος ἡμῖν ἱσταμένου, Α΄. ἀπαντήσομεν μηδὲ βαρύτητα ὅλως, μηδὲ ὁλκήν, οὐδ᾽ ὁποιανοῦν δύναμιν ἄλλην, ἥτις μὴ ἐν κινήσει ἔχοι τὸ εἶναι, ἐνορᾶσθαι τοῖς σώμασι· βαρύτητα γὰρ τὴν ἐπὶ τὸ κέντρον φορὰν εἶναι φαμέν, καὶ τὴν ὁλκήν, ἐν τῇ πρὸς ἄλληλα ἀμοιβαίᾳ τῶν σωμάτων ὁρμῇ εἶναι κειμένην. Ἡ δὲ φορὰ καὶ ὁρμὴ κινήσεις αὐτόχρημα, οὐκ ἄνευ κινητικοῦ πάντως, κἂν ᾖ ἡμῖν τυχὸν ἀγνοούμενον, οὐδ᾽ ἄνευ τοῦ κινουμένου. Κινήσεις δέ, ἤτοι ἐνεργείᾳ γινόμεναι, ἢ γοῦν ὑπὸ τοῦ ἀντιπίπτοντος, εἴγε ἐπικρατέστερον τύχοι ὂν διειργόμεναι. Β΄. δὲ συνειῶσθω, εἰ δυνατόν, ( ᾗ τῷ Λωκίῳ δοκεῖ ) εἰς ταὐτὸ

ἥτε

(1) Περὶ Νοῦ ἀνθρώπου Βιβλ. Δ΄. Κεφ. γ΄. §. 5.



ἥτε κινητικὴ δύναμις, καὶ τὸ γνωστικόν, ὡς ἐν ὑποκειμένῳ τῷ σώματι. Καὶ ἤτοι πάντως τῆς κινήσεως ἀπηρτημένη ἔσται ἡ νόησις, ἢ οὐχί. Εἰ μὲν οὖν, ἔχομεν ἤδη τὸ προτεθέν. ( §. χυξ΄. ) Ἀλλὰ μηδαμῶς ἀπηρτήσθω, ἔστω δὲ καθ᾽ ἑαυτὴν ἡ αὐτή, εἴτε τῆς κινητικῆς δυνάμεως ἐπενεργούσης τῷ σώματι, εἴτε καὶ μή· στήσεται δὲ πάντως οὐκ ἐν ἀδιαιρέτῳ· ( §. χυί. χυιά. ) ἐν μέρει δὲ τοῦ σώματος ἔχοντι ἔκτασιν. Ἀλλ᾽ ἔστω δὴ τουτὶ τὸ μέρος, ὡς ἐν τύπῳ φάναι, δακτυλιαῖον, ὃ νοεῖν προσέξει τῷ νοητῷ, δὸς εἰπεῖν τῷ ὄντι, τῷ κύκλῳ, ἢ τινὶ τῶν παραπλησίων· ἐπεὶ γοῦν καὶ τὸ ἡμιδακτυλιαῖον οὐδὲν ἧττον νοεῖν ὑποτίθεται, προσέξει δὴ τῷ αὐτῷ νοητῷ ἅμα κἀκεῖνο. Ἤδη μὲν οὖν διχοτομηθέντος τοῦ κειμένου νοητικοῦ σώματος, καὶ τῶν ἡμιτόμων διαστάντων ( ὅπερ οὐκ ἄνευ κινήσεως γένοιτο. ) ἤτοι μενεῖ τὸ τῆς νοήσεως, ἢ ἀπιὸν ᾤχετο. Ἀλλ᾽ εἰ τοῦτο, οὐκ ἄρα στήσεται, κατὰ τὴν ὑπόθεσιν, ἐπιγινομένης κινήσεως ἡ προτέρα νόησις, μεταβάλλουσα δέ, ἐξῆπται πως τῆς κινήσεως, κατὰ τὸ Θεώρημα. ( §. χυς΄. ) Εἰ δ᾽ ἐκεῖνο, ἤτοι ἐπ᾽ ἀμφοῖν τοῖς ἡμιτόμοις, ἢ ἐπὶ τῷ ἑτέρῳ. Ἀλλ᾽ εἰ τὸ Β΄. τί μὴ καὶ θατέρῳ; ἢ τίς ὁ λόγος; Εἰ δὲ τὸ Α΄. πότερον ποτέ, ἐφ᾽ ἑκατέρῳ τῶν ἡμιτόμων ἡ αὐτὴ ἔννοια παρέσται, ἢ τοῦ κύκλου, ἢ τοῦ ὄντος, κτλ. ἢ γοῦν ἡ ἡμικυκλίου ἐφ᾽ ἑκατέρῳ, ἡ ἡμιόντος, κτλ. Εἰ μὲν γὰρ ἐκεῖνο διτταὶ παρέσονται ἔννοιαι, καὶ τούτων ἔσται ἡ ἑτέρα ἤτοι ὑπ᾽ οὐδενός, ὅπερ οὐ θέμις λέγειν. ( §. νέ. ) ἢ ἀπὸ κινήσεως, ὅπερ ἀναιρεῖ τὴν ὑπόθεσιν. Εἰ δὲ τοῦτο, ἄλλη τις ἔσται ἔννοια ἡ τοῦ ἡμικυκλίου παρὰ τὴν πρώτην, ἧς αὖθις παραίτιος εἰσήχθη ἡ κίνησις ( κατὰ τῆς ὑποθ. ). Ἐῶ γὰρ λέγειν ὅτι ἔννοιαν ἡμιόντος ὑποθέσθαι γελοῖον. Ὁποί ποτ᾽ ἂν ἄρα καὶ τράποιτο ὁ θαυμαστὸς ἡμῖν Λώκιος, τοῖς ἀδυνάτοις ἀπαντήσει, δυνατὴν εἶναι τὴν ἐν σωματικῇ φύσει τοῦ γνωστικοῦ ὑπόστασιν ἀποφαινόμενος.

## Θεώρημα Β΄.

§. χυή. „ Σωματικῶν τεθεισῶν κινήσεων τῶν τῆς γνω-
„ στι-

„ σικῆς δυνάμεως ἐνεργειῶν, ἔσαι μέν τι τὸ τούτων ποιη-
„ τικόν, ἕτερον παρ' αὐτὸ ὂν τὸ κινέμενον, ἔσαι δέ τις, καὶ
„ ἐπ' αὐτῶν ὅρος ἀφ' οὗ, ἔσαι δέ τις καὶ πρὸς ὅν, διϊςάσει
„ ἀλλήλων διακρινόμενοι.

Τὸ Α'. ὁ τῆς ἀδρανείας νόμος ἐν σώμασι (§. χιή.) σαφῶς ἀποδείκνυσι.

Τὸ Β'. δὲ καὶ τὸ Γ'. αὐτὴ ἀκριβῶς κατασκευάζει, ἣν οἱ πάντες ἔχομεν τῆς κινήσεως ἔννοιαν (§. φοβ'.).

Ἄλλως τε καὶ εἶχεν ἂν ἐν ἀδιαιρέτῳ τοῦ χρόνου τελεῖσθαι ἡ κίνησις, εἰ μὴ ἀλλήλων οἱ ὅροι ἐπ' αὐτῆς διεκρίνοντο· ἐκεῖνο δὲ τῶν ἀδυνάτων εἶναι ἐδείκνυτο (§. φπ'.).

## Θεώρημα Γ'.

§. χυθ'. „ Αἱ κατὰ τὰς ἁπλᾶς προσοχὰς ἐνέργειαι τοῦ
„ γνωστικοῦ, καθ' αὐτὰς κινήσεις οὐκ εἰσὶ τῶν σωματικῶν.

Εἴη γὰρ ἂν εἴπερ ἀεὶ παρ' αὐτὸ τὸ κινέμενον (§. χυη'.) ἤτοι παρ' αὐτὸ τὸ γνωστικόν, τὸ τούτων παραίτιον. Ἀλλὰ μὴν πολλάκις οἴκοθεν καὶ ἀφ' ἑαυτῶν κινηθέντες προσέχομεν τοῖς νοητοῖς. (§. χοα'. χοδ'. χοε'.) Ἄρα κτ.

Ἄλλως. Σωματικῶν οὐσῶν κινήσεων, εἶεν ἂν αὐτῶν καὶ ὅροι, ὁ μὲν ἀφ' οὗ, ὁ δὲ πρὸς ὅν. (§. χυη'.) Ἀλλ' ἐπὶ τῶν ἀδιαςάτων εἰρημένων γνώσεων, ἃς ἐν ἑαυταῖς τελουμένας ἴσμεν, ἡ αὐτὴ ἐνέργειά τε ἐστὶ, καὶ ὅρος πρὸς ὃν ἡ ἐνέργεια. (§. χξη'. χξθ'.) Ἄρα κτ.

## Θεώρημα Δ'.

§. ψ'. „ Καὶ εἴτινες ἐπεγειρόμεναι τῷ πολλάκι τῷ σώ-
„ ματι προσβολαὶ, τὸ γνωστικὸν τῆς ψυχῆς διεγείρουσιν,
„ ἡμῶν ἀλλ' αἱ κατ' αὐτὸ ἐνέργειαι, οὐδὲ πᾶσαι προοδο-
„ ποιουσῶν τῶν σωματικῶν κινήσεων τελούμεναι εἰσὶν, οὐδ' ὅ-
„ σαι εἰσὶν, αὐτόχρημα κινήσεις εἰσίν.

Πολλοῖς γὰρ ἐπιβάλλω πάντως ἴχνους ἀπηλλαγμένοις παχύτητος. (§. χοσ'.) ἐπεὶ δὲ ταῦτα ὑπὲρ τὴν φαντασίαν

εἶναι



εἶναι φαμὲν, οὐχ ὅπως οὐδέν ἐστι πρὸς τὴν τούτων σκέψιν ἡ κατὰ τὸ σῶμα κίνησις συνεισφέρουσα, ἀλλὰ καὶ τῆς γνωστικῆς, εἴτις καὶ γένοιτο, παρενοχλοῦσα, τοῦ προκειμένου ἀπάγει αὐτὸ, καὶ ἀφέλκεται. (χοδ'.) Ἄρα τὸ Α'.

Εἰ δὲ καί τινες ἀπό τινων σωματικῶν προσβολῶν εἰσὶν, ἐπείγεμαι καὶ τούτων αἱ τοῦ γνωστικοῦ ῥοπαὶ πολλάκις ἡγοῦνται, καὶ ταῖς μὲν ἐξ ἄλλης ἀεὶ αἰτίας τὸ πρὸς κίνησιν ἐνδόσιμον· (§. χυη'.) ταῖς δὲ οἴκοθεν, καὶ ἡ τῆς ἕξεως μεταβολὴ, καὶ ἡ πρόοδος, καὶ ἡ κατάπαυσις. (§. χοε'.) Ἃ ταῖς σωματικαῖς κινήσεσιν οὐδαμῶς συμβαίνει. (§. χιή.) φανερὸν ἐντεῦθεν ὅτι οὐδ' αἱ τοιαῦται αὐτόχρημα κινήσεις εἰσίν. Ο. Η. τὸ Β'.

## Θεώρημα Ε'.

§. ψα'. „ Οὔτε αἱ ἀναμνήσεις πάντη πάντως σωματι-
„ καὶ κινήσεις εἰσίν.

Συμβαίνει γὰρ ἐπὶ τῶν ἀναμνήσεων ἔννοιαν ὑπὸ ἐννοίας, καὶ ταύτης διαφερούσης, καί ποτε καὶ ὑπεναντίωσιν ἐχούσης, κατὰ τὸ αὐτὸ εἰσάγεσθαι. (§. χογ'.) Οὐσίᾳ δὲ τῇ σωματικῇ καὶ ἐνύλῳ πλείους κατὰ τὸ αὐτὸ τῇ αὐτῇ προσεῖναι κινήσεις, διαφορούσας καὶ ὑπεναντίωσιν πρὸς ἀλλήλας ἐχούσας, μηδαμῶς δ' ὑπ' ἀλλήλων ἀναιρεπομένας, (πολλοῦ γὰρ ἂν δέοι συνεισαγομένας) ἀδύνατον. (§. χυβ'. χυγ'.) Ἄρα κτ.

Εἶτα αἱ κατὰ τὰς ἀπὸ τῶν ἔξωθεν κινήσεις ἐπισυμβαίνουσαι τῷ ἐγκεφάλῳ ἀντιδράσεις, παυομέναις ταῖς προσβολαῖς συναποπαύονται. (§. χυέ.) Αἱ δὲ μνῆμαι καὶ τῶν κινήσεων ἀποσβεσθεισῶν, τὰς ἐννοίας διασώζουσι, καὶ ἀποκειμένας ἐν δέοντι ἐκφέρουσιν. Ἄρα κτ.

## Θεώρημα ς'.

§. ψβ'. „ Οὐδὲ ἡ λεγομένη συνείδησις, καθ' ἣν σύνι-
„ σμεν σφίσιν αὐτοῖς νοοῦντες ὅτι νοοῦμεν, σωματικήτις κί-
„ νησις ἐστίν.

Ἤτοι

Ἤτοι γὰρ μία ἐστὶ, καὶ ἡ αὐτὴ τῷ ἀριθμῷ κίνησις, ἐπί τε τῆς συνειδήσεως, καὶ τῆς νοήσεως, ἢ γοῦν τῷ ἀριθμῷ μὲν ἑτέρα, εἴδει δὲ ἡ αὐτή, ἢ τέως καὶ τῷ εἴδει ἑτέρα. Ἀλλ' εἰ μὲν ἡ αὐτὴ τῷ ἀριθμῷ, διοίσει πάντως τὸ ὄνομα μόνον, τὸ δὲ πρᾶγμα ἕν· οἷον εἴτις φαίη τὸ αὐτὸ λώπιον καὶ ἱμάτιον. Ἄτοπον δὲ τοῦτο λέγειν. Διὰ μὲν γὰρ νοήσεως τῷ νοητῷ ἐπιβάλλομεν, οἷον τῷ ἡλίῳ, διὰ δὲ τῆς συνειδήσεως, αὐτῇ τῇ γινομένῃ εἰδήσει προσέχομεν. (§. χξη'. χξθ'.) Διακρινομένων δὲ τῶν ἀντικειμένων, ἀνάγκη καὶ τὰς περὶ αὐτὰ ἐνεργείας διακρίνεσθαι. Εἰ δ' αὖ τῷ μὲν ἀριθμῷ ἑτέρα, εἴδει δὲ ἡ αὐτὴ κίνησις ἐστὶν, ἥτε κατὰ τὴν νόησιν, καὶ ἡ κατὰ τὴν συνείδησιν τελουμένη, ἐπεὶ κίνησις ἡ αὐτὴ ἐν ὑποκειμένῳ τῷ αὐτῷ, ἐπιτελέσει πάντως τὸ αὐτό, (§. χυδ'.) οὐδ' οὕτως ἡ νόησις τῆς συνειδήσεως ὅλως τῷ εἴδει διακριθήσεται· ἔσται δέ τις ἐπαναληλημμένη νόησις τις αὐτοῦ ἡ συνείδησις, ὅπερ οὐκ ἔστιν. (§. χξη'. χξθ'.) Εἰ δέ γε τελευταῖον καὶ τῷ εἴδει διαφορὰν ἔχειν τεθῶσιν αἱ κινήσεις, ἤτοι κατὰ τὸ αὐτὸ ἄμφω καὶ τόπου καὶ χρόνου γενήσονται, ἢ ἐν ἄλλῳ καὶ ἄλλῳ τόπῳ, ἢ ἐν ἄλλῳ καὶ ἄλλῳ χρόνῳ. Ἀλλ' εἰ τὸ Α'. ὑπ' ἀλλήλων ἄρα (§. χυβ'.) ἀναβαπτίσονται. Εἰ δὲ τὸ Β'. ἐπεὶ ἡ τοῦ ἡλίου φέρ' εἰπεῖν νόησις, κίνησίς τις τυγχάνει, ἣ ἔστιν ὅπου τοῦ ἐγκεφάλου συμβαίνουσα, ἡ δὲ κατ' αὐτὴν συνείδησις, οὐκ ἐν τῷ αὐτῷ, ἀλλαχόθι που δὲ τελεῖται περαινομένη, φανερὸν ὡς οὐδὲ τῆς νοήσεως ἡ συνείδησις ἐφάψεται, καὶ οὐδὲ συνείδησις ἔσται. (§. χξη'.) Εἰ δὲ τὸ Γ'. ἐν ᾧ δ' ἂν ἡ κατὰ συνείδησιν τελῆται κίνησις, ἡ κατὰ τὴν νόησιν ἤδη πέπαυται, οὐκ ἄρα συνυπάρχουσιν, οὐδὲ συνείδησις ἀληθῶς ἐστὶν, ὅπερ λέγεται. (§. χξη'. χξθ'.) Ἃ δὴ πάντα ἐπίσης ἀναιρεῖ τὰ ὑποτιθέμενα. Ἄρα κτ.

## Θεώρημα Ζ'.

§. ψγ'. „ Καὶ αἱ κατὰ τὰς κρίσεις δὲ τοῦ γνωστικοῦ ἐνέργειαι, „ πᾶν ὁτιοῦν μᾶλλον, ἢ κινήσεις εἰσὶν ἐν σώματι.

Ἐπ' αὐτῶν γὰρ ἤτε τῶν ἄκρων ἅμα τελεῖται πρόσληψις,

καὶ



καὶ ἡ κατὰ παράθεσιν τὴν τύπων, ἧς ἔχουσιν οἰκειότητος, ἢ καὶ διαφορᾶς ἐνθύμησις. (§. χοζ'. χοη'.) Ἐπειδὴ δὲ κἀκεῖνα πως ἕτερα, κἀκείνων αὗται, φανερὸν ὡς εἰ κινήσεις ἐτύγχανον, συνέβαλλον ἂν κατὰ τὸ αὐτὸ κινήσεις πλείους, διαφοράν τε καὶ ὑπεναντίωσιν ἔχουσαι, ἅματε (ἐν ἀκαρεῖ τῆς κατανεύσεως, ἢ ἀνανεύσεως τελουμένης) (§. αὐτ.) καὶ ὁμοῦ, (τῆς παραθέσεως κατ' ἐφαρμογήν τινα, καὶ συμπαρουσίαν τῶν παραβαλλομένων συνισταμένης.) εἰ μὴ γὰρ, πολλαὶ ἂν ἦσαν ἐφεξῆς πολλῶν τινων ἀντιλήψεις, ἀπόφανσις δὲ οὐδεμία. Ἀλλὰ γὰρ ἅματε καὶ ὁμοῦ πλείους κινήσεις ὑπεναντίωσίν τε καὶ διαφορὰν ἐχούσας, τῇ ἐνύλῳ φύσει συμβαίνειν ἀδύνατον. (§. χυβ'. χυγ'.) Ἄρα κτ.

## Σχόλιον.

§. ψδ'. Ἐν ᾧ γὰρ τὸ εἶναι καὶ μὴ εἶναι τὸ αὐτὸ ἀποφαινόμεθα πάντη εἶναι ἀδύνατον, ἢ θατέρῳ δήπου προσέχοντες ἀλογιστοῦμεν τὸ ἕτερον· οὐδὲ γὰρ ἀδύνατον τὸ ἕτερον τοῦ ἑτέρου χωρίς· οὐδὲ μὲν οὖν κατὰ διαστολὴν θιγγάνομεν τῶνδε μὲν τόδε, τῶδε δὲ τόδε· τοῦτο γὰρ ἂν εἴη ἀμφοῖν ἁπλῆ τις ἐνθύμησις. Ἀλλ' ὑφ' ἓν ἐννοοῦντες, οὕτω συνορῶμεν τῆς συναφείας αὐτῶν τὸ ἀδύνατον. Ἤδη μὲν οὖν ἡμῖν παρέστη τῇ Ὠβεσίου, ἢ ἄλλου τινὸς τῶν τῆς ἐκείνου συμμορίας, φρενὶ, τῇ ἁπλῶς σωματικῇ καὶ ἐνύλῳ ἐμβολή τις γινέσθω πόθεν ποι ἀφοριζομένη, ἢ τοῦ ὄντος ἀντιληπτική· ἅμα δὲ καὶ ἀντεμβολή τις ἐναντιωτάτη ἀντεμβαλλέσθω τῇ πρώτῃ, ἢ τοῦ μὴ ὄντος. Καίτοι πολλῷ σφοδροτέρα ἡ τῶν ἐννοιῶν, ἢ ἡ τῶν κινήσεων αὐτῶν διαμάχη. Κἂν γὰρ ἀντικέοιτο τῇ κινήσει ἡ κίνησις, τόγε μὴν ἐν χρόνῳ τελεῖσθαι, καὶ τόπῳ, καὶ ὅθεν, καὶ ὅποι, καὶ δι' ὧν, καὶ περὶ σῶμα εἶναι, καὶ ὅλως κινήσεις, καὶ ὄντα, κοινὰ ἑκατέραις· τοῦ δὲ εἶναι καὶ μὴ, ἡ ἀντίθεσις ἀκροτάτη. Καὶ τῆς γε κινήσεως ἐκεῖνο παριστώσης, ἔδει δήπου τόδε δι' ἠρεμίας ἐμφαίνεσθαι, ἢ ἄλλου τινός, ὃ καὶ τῆς ἠρεμίας αὐτῆς πρὸς τὴν κίνησιν εἴη ἐναντιώτερον. Ἀλλ' οὕτως ἀντεμβαλλέτωσαν ἀλλήλαις, καὶ κινήσεις αἱ ἐναντιώταται, οὐκ ἄρδην, πρὸς Θεοῦ, ἀφανιεῖ τύπον ἡ ἑτέρα, ὅπερ ἡ ἑτέρα

συνί-

συνίστησιν. Ἀλλ' οἶμαι μὲν δή· θᾶττον γὰρ ἂν διασπασθείη ὁ τοῦ σωματοψύχου ἐγκέφαλος, ἢ εἰς ἓν ἀλλήλοις συμβαίη τὰ οὕτω σφοδρῶς ἀντιβαίνοντα.

## Θεώρημα Η'.

§. ψε'. „ Καὶ τὰς κατὰ διάνοιαν δὲ μεταβάσεις ἀπὸ κρί-
„ σεων εἰς Κρίσιν, ἐν κινήσεσι σωματικαῖς τελεῖσθαι ἀ-
„ δύνατον.

Ἐπειδὴ γὰρ αἱ κρίσεις ἐξ ὧν αὗται, καὶ εἰς ἅς, ὁτιοῦν μᾶλλον, ἢ σωματικαὶ κινήσεις εἰσίν, ( §. ψγ'. ψδ'. ) καὶ ταύτας ἄρα ἐν κινήσεσι ταῖς προσηκούσαις τοῖς σώμασι τελεῖσθαι, μᾶλλον, ἢ ἐκείνας ἀδύνατον.

Ἄλλως. Καὶ εἰ κινήσεις εἰσὶν αὗται σωματικαί, ἔσται δὴ καὶ ἐπ' αὐτῶν ὅρος ὁ μὲν ἀφ' οὗ, ὁ δὲ πρὸς ὅν, ἀλλήλων διακεκριμένοι. ( §. χυη'. ) Ἀλλὰ μὴν ἐπὶ τῶν κατὰ διάνοιαν τουτωνὶ γνώσεων. τὸ κινεῖσθαι τοῦ ἐπὶ τῶν σωμάτων ἀλλοτριώτατον ἀναδείκνυται ὄν, ὡς ἐφ' οὗ οὔτε ὅροι, καὶ τὰ μεταξὺ ἐμφιλοχωροῦντα πως ἀλλήλοις, εἰς ταυτὸ συνεισέρχεται. ( §. χπ'. ) Ἄρα κτ.

## Σχόλιον.

§. ψϛ'. Γενναῖα δὲ ἐστὶ, καὶ λόγου τοῦ παντὸς ἄξια, καὶ ἅττα περὶ τοῦ Νεωτέρου Γενουηνσίου (1) ἐκ μέσης αὐτῆς τῆς Μεταφυσικῆς, Αὐγουστῖνος ἱερὸς ἀνὴρ καὶ σοφὸς προχειριζόμενος, ἀλλοτριωτάτας οὔσας τῶν κατὰ τὰ σώματα, τὰς κατὰ τὴν ψυχὴν κινήσεις ἀποδείκνυσιν.

Α'. γὰρ αἴσθησις, φησὶ, καὶ φαντασία ἐπιεικῶς ἀπατῶσιν, ἐν ᾧ ῥάβδῳ ἡμιβαφῆ ἐν ὕδασι κεκλασμένην οἷαν ἡμῖν παριστῶσιν. Ὁ δὲ λόγος σαφῶς καταφωρᾷ τὴν ἀπά-

(1) Ψυχοσοφ. Πρότ. ή. Σχολ.



την, καὶ τῶν αἰσθημάτων αὐτῶν καὶ φαντασμάτων, ἔτι παροῦσί τε διηνεκῶς τοῖς ἰνδάλμασιν, ἀντιβαίνει καὶ διαμάχεται. Ἀλλ' εἰ μηδὲν ἦν παρὰ τὴν κατὰ τὸν ἐγκέφαλον διεγειρομένην κίνησιν, ὁ ἐν ἡμῖν λόγος, ἤτοι πάντως τῇ εἰκόνι συνδιεκλᾶτο καὶ οὗτος, τοῦ εὐθέος συνεξισάμενος, ἢ τοὐναντίον αὖ τὴν ἐν αὐτῷ συνερρύθμιζέ τε καὶ συναπίθυνεν. Ἀλλὰ σοῦ ( φησὶν ἐπὶ τούτοις τὸν Ὠβέσιον ὁ Γενουήνσιος (1) προσκαλούμενος ) ἀκουσαίμεθα τί πρὸς ταῦτα; πότερον αὐτὸ ἑαυτὸ ἐπανορθοῦται τὸ φάντασμα, ἢ ὑπὸ ἄλλου τοῦ εὐθύνεται μεταδιδασκόμενον. Πόθεν δὲ καὶ τοῦτο τὸ ἕτερον; Πῶς δὲ καὶ θάτερον θατέρου συνίησι; Συνιὸν δὲ τοῦ ἀντικειμένου παρέθετο; Παραθέμενον δὲ μεταπέπεικε; Μεταπεῖσαν δὲ εἰς ὀρθότητα ἐκ ἐπανήγαγεν; „ Ἀλλ' ἔμπης ὑ-
„ ποσημαίνει μετὰ τοῦ ἱεροῦ ἀνδρὸς, ἄλλο μὲν ἡμεῖς, ἄλλο
„ δὲ ἡ αἴσθησις ἡ ἐν ἡμῖν. Διὸ καὶ ταύτης ἐξαπατωμένης,
„ κρείττονες αὐτοὶ τῆς ἀπάτης γιγνόμεθα. (2)

Β'. Αἱ περὶ τὰ οἱασοῦν ὕλης ἀφῃρημένα, κρίσεις, καὶ διάνοιαι, πῶς ἂν, φησὶν, ὅλως κινήσεις καὶ αὗται σωματικαὶ εἶεν; Τὰ μὲν γὰρ τοῦ τριγώνου, καὶ τετραγώνου, καὶ ὀρθογωνίου, καὶ γραμμῆς, καὶ τῶν τοιούτων φαντάσματα, ταῖς κατὰ τὸν ἐγκέφαλον συμβολαῖς ὁπωσοῦν παρίστασθαι διατεινόμενος, οἱονεί τινας ἐπὶ πίνακος, φωτὸς ἐπαυγάζοντος ἐμφάσεις καὶ ἀπεικάσματα, τάχα καὶ πείσαις. Τὸ δὲ δὴ, καὶ ἦν αἱ τρεῖς ἐπὶ παντὸς τριγώνου γωνίαι πρὸς ὀρθὰς δύω ἰσότητα ἔλαχον, καὶ ἦν ὀρθογώνια πρὸς τετράγωνα, ἢ ὁποιαοῦν εὐθύγραμμα παραβαλλόμενα ἰσότητα, ἢ διαφορὰν, σχημάτων τε πάθη παντοῖα, καὶ ἀριθμῶν ἴδια, ἃ μόλις, καὶ ἐν μακραῖς συλλογισμῶν ἀκολουθίαις ληπτὰ γίνεται, καὶ ταῦτα δὴ ταῖς θαυμασίαις ἐκείναις συμβολαῖς, τοῦ ἐγκεφάλου προσεγκολάπτεσθαι, τίς ἂν πεισθείη ἀκούσας, εἰ μὴ αὐτὸν εἴη ἐξεπτυκὼς τὸν ἐγκέφαλον. Σὺ οὖν (3) Γεωμέτρης ὢν τὴν

(2) Ψυχοσοφ. Πρότ. ή. Σχολ.
(2) Βιβλ. Β'. τῆς Μεταλογ. Κεφ. γ'.
(3) Γενουήνσ. Ψυχοσ. εὐθὺ σιωπ.

τὴν ἐπαγγελίαν, φησὶ, Γεωμέτραις ἂν ὑποβάλῃς, τὰς περὶ τῶν τοιούτων ἀκριβεῖς τε καὶ διεξοδικὰς δείξεις, προσδοκᾷ κοινοτενεῖς εἶναι τινὰς κινημάτων, ἄλλο δ' οὐδέν. Οὐά! Ἀλλ' ὑποσυναπτέον αὖθις σὺν Αὐγουστίνῳ (1) „ ὡς εἰ τὰ „ σωματικὰ, ὀφθαλμοῖς τοῖς σωματικοῖς δι' οἰκειότητα, „ ὁρατὰ καθίσταται, ἀνάγκη πᾶσα καὶ τὴν ψυχὴν καθ' ἣν τὰ ἀσώματα θεωροῦμεν, εἶναι ἀσώματον.

Γ'. Καὶ ὄνομα δέ τινος, οἷον τοῦ παιδὸς Ἀλεξάνδρου (2) ἀπερρυηκός μου τῆς μνήμης, ἀνακαλούμενος, καὶ δὴ καί τινος ὑπομνῆσαι πειρωμένου, καὶ Περδίκαν, Λυσίμαχον. Σέλευκον, Ἀντίοχον, ἄλλον ἐξ ἄλλου ὑποβάλλοντος, ἐπὶ μηδενὶ τῶν καταλεχθέντων, τὸν ἄνδρα ἐπιγινώσκοντι, παρειόντις ὑπέθετο τέως τὸν Φίλιππον, καὶ οὗτος ἐκεῖνος αὐτίκα ἐβόησα. Τίς οὖν ὁ τὰ μὲν τῶν εἰρημένων δοκιμάσας, τὰ δὲ μή; πόθεν δὲ, ἡ τοῦ ἀληθοῦς ἐν τούτοις, καὶ μὴ τοιούτου συνείδησις; Μῶν ἀλλήλαις προσηνῶς τε καὶ ἡδέως αἱ συμβολαὶ ἀπαντήσασαι, τὴν ἐξ αὐτῶν γνησίαν κοινῇ τῇ ψήφῳ ἐπέγνωσάν τε καὶ ἐδοκίμασαν; Ἀλλὰ μὴ καὶ καταγέλασον, τὰς ἐν ἡμῖν μνήμας τε, καὶ ἀναμνήσεις διὰ τῶν σωματικῶν πειρᾶσθαι διερμηνεύειν κινήσεων; (3).

Δ'. Καλείσθω μοι, φησὶ (4) τὸ κυνάριον Βλίτυρι. Ἐκφωνείτω δέ τις τουτὶ τὸ τοῖς ἄλλοις ἄσημαντον. Ἐμοὶ γοῦν αὐτίκα διὰ τῆς φωνῆς, ἡ τοῦ ζῳδίου ὑπεισέρχεται ἔννοια, τοῖς δὲ λοιποῖς τοιοῦτον οὐδέν. Τίς οὖν ὁ διακρίνων; Τί δὲ ἐκ κινήσεως τῆς αὐτῆς, τῷ μὲν τοῦ κυνὸς, τοῖς δὲ τοῦ μηδενὸς ἐνθυμήσεις προβάλλονται, αἱ πλείστην ὅσην τὴν διαφορὰν ἔχουσαι; (5)

Ταῦτα γοῦν τοιαῦτα ἐστὶν, οἷα οὔπω πορρωτάτω τῆς σωματικῆς ἀπεῖναι φύσεως, καὶ δυνάμεως, ὅσῳ οὐρανὸς, φασὶν,

(1) Βιβλ. Β'. τῶν Μονολογ. Κεφ. ιθ'. Καὶ περὶ πηλικότ. ψυχ. ἀπὸ τοῦ δ'. μέχρι τοῦ ιγ'. Κεφαλαίου.
(2) Γεννάδ. ἔνθα ἀνωτ.
(3) Μόρος περὶ Ἀθαν. ψυχ. Βιβλ. Β'. Κεφ. ί.
(4) Γεννάδ. ἐν οἷς ἀνωτ.
(5) Αὐγουστ. περὶ ποσότ. ψυχ. Κεφ. κβ'.



σὶν, ἄπεστι γαίης, εἰ μὴ καὶ πλέον. Διὸ καὶ ὁ Ῥωμαῖος Λουκρέτιος, καίτοι ἄλλως τῶν Ἐπικούρου λήρων δεινὸς ὢν θιασώτης, ἐπεὶ συνεῖδεν ὅλως ἀμήχανον εἶναι διὰ τῶν ἡμῖν συνεγνωσμένων σωμάτων, τὰς γνωστικὰς δὴ ταύτας τῆς ψυχῆς ἐνεργείας ἑρμηνεῦσαι, ἑτέραν τινὰ παρὰ τὰς ὁμολογουμένας δεῖν ἔγνω παρεισενεγκεῖν σώματος φύσιν, ἥπερ οὐδὲ κλῆσιν ὅλως ἐπιθεῖναι τετόλμηκεν, αἰδούμενος ἀμέλει καὶ ὀνομάζειν, ᾧ τὸ εἶναι αὐτὸς πλάττων ἐτύγχανεν. (1)

Ea est omnino nominis expers.

Κἂν τούτῳ τῷ Καθηγεμόνι παρηκολουθηκὼς Ἐπικούρῳ, „ τῷ τὴν ψυχὴν ἐκ τετάρτου τινὸς ἀκατονομάστου, ὃ ἦν „ αὐτῷ αἰσθητικὸν ὑποτιθεμένῳ. (2) Τί δαί; εἰ καὶ Γασσένδιος αὐτὸς ὁ Νεώτερος Ἐπικούρειος, ὁ τὰς ἐν ἡμῖν νοήσεις, διὰ κινήσεων σωματικῶν τινων τελεῖσθαι διατεινόμενος, παλινῳδίαν οἷον ἔοικεν ᾆσαι, αὐτὸς τοῖς αὑτοῦ μὴ πάνυ πολὺ ἀρεσκόμενος; „ τίς γάρ ποτε, φησὶν (3) ὅλως ἀναπεισθήσεται, τῇ τῶν θύραθεν ἐπιόντων προσβολῇ, οὐχ ὅ„πως κίνησιν παρεμποιεῖσθαι, ἀλλὰ καὶ ἀντίληψιν νοητι„κὴν ἡμῖν ἐνεγείρεσθαι;

Τῆλε μάλ' ἧχι βύθιστον ὑπὸ χθονός ἐστι βέρεθρον.

Ὁ γάρ τοι τοῦτο μὴ πεπεισμένος, πῶς αὐτὸς πείθειν ἄλλους ἐπεχείρησας;

## Θεώρημα Θ'.

§. ψζ'. „ Ἐὰν ἁπλῶς ἡ κίνησις ἀντὶ τῆς ἀπὸ τοῦ δυ„νάμει ἐπὶ τὸ ἐνεργείᾳ μεταβολῆς ἐκληφθῇ, κινητὴν εἶ„ναι φήσομεν τὴν ψυχὴν, καὶ ὑφ' ἑαυτῆς καὶ ὑφ' ἑτέρου, ὡς „ ἐξ ἀφορμῆς.

Μεταβάλλει γὰρ ἡ ψυχὴ καὶ τῷ ἁπλῶς τοῖς πράγμασι προ-

(1) Βιβλ. Γ'. Ἔπει 239.
(2) Παρὰ Πλουτάρχῳ περὶ τῶν Ἀρεσκ. Βιβλ. Δ'. Κεφ. γ'.
(3) Ἐν τῷ Λεβιαθάν, Σελ. γ'.

προσέχειν, ἀφ' ἑτέρου ἐφ' ἕτερον γνωστικῶς μεθισταμένη, τῶν ἐπιβολῶν αὐτῇ ἀμειβομένων, καὶ ἄλλας ἄλλων διαδεχομένων. (§. χξή.) καὶ τὰ ἄλλα ἐξ ἄλλων ἐπιφέρειν, διὰ τῶν κατὰ τὰς διανοίας, καὶ τὰς δόξας μεταβάσεων, ἀπὸ τοῦ ἡγουμένου ἐπὶ τὸ ἑπόμενον. (§. χπ΄.) Καὶ τὰ ἄλλα πρὸ ἄλλων προαιρεῖσθαι, τὰ μὲν θηρωμένην, τὰ δὲ ἐκκλίνουσαν (§. χπά. χπβ΄.). Μεταβάλλει δὲ καὶ καθ' ἕξιν, ἐξ ἀγνοίας γνῶσιν πορίζομένη, καὶ ἐκ μοχθηρίας εἰς ἀρετὴν εἰδοποιουμένη, καὶ μεταρρυθμιζομένη. Ἐπὶ τούτων δὲ πάντων τὸ δυνάμει ἀ. ἔχουσα, εἰς τὸ ἐνεργείᾳ γίγνεται. Προϋποτίθεται γὰρ ἀεὶ τοῦ εἶναι, ἢ ὧδέ πως εἶναι, τὸ δύνασθαι. (§. ρηβ΄.) Ἐὰν ἄρα ἡ κίνησις αὕτη τῆς ἀπὸ τοῦ δυνάμει ἐπὶ τὸ ἐνεργείᾳ μεταβολῆς, κτ. Ο. Η. τὸ Α΄.

Ἀλλ' ἐπὶ τὸ γιγνώσκειν, νῦν μὲν οἴκοθεν εἰς τὸ μεταβάλλειν ἐπείγεται, νῦν δὲ θύραθεν ὑπὸ τῶν ἐμπιπτουσῶν τῷ σώματι προσβολῶν ἐνάγεται· (§. χοά.) καὶ ἐπὶ τῶν προαιρέσεων δὲ ὡσαύτως· (§. χπά. χπβ΄.) διὸ καὶ οἱ μὲν αὐτοδίδακτοί πως εἰσίν, οἱ δὲ ὑφ' ἑτέρων. Καὶ οἱ μὲν αὐθαιρέτως ἐπιχειροῦντες, οἷς ἂν ἐπιχειρῶσιν, οἱ δὲ διὰ προτροπῆς τῆς παρὰ τῶν ἄλλων κινούμενοι διεπράξαντο. Ἄρα καὶ ὑφ' ἑαυτῆς, καὶ ὑφ' ἑτέρου. Ὅπερ ἦν τὸ Β΄., καὶ τὸ Γ΄. Τὸ δ' ὑφ' ἑτέρου ἐνάγοντος διὰ σωματικῆς τινος κινήσεως, ὡς ἐξ ἀφορμῆς ἐκληπτέον. Τὸ γὰρ σῶμα κυρίως ἐστὶ τὸ κινούμενον, κινεῖται δὲ ἡ ψυχή, ᾗ τὴν ἐν τῷ σώματι κίνησιν γνωστικῶς προσλαμβάνουσα, καὶ δὴ καὶ τῷ ἐν κινουμένῳ εἶναι κατὰ συμβεβηκός, αὐτῷ πως συμμεθισταμένη τῷ σώματι. Ἄρα κτ. Ο. Η. τὸ Β΄.

## Σχόλιον.

§. ψή. Ὅτι δὲ πᾶσα μεταβολὴ ἐν φύσει κίνησίς τις λέγεται εἶναι, οἷα καὶ ἐν αὐτῇ τῇ ψυχῇ ἐπιθεωρεῖσθαι, καὶ ἐν ἄλλοις (§. φοά. φοβ΄.) φθάσας ἡμῖν ὁ λόγος ὑπεδείξατο. Ἔοικε δὲ πρὸς τὴν τοιαύτην κίνησιν καὶ τὸν Πλάτωνα ἀπιδόντα „ἐν μὲν τῷ Φαίδρῳ αὐτοκίνητον ὁρίσασθαι τὴν „ψυχήν. Ἐν δὲ τῷ Ι΄. τῶν Νόμων, δυναμένην ἑαυτὴν „κινεῖν. Ἀλλὰ καὶ Ἀριστοτέλην αὐτόν, καίτοι σφοδρῶς ἀγωνιζόμενον (1), τὸ καθ' ἑαυτὴν κινεῖσθαι τὴν ψυχὴν ἀποδεῖξαι οὔτι εἶναι τῶν ἀδυνάτων, καὶ τῷ Πλάτωνι δοκοῦντα ἀντιφέρεσθαι, (ᾗ φασὶ Σιμπλίκιος, καὶ Φιλόπονος (2), εἴ τις ταύτης ἀποστερεῖν οἴοιτο τῆς κινήσεως τὴν ψυχήν, ἴσω πολὺ τῆς τοῦ Φιλοσόφου ἐννοίας, μᾶλλον δὲ τοῦ παντὸς διαμαρτάνειν. Ἀποδοὺς γὰρ ἐκεῖνος (3) ἐν τοῖς Φυσικοῖς, ὅτι κίνησις ἁπλῶς ἐστίν, ἡ τοῦ δυνάμει ὄντος ἐντελέχεια ᾗ τοιοῦτον, καὶ ὁδὸν οἷόν τινα ἀπὸ τῆς δυνάμεως ἐπὶ τὴν ἐνέργειαν, ἀποφηνάμενος τὸ κινεῖσθαι, ἐν ἄλλοις που (4) ὁ αὐτὸς εἰσηγεῖται „ὡς ἡ ψυχὴ δυνάμει τυγχάνει νοῦς. „Καὶ ὅτι γίνεταί ποτε Νοῦς ἐνεργείᾳ. Καὶ εὖγε, φησίν, „οἱ λέγοντες τὴν ψυχὴν τόπον εἰδῶν. Πλὴν ὅτι οὐ πᾶσα, ἀλλ' ἡ νοητική. Καὶ οὐκ ἐντελέχεια, ἀλλὰ τὰ εἴδη „δυνάμει. Καὶ πάλιν, φησίν, ὅτι γραμματείῳ ἔοικεν „ἀγράφῳ. Ταὐτὸν δὲ εἰπεῖν (ὡς ἀναπτύσσει ὁ Φιλόπονος) δυνάμει γραμματείῳ, ὃ γίνεταί ποτε ἐνεργείᾳ γεγραμμένον. Καὶ μὴν ἐστὶν οἷς ἀπὸ τοῦ Περιπάτου ταῦτα οὐ δοκεῖ. Φασὶ γὰρ ὅτι ἐν τῷ Γ΄. Βιβλ. τῶν Φυσικῶν, ὁλοσχερέστερον περὶ κινήσεως εἰπών, μεταβολὴν αὐτὴν ἐξωνόμασεν. Ἐν δὲ τῷ Ε΄. Βιβλ. διορισάμενος ἀκριβέστερον, φησὶ τὴν μεταβολὴν ἐπιπλέον εἶναι τῆς κινήσεως, ὡς ἐκείνης κατὰ τὰς τέσσαρας κατηγορίας γινομένης, τῆς μὲν ἐν ταῖς τρισὶ μόναις ποσῷ, καὶ ποιῷ, καὶ ποῦ κινήσεις εἶναι, τὴν δὲ κατ' οὐσίαν οὐδαμῶς. Δεῖ γὰρ τὸ κινούμενον μένειν ἵνα καὶ κινῆται· τὸ δὲ γινόμενον, καὶ φθειρόμενον, οὐ μένει. Διὸ καὶ τὴν κίνησιν ἄλλως ὁρίζεται ἐν ἐκείνοις· „φησὶ γὰρ κίνησιν εἶναι τὴν ἐξ εἰδοπεποιημένου, „εἰς εἰδοπεποιημένον μεταβολήν. Ταὐτὸν δὲ εἰπεῖν τὴν „ἐξ

(1) Βιβλ. Α΄. Περὶ ψυχ.
(2) Αὐτ. ἐν Ὑπομνήμασι.
(3) Βιβλ. Γ΄. Φυσικ. Ἀκροάσ.
(4) Ἐν τῷ Α΄. τῶν περὶ ψυχ.

„ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον· ἡ δὲ γένεσις καὶ φθορὰ,
„ ἡ μὲν ἐξ ἀνειδέου εἰς εἶδος μεταβάλλει, ἡ δὲ ἐξ εἰδο-
„ πεποιημένου εἰς ἀνείδεον. Πρὸς ταῦτα μέντοι οὐκ ἀγεν-
νῶς ὁ Φιλόπονος (1) ἀπαντήσας φαίνεται, αὐθυπενεγκών.

Α'. Ἐπειδὴ γὰρ ὁ τῆς μεταβολῆς ὁρισμὸς, καὶ ἐπ' αὐτῆς
τῆς ψυχῆς ἁρμόζει, ἤτοι μεταβάλλειν ῥητέον τὴν ψυχὴν,
κατὰ μίαν τῶν τριῶν κατηγοριῶν, καὶ οὕτω κινηθήσεται· ἡ γὰρ
ἐν αὐταῖς μεταβολὴ, ἢ κἀκείνοις δοκεῖ, κυριώτατα κίνη-
σις. Ἤ, εἰ μὴ τοῦτο βούλονται, ἐπὶ τὴν κατ' οὐσίαν μετα-
βολὴν καταφευκτέον. „ Τοῦτο δὲ ἐστὶ γένεσις, καὶ φθορά·
„ ὥστε ὁπηνίκα μὲν μανθάνῃ γίνεσθαι μὲν αὐτὴν ἐροῦμεν,
„ ὅταν δὲ ἀγνοῇ φθείρεσθαι. Ἀλλὰ τοῦτο καταγέλαστον·
„ ἦν γὰρ ἡ ψυχὴ ψυχὴ καὶ πρὶν μάθῃ. Εἰ τοίνυν μὴ κα-
„ τ' οὐσίαν μεταβάλλει, ἀνάγκη κατ' ἄλλην τινὰ τῶν κατη-
„ γοριῶν τὴν μεταβολὴν αὐτῆς εἶναι. Αἱ δὲ κατ' ἐκείνας
„ μεταβολαὶ κινήσεις εἰσίν· κινεῖται ἄρα καὶ ἡ ψυχή. Εἰ
„ δὲ φαίνεται καὶ ὁ Ἀριστοτέλης τὴν ἐκ τοῦ δυνάμει εἰς τὸ
„ ἐνεργείᾳ μεταβολὴν τῆς ψυχῆς γένεσιν μᾶλλον λέγων
„ εἶναι, οὐκ ἀλλοίωσιν· (φαμὲν γὰρ ὡς ὁ τοιοῦτος ἐπιστήμων
ἐγένετο) ἀλλ' ἡ γένεσις ἐνταῦθα τῆς τελειότητος ἐστὶ, φη-
„ σὶν, οὐ τῆς οὐσίας· ὥστε τὶς γένεσις τὸ τοιοῦτον, οὐχ ἁ-
„ πλῶς γένεσις.

Β'. Καὶ ἄλλως ἡ κακία καὶ ἡ ἀρετὴ ἐναντίαι εἰσίν.
„ Εἰ γὰρ καὶ λέγεται στέρησις εἶναι ἡ κακία ὡς ἀόριστον καὶ
„ ἀνείδεον, ἀλλ' οὖν διὰ τὸ μεταβάλλειν εἰς ἀρετὴν, ἐναν-
„ τίον ἔσαι, καὶ οὐ στέρησις· μεταβάλλει δὲ τὸ ἐναντίον εἰς
„ τὸ ἐναντίον, ὡς τὸ μέλαν εἰς τὸ λευκον· οὐκοῦν ἡ ψυχὴ
„ ἐκ κακίας εἰς ἀρετὴν μεταβάλλει. Καὶ ἔμπαλιν· ταῦ-
„ τα δὲ ἐναντία. Ἡ γὰρ εἰς τὰ ἐναντία μεταβολὴ κίνησις
„ ἐστίν· ὑπὸ γὰρ τὴν ποιότητα ἀνάγονται. Κινεῖται ἄρα ἡ
„ ψυχή.

Γ'. Καὶ ἄλλως, αὐτὸς φησὶν ὁ Ἀριστοτέλης, ταύτῃ διαφέ-
„ ρειν κίνησιν ἐνεργείας, τῷ τὴν μὲν κίνησιν ἀτελῆ ἐνέρ-

„ γειαν,

(1) Ἐν Ὑπομνήμ.



„ γειαν, τὴν δ' ἐνέργειαν ἀθρόαν εἶναι. Διὸ καὶ τὰ θεῖα
„ αὐτοῦ δυνάμεως ἐνεργείᾳ εἶναι ἔφη· ὅθεν ἐζήτησεν ἐν
„ τῇ φυσικῇ Ἀκροάσει, πότερον δύο εἰσὶν αἱ κινήσεις ἐν
„ τῷ κινοῦντι, καὶ τῷ κινουμένῳ, ἢ μία; Καὶ ἔδειξεν ὅτι
„ μία. Εἶτα πάλιν ἐζήτησε τίνος ἂν εἴη ἡ κίνησις, τοῦ
„ κινοῦντος, ἢ τοῦ κινουμένου; καὶ ἔδειξεν ὅτι τοῦ κινουμένου. Ἐ-
„ κεῖνος γὰρ ἐστὶν ὁ ἐκ τοῦ ἀτελοῦς εἰς τὸ τέλειον προβαίνων,
„ οὐχ ὁ κινῶν, ὡς ἐπὶ τοῦ μαθητοῦ ἔχει, καὶ τοῦ Διδασκά-
„ λου. Μία γὰρ ἡ κίνησις ἐπ' ἀμφοῖν, ἀρχομένη μὲν ἀπὸ
„ τοῦ Διδασκάλου, τελευτῶσα δὲ εἰς τὸν μαθητήν. Κινεῖ-
„ ται γὰρ οὐχ ὁ Διδάσκαλος, ἀλλ' ὁ μαθητής· ὁ μὲν γὰρ
„ ἔχει τὴν ἕξιν, φησὶ, τελείαν καὶ ἀθρόαν· ὁ δὲ εἰς ταύ-
„ την ἄγεται κατὰ μέρος. Εἰ τοίνυν κατ' αὐτὸν κίνησις μὲν
„ ἐστὶν ἡ ἀτελὴς, ἡ δὲ ἐνέργεια ἀθρόα ἐστὶν, ἐρωτήσομεν
„ αὐτὸν ἐπὶ ψυχῆς πῶς ἔχει; κινεῖται, ἢ οὔ; Εἰ μὲν οὐ
„ κινεῖται οὐ προκόπτει ἀπὸ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον, οὐ
„ κινεῖται ἀπὸ ἀγνωσίας εἰς γνῶσιν, οὐδὲ ἀπὸ προτάσεων
„ ἐπὶ συμπεράσματα. Εἰ δὲ ταῦτα ἐπὶ ψυχῆς ὁρῶνται,
„ καὶ ἀθρόαν οὐκ ἔχει τὴν ἐνέργειαν, οὐδὲ ἔστιν αὐτοῦ δυνά-
„ μεως ἐνέργεια, κινεῖται ἄρα· τοῦτο γὰρ καὶ αὐτὸς ὡρίσατο
„ κίνησιν εἶναι, τὴν ὁδὸν τὴν ἐκ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέ-
„ λειον.

Δ'. Καὶ ἄλλως, αὐτὸς φησὶν, ὅτι ἐν οἷς τὸ πρότερον καὶ
„ τὸ ὕστερον, ἐν τούτοις πάντως καὶ χρόνος· ἐκ τοῦ χρόνου γὰρ
„ ἐφήκει τὸ πρότερον καὶ τὸ ὕστερον, οἷς ἂν ἐφήκοι· ἐν οἷς
„ δὲ χρόνος, ἐν τούτοις πάντως καὶ κίνησις. Καὶ γὰρ ἐπαλ-
„ λάττουσι ταῦτα· ἔστι δ' ἐν ψυχῇ τὸ πρότερον καὶ τὸ ὕστε-
„ ρον. Καὶ κίνησις ἄρα· ὅτι δὲ ἐστὶν ἐν ψυχῇ τὸ πρότε-
„ ρον καὶ τὸ ὕστερον προφανές· μέτεισι γοῦν ἀπὸ προτάσεως
„ εἰς συμπέρασμα, καὶ οὐ πάντα ἅμα γινώσκει, ἀλλὰ ἄλ-
„ λο πρὸ ἄλλου· οὐδὲ πάντων ἅμα ὧν οἶδε τὴν προχείρη-
„ σιν ποιεῖται, ἀλλὰ τοῦ μὲν πρότερον, τοῦ δὲ ὕστερον. Καὶ
„ καθόλου μέτεισιν ἀπὸ ἀρετῆς εἰς κακίαν, καὶ ἀπὸ ἀ-
„ γνωσίας εἰς γνῶσιν.

Ὑποσημαντέον τοίνυν μετὰ τοῦ Φιλοπόνου, ὅτι εὐγνώμονι
„ διαιτητῇ τῶν λόγων τούτων, οὐδεμία εὑρεθήσεται μάχη ἐν
„ αὐτοῖς· (Ἀριστοτέλει καὶ Πλάτωνι.) πλὴν ἐν μόναις

C 4 „ ταῖς

„ ταῖς φωναῖς· ὥσπερ γὰρ πολλαχοῦ εἴωθε ποιεῖν, τὸ φαινόμενον ἐλέγχειν, οὕτω κἀνταῦθα· ἐπειδὴ γὰρ αἱ ὄντως κινήσεις, αἳ καὶ συνεγνωσμέναι ἡμῖν εἰσί, μόναι αἱ φυσικαί, τούτων δὲ οὐδεμίαν ἡ ψυχὴ κινεῖται. Οὔτε γὰρ αὔξεται, ἢ μειοῦται, ἢ κατὰ ποιότητα, ἢ κατὰ τόπον μεταβάλλει, ἵνα μήτις τοῦ Πλάτωνος ἀεικίνητον λέγοντος τὴν ψυχήν, νομίσειεν αὐτὸν μίαν τῶν φυσικῶν, καὶ συνεγνωσμένων ἡμῖν κινήσεων λέγειν αὐτὸν κινεῖσθαι, διὰ τοῦτο δείκνυσιν αὐτὸς παντελῶς ἀκίνητον οὖσαν ταύτας τὰς κινήσεις, καὶ ἔστιν ἀληθὴς ὁ λόγος, καὶ Πλάτωνι δοκῶν, εἴγε ἀσώματον αὐτὴν καὶ ὁ Πλάτων οἴεται εἶναι. Κινοῖτο δ' ἂν καὶ κατὰ Πλάτωνα; ἀλλὰ τινὰς κινήσεις τὰς νοητικάς, καὶ μάλιστα τὰς ζωτικάς· καθ' ἃς καὶ μάλιστα ἀεικίνητον αὐτὴν φησὶν εἶναι ὁ Πλάτων· ζωοποιεῖ γὰρ ἀεί, καὶ ἐν κάροις ὄντος τοῦ ζώου, καὶ ὑπνοῦντος, ὅτε κατανοητικῶς οὐκ ἐνεργεῖ. Τοῦ μὲν Πλάτωνος πᾶσαν ἁπλῶς ἐνέργειαν κίνησιν εἶναι λέγοντος, τοῦ δὲ Ἀριστοτέλους μόνας τὰς φυσικὰς κινήσεις εἶναι λέγοντος, ἀληθὴς καὶ ὁ λόγος ὁ κινεῖσθαι λέγων τὴν ψυχὴν κατὰ Πλάτωνα, καὶ ὁ μὴ κινεῖσθαι κατὰ Ἀριστοτέλην. Καὶ ἐν μόνοις ῥήμασιν ἡ διαφωνία εὑρίσκεται.

## Θεώρημα Ι΄.

§. ψθ΄. „ Τὴν ψυχὴν ἐκ μερῶν, ἐκτὸς ἀλλήλων συγκεκροτῆσθαι ἀδύνατον.

Ἤτοι γὰρ κατ' οὐδὲν τῶν ἐν αὐτῇ μερῶν νοήσει, καὶ προαιρεῖται, ἢ καθ' ἕν τι τούτων, ἢ κατὰ πλείω, ἢ κατὰ πάντα.

Ἀλλ' εἰ κατ' οὐδέν, οὐδὲ νοήσει ἄρα, οὐδὲ προαιρεῖται.

Εἰ δὲ καθ' ἕν, τοῦτο ἄρα ἡ ψυχή· τὰ δὲ λοιπὰ περιττά· τὸ δὲ δή, ἤτοι ἀδιαίρετόν ἐστι, καὶ ἐκτάσεως οἱασοῦν ἄμοιρον, καὶ οὕτως ἔσται ἡμῖν ὁμόλογον τὸ τεθέν· ἄλλως τε καὶ οὐδὲ κυρίως εἰπεῖν μέρος. Ἢ γοῦν ἔκτασιν ἔχον εἰς πλείονα τυγχάνει διαιρετόν, διὸ οὐδὲ καθ' ἓν ἡ ψυχὴ νοήσει, καὶ προαιρεῖται (κατὰ τὴν ὑποθ.) κατὰ δὲ πλείονα, ἢ πάντα.

Εἰ



Εἰ δὲ κατὰ πλείονα, τοῦτο ἐπιεικῶς ἀποκληρωτικόν· τί γὰρ τὰ μέν, τὰ δ' οὔ; τίς δ' ὁ ἀριθμός, καὶ τίς ὁ λόγος; Καὶ πρὸς δὴ τούτοις περιττὰ ὡσαύτως τὰ ἄλλα. Καὶ οὐδ' ἐν αὐτοῖς ἡ νοητικὴ καὶ προαιρετικὴ φύσις, οἵαν τὴν ψυχὴν εἶναι πάντες ἐδέξαντο.

Εἰ δὲ κατὰ πάντα, ἤτοι χωρὶς ἓν ἕκαστον αὐτῶν νοεῖν ἐστὶ καὶ προαιρούμενον ἅπαντα, ἢ πάντα ἅμα τῶν νοητῶν ἕκαστον, ἢ τόδε μὲν τόδε, τόδε δὲ τόδε. Ἀλλ' εἰ μὲν ἕκαστον ἅπαντα, πολλαὶ ἄρα αἱ νοήσεις καὶ αἱρέσεις τοῦ αὐτοῦ, ὅσα τὰ μέρη. Καὶ ἤτοι ἄπειροι ἐὰν ἄπειρα, κἀντεῦθεν ἐπεὶ τὸ ἄπειρον ἀδιεξίτητον, οὐδὲ νοήσεις, οὐδὲ αἱρέσεις· ἢ πεπερασμέναι ἐὰν ἔχῃ πέρας. Ἀποχωρώσης δὲ τῆς μιᾶς, καὶ οὕτως αὖθις αἱ λοιπαὶ περιτταί. Ἐῶ γὰρ λέγειν, ὡς τοῦτο παρὰ τὴν κοινήν ἐστι λεγόμενον ἔννοιαν, μοναδικὰς γὰρ ἑκάστων ἡμᾶς ἔχειν τὰς ἀντιλήψεις, καὶ τὰς αἱρέσεις, εἰ μὴ δόξειεν ἐπαναλαμβάνειν ἐπίτηδες, σφίσιν αὐτοῖς ἅπαντες συνῳσμένον. Ἢ πάντα εἰς ταὐτὸ συνιόντα τὰ μέρη, τῶν νοητῶν ἑκάστῳ προσέχει. τί οὖν προσέχοντα ποιεῖ; πότερον ἀντιλαμβάνεται τοῦ νοητοῦ, καὶ τούτου ἐφίεται προαιρετικῶς, ἕκαστον, ἢ οὔ; εἰ γὰρ τοῦτο, οὐδὲ πάντα· εἰ δ' ἐκεῖνο, ἢ ὅλου ἕκαστον, ἢ μέρους. Ἀλλ' εἰ μὲν ὅλου ἕκαστον, προσηρέσομεν ἄρα καὶ δεύτερον πρὸς τὸ ἀνωτέρω· εἰ δὲ δὴ μέρος, οὐκ ἄρα ἀντιληπτά, οὐδ' αἱρετὰ τὰ ἁπλᾶ τε καὶ ἀμερῆ· εἰ δὲ μὴ ἐκεῖνα, δέος μὴ οὐδὲ τὰ σύνθετα, καὶ ἐξ ἐκείνων. Καὶ οὐδὲν ὅλως. Ἀλλὰ τὰ ἁπλᾶ πάντως οὐχί· ταὐτὸν δὲ εἰπεῖν, ὡς οὐκ ἔστι νοητὰ τὰ μάλιστα νοητά· ὅμοιον γὰρ τοῦτο, ὡς εἰ καὶ πολλαὶ χεῖρες ἐπὶ ὤσει συνέλθωσι, τὸ βάρος οἷον συμμερισάμεναι. Ἢ τόδε μὲν τέως προσέχει τῷδε, τόδε δὲ τῷδε· τοῦτο δέ, ἢ ὅτι πρὸς τὰ λοιπὰ ἀποπεφυκός ἐστιν ἕκαστον, ἢ οὐχί, ἀλλὰ δυνάμενον· ὥσπερ οἱ ἐκ διαδοχῆς συνεργαζόμενοι, καὶ συμπονοῦντες. Ἀλλ' εἰ μὲν τοῦτο, τίς ὁ ἀποκληρώσας; Καὶ παρὰ τοῦτο, περιττὰ τὰ ἄλλα. Εἰ δ' ἐκεῖνο, καὶ οὐσιωδῶς διοίσει, ὥσπερ τὰ νοητά. Τίς δὲ ἡ οὐσιώδης διαφορά, οὐδ' ἂν πλάττειν βουλομένοις ἔστιν εἰπεῖν. Ἄλλως τε δέ, καὶ οὐδὲ ἀπόφανσις ὅλως ἔσται, τοῦ μὲν τὸ ὑποκείμενον νοοῦντος, τοῦ δὲ τὸ κατηγορούμενον. Καὶ οὐδὲ διάνοια τῶν μὲν τὰ ἄκρα, τοῦ δὲ τὸ μέσον. Καὶ τῶν μὲν

τὰς

τὰς προκειμένας, τοῦ δὲ τὸ συμπέρασμα. Δεῖ γὰρ δὴ τὸν ἀποφαινόμενον, καὶ συλλογιστικῶς συνάγοντα ἐκ κειμένων, ἐκεῖνα πάντα τὸν αὐτὸν εἰδέναι περὶ ὧν ἀποφαίνεται, καὶ συμπεραίνει. ( §. χοη. χπ. ) Νῦν δὲ εἰ τὸ μὲν τόδε, τὸ δὲ τόδε ἥψατο, οὐδεὶς ἔσται συλλογισμός, ἀπόφανσις οὐδεμία· ὡς οὐδὲ ἄνθρωποι δύω ἀνὰ μέρος ἁπλῶς νοοῦντες, κρίνειεν ἄν ποτε, ἢ συλλογισθεῖεν περὶ ὧν ἐν μέρει ἐνεθυμήθη ἑκάτερος. Ἀλλ' οὐδὲ προαίρεσις ἔσται· ἔστι γὰρ αὕτη αἵρεσίς τις τοῦδε πρὸ τοῦδε. ( §. χπα. χπβ. κξ. ) Καὶ πῶς ἂν προέλοιτο ὃ μὴ νοεῖ, ἢ οὐ μὴ νοεῖ;

Ἄρα τὴν ψυχὴν ἐκ μερῶν ἐκτὸς ἀλλήλων συγκεκροτῆσθαι ἀδύνατον. Ο. Ε. Δ.

## Πορίσματα.

§. ψι΄. α΄. Ἐκ δὴ τούτου φανερὸν τὴν ψυχήν, οἵαν οὖν ὑπερῃρημένην εἶναι μεγεθικῆς διαστάσεως, ὅπερ Ἀριστοτέλης κατὰ τοῦ Τιμαίου, πολλοῖς τε ἅμα καὶ καρτερικωτάτοις λόγοις ἀπέδειξεν (1).

Β΄. Δὲ ἐκ τούτου αὖτις συνίδοι, ὡς καταχρηστικώτατα ἡ ψυχὴ τῷ ἀγράφῳ γραμματείῳ εἴκασται, καὶ τόπος εἰδῶν προσείρηται· ταῦτα γὰρ κυρίως ἔκτασιν τὴν τῶν μερῶν ἀπαιτεῖ· εἴρηται δὲ οὐκ ἄλλως, ἢ ὅπως ἂν δῆλον ᾖ, δυνάμει αὐτὴν ἔχειν πρὸς τὰ νοήματα, καὶ κατ' αὐτὰ μεταβάλλειν· ὃν δήπου τρόπον, καὶ ἡ ὕλη τῷ Πλάτωνι (2) τόπος ἤκουσε, ( §. φλη΄. ) τῶν εἰδῶν, ὧν χώρα τε καὶ δεξαμενὴ εἶναι λέγεται.

Γ΄. Ἐκ δὲ τῆς τοῦ Θεωρήματος κατασκευῆς, ἔτι σαφές, ὡς οὐδὲ κατὰ συμβεβηκὸς τῇ ψυχῇ μέτεστι τῆς κατὰ τὸ σῶμα ἐκτάσεως· κατ' οὐσίαν τὴν ἑαυτῆς, τῶν κατ' αὐτὴν διανοητικῶν τε, καὶ βουλητικῶν ἐνεργειῶν, μὴ ἐν μεριστῷ τελεῖσθαι ἐνδεχομένων, ὡς δέδεικται, ἀλλ' ἐν ἀμερίστῳ. ( §. ψθ΄. )

Σχό-

(1) Α΄. Περὶ Ψυχ.
(2) Παρὰ Πλουτάρχ. Ἀρεσκ. Βιβ. Α΄. Κεφ. ιθ΄.



## Σχόλιον Α΄.

§. ψια΄. Πρῶτον μὲν οὖν φησὶν Ἀριστοτέλης (1) οὐ κα-
„ λῶς τὸ λέγειν τὴν ψυχὴν μέγεθος εἶναι· τὴν γὰρ τοῦ
„ παντὸς ( ψυχὴν ) δηλονότι τοιαύτην εἶναι βούλονται ( οἱ
„ περὶ τὸν Τίμαιον. ) οἷόν ποτ' ἐστὶν ὁ καλούμενος νοῦς·
„ οὐ γὰρ δὴ οἷόν γε ἡ αἰσθητική, οὐδ' οἷον ἡ ἐπιθυμητική· τί-
„ των γὰρ ἡ κίνησις οὐ κυκλοφορία. Περὶ γοῦν τῆς λογικῆς
ψυχῆς ἐν τούτοις μάλιστα ἐπανατείνεται λέγων, ἀντιδιαιρῶν
αὐτὴν „ (2) πρὸς τὴν αἰσθητικήν, καὶ ἐπιθυμητικήν, ἥτις
„ οὐδὲ κατὰ τοὺς Πυθαγορείους ἐστὶ κύκλος, ὡς μὴ πρὸς ἑαυ-
„ τὴν ἐπιστρέφουσα, ὅπερ τῶν λογικῶν ψυχῶν ἐστὶν ἴδιον.
Α΄. Οὖν ἐντεῦθεν εἰσβάλλει τὴν δεῖξιν, εἰς τοὐναντίον
περιάγων, καὶ μᾶλλον εἶναί τι διωρισμένον τὸν νοῦν ἐοικέναι
λέγων, ὡς ὁ ἀριθμός, ἢ συνεχῆ, ὡς τὸ μέγεθος. „ Ὁ
„ γὰρ νοῦς εἷς, φησί, καὶ συνεχὴς ὥσπερ ἡ νόησις. Ἡ δὲ
„ νόησις τὰ νοήματα· ταῦτα δὲ τῷ ἐφεξῆς ἕν, ὡς ὁ ἀρι-
„ θμός, ἀλλ' οὐχ ὡς τὸ μέγεθος· διόπερ οὐδὲ νοῦς οὕτω συ-
„ νεχής. Ἐφεξῆς δὲ εἴμοι νόει, οὗ μηδὲν μεταξὺ συγγενὲς
παρεμπίπτει, οἷον μονάς, δυάς, τριάς, καὶ ἑξ. Ὅτι δὲ οὕτω
πολλάκις αἱ νοήσεις ἀλλήλων ἐχόμεναι προΐασιν, ἑτέρα
μετὰ τὴν ἑτέραν, ἐπὶ τῶν συνεισαγωγῶν, καὶ συνναιρέ-
σεων, καὶ ἁπλῶς ἐπὶ τῶν κατὰ τοὺς συλλογισμοὺς ἐπιφορῶν,
δῆλον. Ἀεὶ δ' οὐκ ἂν εἴποιμι, οὐδ' ἐπὶ πάνυ πολλῶν. Καί-
τοι εἰκός γε ἦν ἐπὶ τῶν πλειόνων· ὁ γάρ τοι νοῦς, ὡς αἱ
νοήσεις. Αἱ δέ, ὡς τὰ εἴδη· τὰ δέ, ὡς τὰ ὄντα· ἐπὶ δὲ
τῶν ὄντων τάξις. οὐκοῦν καὶ ἐπὶ εἰδῶν, καὶ τῶν νοήσεων, καὶ τοῦ
νοῦ. Συμβαίνει γοῦν ῥᾳδίως τὸν νοῦν ἐκπίπτειν τῆς τά-
ξεως, ὅτε καὶ ὡς ἀριθμὸς εἷς ἐστί. Πλὴν εἴποτε καὶ τὸ ἓν
εἶναι ἔχει, ἕξει δὴ ὡς ὡρισμένον τι, ὡς δὲ μέγεθος οὐδέ-
ποτε· ὥστε ἐπιφέρει ἐκ τούτων. „ Ἀλλ' ἤτοι ἀμερής, ἢ οὐχ
„ ὡς μέγεθός τι συνεχής.

Β΄. Ἀδύ-

(1) Α΄. Περὶ Ψυχ.
(2) Σιμπλίκιος Ὑπομνημ.

[illegible] σώματον εἶναι δείκνυσι τὸ νοεῖν αὐτὸν μέγεθος ἔ[χοντα]. „ Πῶς γὰρ δὴ καὶ νοήσει ( φησὶ ) μέγεθος ὤν; [κ]αθ' ὅλου ( τοῦ μεγέθους ) ἢ ἐν ὁτῳοῦν τῶν μο[ρί]ων τῶν αὐτοῦ; Μορίων δὲ, ἤτοι κατὰ μέγεθος, ἢ κατὰ [ση]μεῖα· εἰ δεῖ καὶ τοῦτο μόριον εἰπεῖν. Τῷ γὰρ ὄντι οὐδὲ [μόρι]α τὰ ἀδιαίρετα σημεῖα ἐπὶ τοῦ σώματος, ἐπεὶ οὐδὲ ἐξ [αὐτῶν] τὸ ὅλον, οὐδὲ γὰρ ἐξ ἀνεκτάτων τὸ ἔχον ἔκτασιν, οὐ[δὲ] [illegible]. ( §. φιδ'. φιέ. φις'. ) „ Εἰ μὲν οὖν κατὰ [σημεῖα], αὗται δὲ ἄπειροι, δῆλον ὡς οὐδέποτε διέξεισιν [ἀδιεξ]ίτητον γὰρ τὸ ἄπειρον. ) Εἰ δὲ κατὰ μέγεθος, πολ[λάκ]ις, ἢ ἀπειράκις νοήσει τὸ αὐτό ( πολλάκις μὲν εἴγε [π]επερασμένα διαιρεθείη, ἀπειράκις δὲ εἰ εἰς ἄπειρα. (1) ) „ φαίνεται δὲ καὶ ἅπαξ ἐνδεχόμενον. ( ἢ οὐκ ἐνδέχεται ἅ[πα]ξ ποτὲ τὸν νοῦν προσχόντα τινὶ τῶν νοητῶν, μηκέτι περὶ [αὐ]τοῦ αὐτοῦ ὅλως νοῆσαι; ) ὁρᾷς οὖν ἐντεῦθεν ὡς λαμπρὰ [illegible] ἡ ἀντίφασις; νοήσει γὰρ ἄρα ἐν ὁτῳοῦν τῶν μο[ρ]ίων ὁ νοῦς ἢ πολλάκις, μᾶλλον δὲ ἀπειράκις, καὶ ἅ[πα]ξ. „ Εἰ δὲ ἱκανὸν ( τουτέστιν ἀποχρῶν εἰς νόησιν ) θί[γ]ειν ὁτῳοῦν τῶν μορίων, τί δεῖ κινεῖσθαι; ( θίγων γὰρ ὁ [κύ]κλος, καὶ ἰσάριθμος, οὐδὲν ἧττον ἀντιλήψεται. ) ἢ καὶ ὅ[λ]ως μέγεθος ἔχειν; ( ἐπεὶ γὰρ διὰ τούτου νοεῖ, περιττὰ τὰ [ἄλλα] ). „ Εἰ δ' ἀναγκαῖον νοῆσαι τῷ ὅλῳ κύκλῳ θίγον[τα], τίς ἐστὶν ἡ τοῖς μορίοις θίξις; ( ἤτοι γὰρ νόησις παν[τὸ]ς, ἢ οὐχί. Ἀλλ' εἰ μὲν, ἐνόησεν ἄρα θίξας τῷ μορίῳ. Εἰ δ' οὐχὶ, οὐδ' ἂν ἄρα ὁ ὅλος κύκλος ἐκπεριέλθοι, νοήσει· [κ]αὶ γὰρ κατὰ μόρια ἡ τούτου θίξις τελεῖται.

Γ'. Ἐπεί τις ὑπολαβὼν ἂν εἴποι, ὅτι οὔτε καθόλου, οὔτε [ἐν ὁτῳ]οῦν μέρει νοεῖ. Ἀλλὰ μέρει μὲν ἑαυτοῦ, μέρος τοῦ [νοητοῦ], καθ' ὅλου δὲ ὅλον, ἅπαντα λίαν ἐντρεχῶς ὑποσυνάπτων. „ Ἔτι δὲ πῶς νοήσει τὸ μεριστὸν ἀμερεῖ, καὶ τὸ „ ἀμερὲς μεριστῷ; Ἤτοι γὰρ μεριστὸν τὸ νοητὸν, καὶ ταῖς κατὰ σημεῖα θίξεσιν, οὐδόλως αὐτοῦ ἐφάψεται. Ἢ γοῦν ἀμέριστον, καὶ τῷ ὅλῳ κύκλῳ θίγειν οὐ δεηθήσεται. Ἀλλὰ ταῦτα

(1) Φιλόπον. Ἐν Ὑπομν. Αὐτ.



τα μὲν Ἀριστοτέλης, τὸ μέγεθος οἷα εἰκὸς, τῆς λογικῆς ἀποσκευάζων ψυχῆς. Ἀπορῆσαι δ' αὖ εἴη ἄξιον, πῶς Πλάτων ὁ Δαιμόνιος, ὡς ἐκ τοῦ Τιμαίου τοιαῦτα περὶ ψυχῆς διελέξατο, οἷα οὐδὲ εἴτις πάμπαν τῆς παιδείας ἀπόζοφος εἴη, οὐδὲ εἰ παραπαίοι, λέγειν ὅλως, οὐδὲ ἀκούειν ἀνάσχοιτο; Πρὸς τοῦτο δὴ εἶμι διὰ τοῦ ἐφεξῆς Σχολίου ἀπαντήσων.

## Σχόλιον Β'.

§. ψιβ'. Τὸν Πυθαγόραν ὁ Πλάτων μιμούμενος, ὑπὸ συμβόλοις εἰώθει κρύπτειν τῶν ἐν Φιλοσοφίᾳ δογμάτων τὰ ὑψηλότερα, ἄλλο μέν τι ἐοικὼς λέγειν, ἄλλο δέ τι τῷ ὄντι νοῶν, καὶ διὰ τοῦ παραλόγου οὕτως εἰς ζήτησιν τῆς κεκρυμμένης ἀληθείας ἐνάγων. Ταύτῃ δέ τοι καὶ τὴν κατὰ τὸ δοκεῖν οἱ ψυχογονίαν, διὰ τοῦ Τιμαίου, ἀνδρὸς ἐς ἄκρον τῆς Γεωμετρίας, καὶ Ἀριθμητικῆς, καὶ Ἁρμονίας, καὶ τῶν ἄλλων μαθημάτων ἐληλακότος, ὑποτιθέμενος, συμβολικῶς οὕτω τὰ κατ' αὐτὴν διεξέρχεται.

„ Ἐκ τῆς ἀμερίστου, φησὶ, καὶ ἀεὶ κατὰ τὰ αὐτὰ ἐχούσης „ οὐσίας, καὶ τῆς αὖ περὶ τὰ σώματα γινομένης μεριστῆς, „ τρίτον ἐπ' ἀμφοῖν ἐν μέσῳ συνεκεράσατο ὁ Θεὸς οὐσίας „ εἶδος, καὶ ταυτότητα, καὶ ἑτερότητα συνεπιμίξας. (1) Ταύτην δὲ τὴν οἷον κρᾶσιν ἐκ τῆς εἰρημένης μεταξὺ οὐσίας, καὶ ταυτοῦ, καὶ θατέρου εἰς μῆκος ἐκτείνας, εὐθεῖαν ἐποίησεν. εἶτα τὴν εὐθεῖαν ταύτην κατέτεμεν εἰς ἀριθμοὺς ἁρμονικοὺς, 1. 2. 3. 4. 8. 9. 27. Οὕτω δὲ κατατείνας τε καὶ κατατεμὼν διέσχισεν εἰς δύο εὐθείας· „ συνάψας δὲ τὰς δύο „ χιοειδῶς ἀλλήλαις, ἀνέκλασέ τε, καὶ ἐποίησε δύο κύκλους „ τὸν μὲν μείζονα, τὸν δὲ ἐλάττονα, τὸν μὲν ἔξωθεν, τὸν „ δ' ἔσωθεν συναπτομένους ἀλλήλοις κατὰ δύο σημεῖα, καὶ „ ἐκίνησε τὸν μὲν ἔξω κύκλον ἐπὶ δεξιὰ, τὸν δὲ ἔσω ἐ„ π' ἀριστερά· καὶ ἐπωνόμασε τὸν μὲν ἔξω κύκλον ταυτοῦ, „ τὸν

(1) Πλάτων ἐν Τιμαίῳ.

,, τὸν δὲ ἔσωθεν θατέρου. Καὶ τὸν μὲν ἔξω κύκλον, ἀνά-
,, ἔλασε καὶ ἄσχιστον, τὸν δὲ ἐντὸς σχίσας ἑξαχῆ, ἐποίησεν
,, ἑπτὰ κύκλους ἀνίσους, διπλασίονι, καὶ τριπλασίονι λόγῳ
,, ὑπερέχοντας ἀλλήλων. Καὶ τοὺς μὲν τρεῖς ἴσους τῷ τά-
,, χει τῆς κινήσεως ἐποίησε, τοὺς δὲ λοιποὺς τέσσαρας ἀνί-
,, σους τῇ κινήσει, καὶ ἀλλήλοις καὶ τοῖς τρισί. Καὶ τοῦτο,
,, φησίν, ἐστὶν ἡ ψυχὴ τοῦ Παντός. Εἶτα φησὶ μετὰ τοῦτο, τὸ
,, σωματοειδὲς τοῦ Κόσμου πᾶν ἐναπέκλεισε, καὶ συναρμό-
,, σας τὴν ψυχὴν ἐκ τοῦ μέσου διέπλεξε, μέχρι καὶ τοῦ ἐ-
,, σχάτου οὐρανοῦ. Καὶ κύκλῳ αὐτὸν ἔξωθεν πάντα περικεκά-
,, λυφεν. Καὶ ταῦτα ἡμῖν ὁ παρὰ τῷ Πλάτωνι Τίμαιος.
Ἃ κατὰ μὲν τὸ φαινόμενον εἴτις ἐκλάβοι, οὐδὲν φύσει εἰρῆ-
σθαι ἐν Φιλοσοφίᾳ ποτὲ μυθωδέστερον. Εἰ δὲ εἰς τὸν ἐγκρυ-
πτόμενον νοῦν ὑποδὺς εἰσίοι βαθύτερον, ὄψεται δήπου ὑπὸ
τῷ πέπλῳ τὴν παρθένον λανθάνουσαν. Ἐπειδὴ γὰρ τὴν
κατ᾽ αὐτὴν γνωστικὴν τῶν νοητῶν ἁπάντων ἀντιληπτικὴν οὖ-
σαν τὴν ψυχῆς οὐσίαν ᾔδει ἐκεῖνος, ἐκ τῶν στοιχείων ἐξ
ὧν τὰ πάντα, οἷα εἰκός, συνεμόρφου, ὅπως ἂν ἔχοι καὶ
γνωρίζειν ἀμέλει τῷ ὁμοίῳ τὸ ὅμοιον. Ἔστι δὲ τῶν ὄντων
τὰ μὲν οὐσίαι, τὰ δὲ συμβεβηκότα. Καὶ τῶν οὐσιῶν αἱ μὲν
πάντῃ τῆς ὕλης ἀπηλλαγμέναι, καὶ καθαρεύουσαι, οἷα τὰ
χωριστὰ εἴδη, αἱ δὲ τῇ ἐνύλῳ τε καὶ σωματοειδεῖ φύσει,
συμμεμιγμέναι πως, καὶ συνυφιστάμεναι, οἷα τὰ τῶν αἰσθη-
τῶν εἴδη, ἐν αὐτῇ τῇ ὕλῃ. Καὶ πάλιν τῶν συμβεβηκότων
κατ᾽ ἀντίθεσιν αἱ συστοιχίαι. Καὶ τὰ μὲν τῆς κρείττονος
οἱονεὶ μοίρας ἐστί, τὰ ἐν συμφωνίᾳ τινί, τὰ δὲ τῆς χεί-
ρονος τὰ ἐν διαφωνίᾳ τὸ εἶναι ἔχοντα. Ἔστι γὰρ καὶ ἴσον καὶ
ἄνισον, καὶ ὅμοιον καὶ ἀνόμοιον. Καὶ ἀρετὴ καὶ κακία, καὶ δε-
ξιὸν καὶ ἀριστερόν, καὶ ἄνω καὶ κάτω, καὶ τραχὺ καὶ λεῖον, καὶ
ἐπὶ τῶν ἄλλων ὡσαύτως. Εἰ θέντοι καὶ ἐξ οὐσίας τῆς μεταξὺ
τῆς ἀμερίστου, καὶ τῆς περὶ τὰ σώματα μεριστῆς, καὶ ἐκ τῶν
συμβεβηκότων ταυτοῦ καὶ θατέρου. Ταὐτὸν εἰπεῖν ἐξ ἁπάν-
των τῶν στοιχείων τῶν ὄντων, ὡς ἁπάντων οὖσαν ἀντιληπτι-
κήν, τῷ τοὺς λόγους ἁπάντων συμπεριειληφέναι, τὴν ψυ-
χὴν συνίστη καὶ συνεκρότει· τὸ δὲ δὴ κρᾶμα τοῦτο τῆς κατὰ
τὴν ψυχὴν οὐσίας, ὡς εὐθεῖαν ὁ Δημιουργὸς προβάλλεται,
ῥύσει οἱονείτινι τῆς ἐξ αὐτοῦ οὐσιώσεως, ὑποστῆναι αὐτὴν
ἐν-



ἐνδεικνυμένου τοῦ λόγου, ὡς αὖ ἀπὸ πέρατος εἰς πέρας τοῦ
κατ᾽ αὐτὴν εἶναι μεταβᾶσαν. Κατέτεμε δὲ εἰς ἀριθμοὺς
δυνάμιν ἔχοντας, αὐτήντε πολλαῖς καὶ καλαῖς πληρώσας
δυνάμεσι, καὶ τοῖς λόγοις τῶν ὄντων ἁπάντων καταπυκά-
σας. Οἱ δὲ δὴ ἀριθμοὶ μονὰς 1. καὶ οἱ πρῶτοι ἐπίπεδοι,
2. καὶ 3. Καὶ οἱ ἀπὸ τούτων πρῶτοι τετράγωνοι, 4 καὶ 9.
Καὶ οἱ ἐκ τῶν αὐτῶν πρῶτοι στερεοὶ 8. καὶ 27. Τούτων δὲ οἱ
μὲν ἄρτιοι ἐφεξῆς 2. καὶ 4. καὶ 8. Καὶ οἱ περιττοὶ ὡσαύ-
τως 3. καὶ 9. καὶ 27. Γεωμετρικὴν περιέχουσιν ἀναλογίαν. Οἱ
δὲ ἀπὸ μονάδος ἄχρι τετράδος 1. 2. 3. 4. Ἀριθμητικήν.
Συντιθέμενοι δὲ τὴν δεκάδα οἱ αὐτοὶ πληροῦσιν· ὥσπερ οὖν
καὶ οἱ ἓξ ὅροι 1. 2. 3. 4. 9. 8. προσαθροιζόμενοι τῷ ἑβ-
δόμῳ 27 συνισοῦνται. Ὅς δὴ 27 καὶ περιοδικός ἐστι Σελή-
νης. Ὡς εἴγε τετρακτύς τις ἐκ τῶνδε τῶν ὅρων συστῇ, καὶ
τεθῇ μὲν καθ᾽ ἑαυτὴν ἡ μονάς, κοινὴ οὖσα ἀρχὴ ἀρτίων τε
καὶ περιττῶν, κατὰ συστοιχείαν δὲ τούτων οἱ ἄρτιοι, καὶ ὑπὸ
τοὺς ἀρτίους οἱ περιττοί,

1. 2. 4. 8.
1. 3. 9. 27.

Ἔσονται μὲν αἱ συζυγίαι τῶν ὁμοίων, ἡ μὲν Α'. τῶν πρώ-
των ἐπιπέδων, ἡ δὲ Β'. τῶν πρώτων τετραγώνων, ἡ δὲ Γ'.
τῶν πρώτων κύβων. Κἀκ τούτων συνθέσει τε καὶ πολλαπλα-
σιασμῷ ἀριθμοὶ ἀναφυήσονται ἐπιφανέστατοι. Οἷον συνθέ-
σει μὲν ἐκ τῆς Α'. ὁ 5 ὁ Πυθαγορικὸς λεγόμενος φθόγ-
γος. Ἐκ δὲ τῆς Β'. ὁ 13, τὸ λεῖμμα καλούμενον διὰ τὸ
ἀπολείπεσθαι μονάδι τοῦ ἡμίσεως τοῦ τόνου, οἷον καλοῦσι τὸν
27. Ἐκ δὲ τῆς Γ'. 35 ἡ ἁρμονία· ἡ ἐκ δυοῖν τῶν πρώτων
κύβων ἀπ᾽ ἀρτίου καὶ περιττοῦ συνισταμένη τοῦ μὲν 8, τοῦ δὲ
27. καὶ ἀριθμοὺς περιέχουσα τέσσαρας 6, 8, 9, 12, ἐν οἷς
ἀριθμητική τε, καὶ ἁρμονικὴ ἀναλογία ἐστίν. Ἀριθμητικὴ
μέν, ἐπὶ 6, 9, 12. Ἁρμονικὴ δὲ ἐπὶ 6, 8, 12. Οἱ δὲ
λόγοι τῶν ἐκκειμένων ἀριθμῶν ἁρμονικώτατοι. Ἐπεὶ ὁ μὲν
8 πρὸς 6 λόγον ἔχει τὸν ἐπίτριτον, καθ᾽ ὃν ἡ διὰ τεσσά-
ρων. Ὁ δὲ 9 καὶ 6 τὸν ἡμιόλιον, καθ᾽ ὃν ἡ διὰ πέντε. Ὁ
δὲ 12 καὶ 6 τὸν διπλάσιον, καθ᾽ ὃν ἡ διὰ πασῶν. Ἔνεστι
δὲ καὶ ὁ ἐπόγδοος τοῦ 9 πρὸς 8. διὸ καὶ τὸν ἐκ τούτων ἀρι-
θμόν, ἤτοι τὸν 35 ἁρμονίαν προσεῖπον. Ὁ δὲ καὶ διὰ τοῦ
τῶν

τῶν ἐν αὐτῷ Α'., τοῦ 6 πολλαπλασιαζόμενος, τὰς 210 πα-
„ ράγει, ἐν ὅσαις λέγεται ἡμέραις τὰ ἑπταμίνια τῶν βρε-
„ φῶν τελεογονεῖσθαι. (1) Καὶ ταῦτα μὲν συνθέσει. Πολλαπλασιασμῷ δὲ ἐκ μὲν τῆς Α'. συζυγίας, ὁ 6 ὁ γάμος ἀκούων, διὰ τὴν τοῦ πρώτου ἀρτίου, καὶ περιττοῦ σύμμιξιν, καὶ τέλειος λεγόμενος διά τε τὸ τοῖς ἑαυτοῦ συνισοῦσθαι μέρεσι, καὶ ἐκ τῆς ἀρχῆς, καὶ τῶν πρώτων ἀρτίου καὶ περιττοῦ συναθροίζεσθαι. Ἐκ δὲ τῆς δευτέρας ὁ 36, ὁ πρῶτος τετράγωνος ἅμα καὶ τρίγωνος, τὸ μὲν ἀπὸ τῆς ἑξάδος, τὸ δὲ ἀπὸ τῆς ὀγδοάδος, καὶ ἐκ τῶν δύω πρώτων τετραγώνων παραγόμενος, καὶ ἐκ τριῶν κύβων 1, 8, 27 συντιθέμενος. Καὶ ἀπὸ δυεῖν πλευρῶν 3 ἐπὶ 12, ἢ 4 ἐπὶ 9 ἑτερομήκης συνιστάμενος. Ἐν αἷς δὴ πλευραῖς τοῦ τετραγώνου τε καὶ τριγώνου, καὶ τῶν ὀρθογωνίων τῇ ἑτέρᾳ ἐπὶ τοῦ ἑτέρου, οἱ ἁρμονικοὶ λόγοι, ὡς ἀνωτέρω ἐλέγετο, ἐνθεωροῦνται περιεχόμενοι. Ἀλλὰ γὰρ πλείω τούτων ζητήσας εὑρήσεις παρὰ Πλουτάρχῳ, καὶ Πρόκλῳ, καὶ Ἀλεξάνδρῳ τῷ Ἀφροδισεῖ, τοῖς ἀκριβῶς τὴν κατὰ τὸν Τίμαιον ψυχογονίαν ἐκθέσθαι προθεμένοις. Ἡμῖν δὲ ἑξῆς, καὶ ἐπὶ τὴν τῶν λοιπῶν συμβόλων ἀνάπτυξιν ἰτέον. Σχίζει δῆτα τὴν εὐθεῖαν εἰς δύο ὁ δημιουργός, ὅτι μονάς τις ἐστὶν ἡ ψυχή, εἰς μὲν δυάδα χωροῦσα, εἰς δὲ τὸ πλῆθος οὐδαμῶς διεκπίπτουσα· ἡ μὲν γὰρ οὐσία νοερὰ πρὸς τῷ ἐνὶ ἐστὶ καὶ ταὐτῷ, ἀεὶ ὡσαύτως ἔχουσα· ἡ δὲ τὴν ὕλην εἰδοποιεῖν τέτακται, καὶ περὶ αὐτὴν σκεδάζεται, ὕλη μηδαμῶς οὖσα, πρὸ δυάδος μὲν εἶναι λέγεται, ἀριθμὸς δ' οὐκ ἔστι, καίτοι εἰς τοὺς εἰρημένους ἀριθμοὺς τετμημένη, καὶ τοὺς λόγους τῶν ὄντων ἐν ἑαυτῇ περιέχουσα. Σχισθείσας δὲ καὶ συναφθείσας χιοειδῶς εἰς δύω κύκλους ἀνακάμπτει. Καὶ σημαίνει μὲν τὸ τοῦ Κύκλου Σχῆμα τὸ ἐπιστρεπτικὸν τῆς ψυχῆς, παλινδρομούσης εἰς ἑαυτὴν διὰ τῆς νοητικῆς δυνάμεως, σημαίνει δὲ ἡ εὐθεῖα τὴν κατ' εὐθυωρίαν κίνησιν τῆς αὐτῆς διὰ τῆς ζωτικῆς δυνάμεως, καθ' ἣν ζωοῦται τὸ ζωούμενον. Εἰς κύκλους δὲ διασταχῇ συνημμένους,

(1) Πλούταρχ. Περὶ τῆς κατὰ τὸν Τίμαιον ψυχογονίας.



μένους, τὸν μὲν ἔξωθεν, καὶ ἐπὶ δεξιὰ κινούμενον, τὸν μείζονα, τὸν δὲ ἔσωθεν ἐπὶ ἀριστερὰ τὸν ἐλάσσονα· αἰνιττόμενος διὰ μὲν τοῦ πρώτου τὸν ἰσημερινόν, οὗ κίνησις ἀπὸ ἀνατολῶν, ἅ ἐστι τοῦ Κόσμου τὰ δεξιά· (1) διὰ δὲ τοῦ δευτέρου τὸν ζωδιακόν, καθ' ὃν ἡ κίνησις ἀπὸ δυσμῶν, ἅ ἐστι τὰ ἀριστερά, τοὺς κατὰ τὰ σημεῖα τῶν ἰσημεριῶν, τὸν κριὸν δηλονότι καὶ τὸν ζυγὸν συνημμένους, καὶ χιοειδῶς καθ' ἑαυτούς τε καὶ τοὺς ἄξονας τοὺς αὐτῶν συνεζευγμένους· τούτων δὲ ὁ μὲν ἔξω καὶ ἐπὶ τὰ δεξιά, τῆς ἀναγωγοῦ δυνάμεως τῆς ψυχῆς, καὶ ἐπὶ τὰ θεῖα ἀνατατικῆς κεῖται σύμβολον, ὁ δὲ ἔσωθεν καὶ ἐπὶ τὰ ἀριστερὰ τῆς πρὸς τὰ ὑποβεβηκότα ἐπιστρεφούσης, καὶ δημιουργοῦ. Κἀκεῖνος μὲν πρὸς τῷ ἐνὶ ἀεὶ ὤν, καὶ ταυτοῦ κύκλος προσείρηται, οὗτος δὲ θατέρου, ἐν διαφοραῖς ἀεὶ καὶ ἑτερότησιν ἀναστρεφόμενος. Διὰ γὰρ τοῦτο καὶ ἀδιαίρετον ἐάσας ἐκεῖνον, ἐξαχῇ τοῦτον ἔσχισεν, καὶ τὴν τῶν πλανητῶν ἐντεῦθεν ἑπταδικὴν χορείαν συνέστησεν, ἐξ ὧν, τῶν ἐν τοῖς ὑπὸ Σελήνην μεταβολῶν τὸ πολύτροπον. Ἔσχισε δὲ ἄρα τὸν ἐντὸς εἰς κύκλους οὐκ ἴσους τοὺς πάντας ἀλλήλοις, ἀνίσους δὲ τοὺς τέσσαρας τοῖς λοιποῖς, ἤτοι τοὺς τῶν ὑπερκειμένων πλανητῶν, τοῖς τῶν ὑποκειμένων, καὶ ἀλλήλοις, ταῖς περιοδικαῖς κινήσεσι, καὶ τοῖς ἀποστήμασιν, ἔτι τε μὴν καὶ τοῖς μεγέθεσι κατὰ λόγους τοὺς μὲν ὑπερέχοντας, τοὺς δὲ ὑπερεχομένους, ὡς οἱ περὶ τὴν Ἀστρονομίαν ἐνασχολούμενοι ἀποδεικνύουσι. Περὶ γὰρ τούτων οὐκ ἀκριβῆ ἐνστήσασθαι τὴν διάσκεψιν ὁ τοῦ προκειμένου σκοπὸς ἀπαιτεῖ, αὐτὸ μόνον τῆς τοῦ Πλάτωνος δόξης, τὸ ἀπὸ τῶν συμβόλων ἐνταῦθα περιελεῖν εἰρημένους προκάλυμμα. Τελευταῖον οὖν ἐναποκλείει τοῖς κύκλοις τούτοις τὸ σωματοειδὲς ἅπαν σύνταγμα, ἀπὸ μέσων εἰς ἄκρα τοῦ παντὸς τῆς ψυχῆς διηκούσης, καὶ σύμπαντα, ᾗ αὐτῷ δοκεῖ, ἐμψυχούσης, ζωούσης, κινούσης. Διαπλοκῇ δέ, καὶ οὐκ ἐπαφῇ, οὐδὲ κράσει τὴν ψυχὴν τῇ ὕλῃ συνήρμοσε, καὶ συνέδησεν· ἡ γὰρ ἐπαφὴ οὐ τέλεον συνάπτει τὰ ἐφαπτόμενα, ἡ δὲ κρᾶσις, ταῦτά πως συμφύρει συγ-

(1) Πλούταρχ. Ἀρεσκόντων Β'. Κεφ. ί.

συγχέουσα τὰ ἑνούμενα, μόνης δὲ τῆς κατὰ διαπλοκὴν συναφείας ἐστὶ, τὸ δι' ὅλου συναρμόζειν τηροῦσαν τὰ συνηρμοσμένα κρείττω συγχύσεως. Καὶ ἐπὶ πᾶσι καὶ κύκλῳ ἔξωθεν περικαλύπτει τὸν οὐρανὸν ἅπαντα, μηδὲν ἔξω τοῦ παντὸς εἶναι κείνων, μηδὲ τῆς ψυχῆς ἔρημον ἀπολειπόμενον. (1) Τῷ ὄντι δὲ, εἰ μὴ ἕτερα παρὰ τὰ δοκοῦντα ὁ Πλάτων ἐβούλετο, ταῦτα δὲ ὡς ἔχει νοεῖν προὐβάλλετο, οὐδενὸς ἂν εἰς ἀπαιδευσίαν χρείη τὰ δευτερεῖα. Πῶς γὰρ ἂν ἐξ οὐσιῶν εὐθεῖα ὑποσταίη ποτέ; πῶς δ' ἂν ἀπλατὴς οὖσα σχισθείη εὐθεῖά τις, ἢ καὶ καμπύλη; πῶς δὲ μετὰ τὰς κατατομὰς ὡς μία αὖ αὖθις κέοιτο; πῶς δ' ἂν εἰς κύκλον ἡ εὐθεῖα ἀνακαμφθείη; πῶς δὲ καὶ ἐκ τῆς αὐτῆς εὐθείας σχισθείσης, ἡ μὲν εὑρεθείη μείζων εἰς τὴν τοῦ μείζονος κύκλου, ἡ δὲ ἐλάσσων εἰς τὴν συνάρτυσιν τοῦ ἐλάσσονος; Καὶ ἐκ τοῦ ἑνὸς δὲ κύκλου σχισθέντος καὶ αὐτοῦ, τίνα δὴ λόγον ἔχει, τοὺς μὲν μείζονας κύκλους συστῆναι, τοὺς δὲ ἐλάσσονας; Πῶς δὲ καὶ κύκλοι τῷ σωματοειδεῖ ἂν συνδιαπλακεῖεν συντάγματι; ἢ τοῦτο πανταχόθεν περικαλύψειαν; Ἐῶ τὰ ἄλλα. Οὐδὲ γὰρ σοφιστῇ κραιπαλῶντι, πόθεν γε δὴ Πλάτωνι τοιαύτην ἄν τις ἀναθείη περὶ ὧν ἐσπουδάκει μάλιστα τῶν λόγων ταραχὴν, καὶ ἀνωμαλίαν. Ἄλλως τε δὲ κἂν ἐκ τῶν συμβόλων τῶνδε εἰσβαλεῖν ῥᾴδιον εἴη, ὡς ὁ Πλάτων τὴν ψυχὴν ἐτίθετο πάντη ἀσώματον. Εἰ γὰρ ἐκ τῆς ἀμερίστου αὐτὴ οὐσίας, καὶ τῆς περὶ τὰ σώματα μεριζομένης, καὶ εἰ τῷ σωματοειδεῖ συνδιαπλέκεται, πῶς ἔσται σῶμα, ἢ ὅλως μέγεθος ἕξει; ἢ συγκινηθήσεται τῷ παντὶ, οἷον καὶ ὁ μῦθος τὸν Ἰξίονα, τῷ ᾧ προσδέδεται τροχῷ συγκινούμενον, καὶ συμπεριαγόμενον διαγράφει; Ἀλλ' ἧττον ὁ Ἀριστοτέλης κἀνταῦθα, ὡς ἐπὶ πολλῶν καὶ ἄλλων, τῆς διανοίας τοῦ ἀνδρὸς ἀμελήσας, πρὸς τὸ φαινόμενον, ( ὃ τοῖς ὑπομνηματισταῖς σεσημείωται (2) ) μόνον ἀποτείνεται.

Θεώ-

---

(1) Ὅρα Σιμπλίκ. καὶ Φιλόπ. ἐν τοῖς Ὑπομνήμασιν εἰς τὸ Α'. περὶ ψυχ. Καὶ Πλούταρχον εἰς τὴν τοῦ Πλάτ. ψυχογον. Καὶ Πρόκλ. εἰς τὸν Τίμ. Καὶ Ἀλέξανδρ. τὸν Ἀφροδισιέα.

(2) Σιμπλίκ. καὶ Φιλόπον. ἐν Ὑπομν.



## Θεώρημα ΙΑ'.

§. ψιγ'. „ Η ψυχὴ ἐν τόπῳ οὐκ ἔστι κατὰ τὰ σώματα. Τὸ γὰρ σῶμα ὅλον ἐν ὅλῳ τῷ τόπῳ ἐστὶ, καὶ μέρος ἐν μέρει, ἕκαστον ἐν ἑκάστῳ. ( §. φλς'. ) ἡ δὲ ψυχὴ ἐκ μερῶν ἐκτὸς ἀλλήλων κειμένων οὐ συγκροτεῖται. ( §. ψθ'. ) Ἄρα κτ.

## Σχόλιον.

§. ψιδ'. Καὶ μὴν τὸ γνωστικὸν τῆς ψυχῆς κατὰ τὸν ἐγκέφαλόν που ἐντετοπισμένον ὂν ὑπετέθη. ( §. χξθ'. ) Ἀλλ' οὐ κατὰ τὴν τῶν σωμάτων φύσιν ὡς ὅλον ἐν ὅλῳ, καὶ μέρος ἐν μέρει ἐντοπιζόμενον, ὡς δ' ἀπὸ κέντρου διὰ τῶν ἐνεργειῶν ἐπὶ τὰ ἔξω ἀποτεινόμενον. Οὔκουν δὲ οὐδ' ἐν αὐτῇ τῇ κεφαλῇ τῆς ψυχῆς ὁριζομένης, ἀλλὰ καὶ ὅλης δι' ὅλου τοῦ σώματος, καὶ ἑκάστου τῶν μελῶν προϊούσης, καὶ αὐτὸ κινούσης, εἰδοποιούσης, ζωούσης, καὶ ἁπλῶς ἅττα ἂν ἑκάστῳ μέρει προσήκοντα ᾖ, ἢ δι' ἑκάστου τῷ ὅλῳ πρόσφορα ἐπενεργούσης. Καὶ τί τοῦτο φήσεις, ἕτερον εἶναι, ἢ ἔκτασιν; Εἰ δ' ἐκτάσεως μετείη ψυχῇ, καὶ μέρη πάντως αὐτῇ προσέσται ἐκτὸς ἀλλήλων, καὶ μέγεθος, καὶ ὁ τόπος ὁ σωματικὸς παρὰ πόδας· τούτων γε μὴν αὐτοὶ τῇ ψυχῇ οὐδὲν ὅλως μετὸν εἶναι συγχωρήσομεν. Οὐδὲ γὰρ εἴ τις τὴν κατὰ δύναμιν καὶ ἐνέργειαν, ὡσανεὶ ἔκχυσιν τῆς ψυχῆς δι' ὅλου τοῦ εἰδοποιουμένου ὑπ' αὐτῆς σώματος προΐσχοιτο, αὐτόθεν ἂν καὶ ἔκτασιν περιάψειε τῇ ἀσωμάτῳ οὐσίᾳ, οἵαν τὴν ἐν τοῖς σώμασιν, ἢ τὴν ἐν τοῖς σωματικοῖς ἄλλοις παθήμασιν. Τὰ γὰρ περὶ ἃ ἐνεργεῖ, ἐκεῖνα μόνα, καὶ τὴν ἔκτασιν ἔχοντα ἐστί. Ἡμῖν δὲ καὶ ἔστιν οὗ ( §. φκα'. ) ἄδηλον εἶναι ἐλέγετο, εἰ τῇ νοερᾷ φύσει ἔκτασίς τις εἴη προσήκουσα, ( §. φκα'. ) εἰ δὲ καὶ προσήκουσα, ἀπερινοήτως ὁ τρόπος ἐδείκνυτο τῆς τοιαύτης ἐκτάσεως ( §. αὐτ. ), καὶ τῆς τῶν σωμάτων, καὶ τῶν σωματικῶν παθῶν ἀλλοτριώτατος. Μικρὸν δὲ ἀνωτέρω καὶ ἀδύνατον εἶναι τῇ ψυχῇ ἐκ μερῶν ἐκτὸς ἀλλήλων κειμέ-



νων

νων συγκεκροτῆσθαι, ἢ κατ' ἔκτασιν ὁποιανοῦν ἐν μεριστῷ τὰς κατ' αὐτὴν διανοητικάς τε καὶ βουλητικὰς ἐνεργείας ἀποτελεῖν· γραμμικαῖς σχεδὸν ἀνάγκαις πεπίστωται. (§. ψθ'. ψι'. ψια'.)

## Θεώρημα ΙΒ'.

§. ψιέ. „ Καθ' ἑαυτὴν μὲν ἡ ψυχὴ οὐδαμῶς κινεῖται „ τὴν κατὰ τόπον φορὰν, ὡς τὰ σώματα, κατὰ συμβεβηκὸς „ δὲ καὶ μάλα, καὶ ὑφ' ἑαυτῆς, καὶ ὑφ' ἑτέρου.

Καθ' αὑτὸ γὰρ κινεῖσθαι λέγομεν τὴν κατὰ τόπον φορὰν ὡς τὰ σώματα, τὸ κατὰ τὴν αὐτοῦ οὐσίαν ἐξιστάμενον μὲν οὗ κατειλήφει τόπου, μεταχωροῦν δὲ εἰς τόπον ἕτερον. (§. φοέ.) Ἀλλ' ἡ ψυχὴ οὐκ ἔστιν ἐν τόπῳ κατὰ τὰ σώματα. (§. ψιγ'. ψιδ'.) Ἄρα κτ. Ο. Η. τὸ Α'.

Κατὰ συμβεβηκὸς δὲ οὕτω κινεῖσθαι φαμὲν τῷ ἐν κινουμένῳ εἶναι. (§. φοέ.) Ἀλλ' ἔστιν ἡ ψυχὴ ἐν σώματι τῷ κινουμένῳ, νῦν μὲν ὑπ' αὐτῆς ἐπιτασσούσης τὰς ἑκουσίας καλουμένας τῶν κινήσεων (§. χπέ.), νῦν δὲ ὑπ' ἄλλου του βίᾳ ἀπαγομένῳ, καὶ τὴν καθ' ἕτερον κίνησιν (§. φοέ.) καὶ αὐτῷ κινουμένῳ, ὡς δῆλον. Ἄρα τὸ Β'., καὶ τὸ Γ'.

## Θεώρημα ΙΓ'.

§. ψις'. „ Ἀνεπίδεκτος δὲ καὶ τῶν κατὰ τὸ ποσὸν κινήσεων „ ψυχῆς ἡ φύσις, αὐξήσεως δηλονότι, καὶ φθίσεως.

Τούτων καὶ γὰρ ἡ μὲν κίνησις ἐστὶν εἰς τὸ τέλειον μέγεθος, ἡ αὔξησις· ἡ δὲ ἐκ τούτου ἡ φθίσις. (§. φογ'.) μεγέθους δὲ ἡ ψυχὴ ὑπεξῄρηται. (§. ψι'. ψια'.) Ἄρα κτ.

Ἄλλως τε καὶ ταύτας εἶναι τῆς κατὰ τόπον αὐτοῦ φορᾶς, τὰς κινήσεις οὐκ ἐνδέχεται. (§. φογ'.) Κινήσεως δὲ τῆς κατὰ τόπον ἡ ψυχὴ καθ' ἑαυτὴν ἀνεπίδεκτος. (§. ψιέ.) Ἄρα κτ.

Θεώ-



## Θεώρημα ΙΔ'.

§. ψιζ'. „ Οὐδὲ μὲν οὖν τὰς κατὰ τὰς σωματικὰς ἀλ„ λοιώσεις κινήσεις, ἡ ψυχὴ ὑποδέχεται.

Ἡ γὰρ ἀλλοίωσις τῶν ἐν τῷ ὅλῳ μερῶν ἐστὶ, κατὰ σχῆμα, καὶ θέσιν, καὶ κίνησιν, ἢ ἠρεμίαν μεταβολή. (§. φογ'.) ἥτις οὐκ ἄνευ φορᾶς ἐστίν. (§. Αὐτόθι.) Ἡ δὲ ψυχὴ οὔτε ἐκ μερῶν συγκεκρότηται (§. ψθ'.), καὶ τὴν κατὰ τόπον φορὰν οὐδαμῶς κινεῖται. (§. ψιέ.) Ἄρα κτ.

## Σχόλιον.

§. ψιή. Τὴν κατ' ἀλλοίωσιν κίνησιν τῆς ψυχῆς καὶ αὐτὸς Ἀριστοτέλης ἀποσκευάζει· (1) „ ὅτι καὶ αὐτή φησι κατὰ „ τὰς λοιπὰς ἐν τόπῳ. Τὴν δὲ ψυχὴν, ὡς οὐδ' ἡμεῖς, οὐδ' ἐκεῖνος ἐν τόπῳ λέγειν ἀνέχεται. (§. ψιγ'.) Ἔνθα δὴ διαπορήσας ὁ Φιλόπονος, ἐπὶ τὴν λύσιν οὕτω κεχώρηκεν. „ Ὅτι ἔκ του, καὶ εἴς τι μεταβάλλει, φησί, (2) μετα„ βάλλον τὸ ἀλλοιούμενον. Καὶ οὔτε ἐξ οὗ μεταβάλλει ἐν „ ἐκείνῳ ὅλον ἐστὶν, οὔπω γὰρ ἂν μεταβάλλοι. οὔτε εἰς ὃ „ μεταβάλλει ἐν ἐκείνῳ ὅλον ἐστίν. ἤδη γὰρ μεταβεβληκὸς „ ἂν εἴη. Ἀνάγκη ἄρα κατὰ μέν τι ἑαυτοῦ εἶναι ἐξ οὗ, „ κατὰ δέ τι ἐν τούτῳ εἰς ὃ ἡ μεταβολὴ γίγνεται. Ἀλλὰ γὰρ τοῦτο, εἴτι συνορᾶν ἔχω, τὴν ἐμποιουμένην διὰ τῆς ἀλλοιώσεως διάθεσιν, οἱονεὶ τόπον οὖσαν τινὰ παρίστησιν, ὃν κατὰ μέρη καταλαμβάνει τὸ ἀλλοιούμενον. Ἔοικε δὲ μὴ οὕτως ἔχειν· τοὐναντίον γὰρ μᾶλλον ἐν τούτῳ ἐκείνη ὁπωσοῦν, ἢ ἀνάπαλιν. Διὸ καὶ ἄμεινόν μοι δοκεῖ ἐπιβαλεῖν ὁ ἐξ Ἀφροδισιάδος Ἀλέξανδρος (3), κατὰ τὰς παθητικὰς τῶν ποιο-

(1) Ἐν Α'. Περὶ Ψυχῆς.
(2) Φιλόπον. Ἐν Ὑπομν. εἰς τὸ Α'. Περὶ Ψυχ.
(3) Ἀφροδισ. Ἐν Ὑπομν. Αὐτ.

ποιοτήτων τὴν κυρίως οὖσαν ἀλλοίωσιν συμβαίνειν εἰπών, ὡς δὴ πάσας αἰσθητὰς οὔσας μόνου εἶναι τοῦ σώματος. Οὕτω γάρ τοι, καὶ τῷ ἑτέρῳ διαπορήματι, τῷ περὶ γνώσεως καὶ ἀγνοίας, καὶ ἀρετῆς καὶ κακίας προσφυέστερον ἀπαντᾷν δυνησόμεθα. Αὗται γὰρ καταχρηστικώτερόν πως, ἢ μεταβολήν τινα, τὴν ἐκ τοῦ δυνάμει ἐπὶ τὸ ἐνεργείᾳ ἐμφαίνουσαι, κυρίως δὲ εἰπεῖν ἀλλοιώσεις οὐκ εἰσίν. Ἐπεὶ μηδὲ αἱ ἕξεις καὶ στερήσεις αὗται αἱ τῇ ψυχῇ ἐπιγιγνόμεναι, τοῦ τῶν παθητικῶν ποιοτήτων εἴδους εἰσίν. Ἔνθεν τοι καὶ τῶν κατὰ ταύτας καταχρηστικωτέρων κινήσεων ἡ ψυχὴ δεκτικὴ τυγχάνουσα (§. ψζ'. ψη'.) τῆς κατ᾽ ἐκείνας τὰς σωματικὰς κυρίως οὔσης κινήσεως, πάμπαν ἐστὶν ἀνεπίδεκτος. (§. ψιζ'.)

## Θεώρημα ΙΕ'.

§. ψιθ'. „ Οὐδὲ πῶς τὴν κατ᾽ οὐσίαν, ταὐτὸν εἰπεῖν τὴν κατὰ γένεσιν καὶ φθορὰν κίνησιν, (εἰ δήπερ κίνησιν καὶ αὐτὴν λέγειν χρὴ) ἡ ψυχὴ ἐστὶ κινητή.

Προοδοποιεῖ γὰρ τὴν εἰς αὐτὴν ἡ κατ᾽ ἀλλοίωσιν κίνησις, ὡς Ἀριστοτέλης τε αὐτὸς (1) ἀπέδειξε, καὶ πάντες ὁμολογοῦσιν. Ἡ δὲ ψυχὴ οὐκ ἐκείνην κινεῖται. (§. ψιζ'. ψιη'.) Οὐδ᾽ ἄρα ταύτην.

## Σχόλιον.

§. ψκ'. Προστάτης ἡμῖν κἀνταῦθα τοῦ λόγου Ἀριστοτέλης ἐστὶν (2), ὃς ἐκ προθέσεως τὴν τοῦ νοῦ οὐσίαν οἱασοῦν ἀπηλλαγμένην κινήσεως φυσικῆς διατείνεται.

Α'. γὰρ ἀναιρεῖ τὸν οἷον θεμελιώδη λόγον, τῶν ἀπονεμόντων τῇ ψυχῇ τὸ κινεῖσθαι, διὰ τὸ ὑπ᾽ αὐτῆς εἶναι τὴν

„ τοῦ

(1) Περὶ Γεν. καὶ Φθορᾶς.
(2) Περὶ Ψυχ. Βιβλ. Α'.



„ τοῦ σώματος κίνησιν. Ὅτι μὲν γὰρ οὐκ ἀναγκαῖον τὸ κινοῦν καὶ αὐτὸ κινεῖσθαι, πρότερον εἴρηται. (1) Εἴη γὰρ ἂν οὕτω καὶ τὸ αὖξον δηλονότι αὐξόμενον, ἥπερ ἕτερον αὔξει, καὶ τὸ ἀλλοιοῦν ἀλλοιούμενον, ἥπερ ἀλλοιοῖ, καὶ τὸ κινοῦν ἀεὶ κινούμενον, ᾗ κινεῖ. Καὶ οὐδὲν ἀκινήτως κινοῦν. Ἔνθεν τοι οὐδὲ πρῶτον, οὐδ᾽ ἔσχατον ἐκ τοῦ ἀκολούθου, ὅπερ αὖ μετάσχοι κινήσεως. Καὶ ὁ διδάσκων διδασκόμενος, ᾗ διδάσκει. Καὶ ὁ γεννῶν γεννώμενος. Ταῦτα δὲ μὴ οὕτως ἔχειν δῆλον παντί. Οὐδὲν γὰρ πρὸς ἔπος ὁ Νεμέσιος (2) φαίνεται ἀνθυπενεγκών, ἐν οἷς φησίν, ὡς εἰ καὶ τὸ κάλλος ἀκίνητον ὂν κινεῖ· ἀλλὰ τὸ φύσιν ἔχον κινεῖσθαι κινεῖ, καὶ οὐχὶ τὸ ἀκίνητον. Ἐπὶ μὲν γὰρ τοῦ τελικῶς κινοῦντος, ἀνάγκη δήπου ἐν αὐτῷ τῷ κινουμένῳ φύσει προσεῖναι τὴν ἀρχὴν ποιητικῶς τῆς κινήσεως, ὃν δήπου τρόπον ἀδύνατον εἶναι, καὶ αὐτοὶ συνομολογήσομεν „ τὸ ἀκίνητον ὑπὸ ἀκινήτου κινεῖσθαι. Ἐπὶ δὲ τοῦ ποιητικῶς κινεῖν δύναμιν ἔχοντος, οὐχ οὕτω. Τοὐναντίον γὰρ ὂν τὸ καθ᾽ ἑαυτὸ μὲν κινητόν, ἀφ᾽ ἑαυτοῦ δὲ ἀκίνητον, τοῦ ἐνιέντος αὐτῷ τὴν ὁρμὴν ἀεὶ ἐνδεῶς ἔχον, ἐπί τι πρῶτον ἡμᾶς προσβιβάζει τῷ λόγῳ ὅπερ ὑπὸ μηδενὸς ἀγόμενον, καὶ τῆς τοῦ κινεῖσθαι ἀνάγκης ἀπήλλακται.

Β'. δὲ (3) διαιρεῖ τὸ κινούμενον, καὶ ἢ καθ᾽ ἕτερον φησίν, „ ἢ καθ᾽ αὑτό. Καθ᾽ ἕτερα δὲ λέγομεν ὅσα κινεῖται τῷ ἐν κινουμένῳ εἶναι, οἷον πλωτῆρες, οὐ γὰρ ὁμοίως κινοῦνται τῷ πλοίῳ. Τὸ μὲν γὰρ καθ᾽ αὑτὸ κινεῖται, οἱ δὲ τῷ ἐν κινουμένῳ εἶναι· δῆλον δὲ ἐπὶ τῶν μορίων. Οἰκεία μὲν γὰρ ἐστὶ κίνησις ποδῶν βάδισις. Αὕτη δὲ καὶ ἀνθρώπου· οὐχ ὑπάρχει δὲ τοῖς πλωτῆρσι τοῦτο. Διχῶς δὲ λεγομένου τοῦ κινεῖσθαι νῦν ἐπισκοποῦμεν περὶ τῆς ψυχῆς, εἰ καθ᾽ αὑτὴν κινεῖται, καὶ μετέχει κινήσεως. Ἀμέλει τοι τὸ καθ᾽ ἕτερον κινεῖσθαι τῇ ψυχῇ προσνέμων, οἷα

δὴ

(1) Ἀριστοτέλης ἐν Α'. Περὶ Ψυχῆς.
(2) Νεμέσ. Περὶ ἀνθρώπου. Κεφ. Β'. Περὶ Ψυχῆς.
(3) Ἀριστ. ἐν Α'. Περὶ Ψυχῆς.

δὴ συμμεθισταμένη τε, καὶ συμπεριφερομένη τῷ σώματι (§. ψιέ.) τὸ καθ' αὑτὴν καὶ αὐτὸς ταύτης ἀποσοβεῖ, ὡς ἀλλότριον.

Γ'. Ἐκτίθησι δὲ ἐφεξῆς (1) τὰ τῆς κινήσεως εἴδη, καὶ τὴν μὲν κατ' οὐσίαν μεταβολήν, ὡς μηδὲ κυρίως κίνησιν οὖσαν, οἷον τὴν γένεσιν καὶ φθορὰν παρεάσας, τὴν δὲ κατὰ τὸ ποσόν, ὡς ἐν γένει ἀκατονόμαστον, εἰς τὰ εἴδη αὐτῆς, τὴν αὔξησίν τε φημὶ καὶ τὴν μείωσιν, διχάσας. Καὶ τοῖς δυσὶ τούτοις εἴδεσι τὴν κατὰ τὸ ποῦ ἐν γένει φορὰν, καὶ τὴν κατὰ τὸ ποιὸν ἐν γένει ἀλλοίωσιν προσθεὶς, καὶ τεσσά-
„ ρων (εἰπὼν) κινήσεων οὐσῶν φορᾶς, ἀλλοιώσεως, φθί-
„ σεως, αὐξήσεως, ἢ μίαν τούτων κινοῖτ' ἂν, ἢ πλείους, ἢ
„ πάσας. Ἀλλὰ γὰρ ἁπάσας τῆς ψυχῆς ἀποσκευάζει. Εἰ
„ γὰρ κινεῖται μὴ κατὰ συμβεβηκὸς, φύσει ἂν ὑπάρχοι κίνη-
„ σις αὐτῇ· εἰ δὲ τοῦτο, καὶ τόπος. Κατασκευάζει δὲ τὴν ἀκολουθίαν τοῦ λόγου ὧδε. Πᾶσαι γὰρ αἱ λεχθεῖσαι κινήσεις,
„ ἐν τόπῳ. Εἰ δ' ἐστὶν ἡ οὐσία τῆς ψυχῆς τὸ κινεῖν ἑαυ-
„ τὴν, οὐ κατὰ συμβεβηκὸς τὸ κινεῖσθαι αὐτῇ ὑπάρξει, ὥσπερ τῷ λευκῷ ἢ τῷ τριπήχει. (νοήσεις δέ μοι ἐνταῦθα τὰ συγκεκριμένα κεῖσθαι ἀντὶ τῶν ἀφῃρημένων.) κινεῖ-
„ ται γὰρ καὶ ταῦτα, ἀλλὰ κατὰ συμβεβηκός· ᾧ γὰρ ὑπάρ-
„ χουσιν, ἐκεῖνο κινεῖται τὸ σῶμα. Διὸ οὐκ ἔστι τόπος αὐ-
„ τῶν· τῆς δὲ ψυχῆς ἔσται, εἴπερ φύσει κινήσεως μετέ-
„ χει. Ἀλλὰ γὰρ ἡ ψυχὴ οὐκ ἐν τόπῳ (§. ψιγ'.). Ἆρα κτ.

Δ'. Κρατύνει δὲ τῆς ψυχῆς τὸ ἀκίνητον, καὶ ἐκ τοῦ μηδεμίαν ὅλως βίαν, ταύτην ὑφίστασθαι ἐν τοῖς κατ' αὐτὴν ἐνεργήμασιν ἑκουσίως ἔχουσαν. „ Ἔτι γὰρ φησὶν εἰ φύσει
„ κινεῖται, κἂν βίᾳ κινηθείη· κἂν εἰ βίᾳ, καὶ φύσει.
„ Ἀλλ' εἰ μὲν βίᾳ ὅτι καὶ φύσει, τοῦτο φανερόν· ἡ γὰρ βία παρεκτροπή τις οὖσα τοῦ κατὰ φύσιν, τοῦτο προϋποτίθησί τε καὶ συνεισάγει· ὅτι δὲ καὶ εἰ φύσει καὶ βίᾳ οὐ καλῶς ἔοικεν ἠξιῶσθαι. Ὁ γὰρ κόσμος (ἅπερ ὁ Νεμέσιος ἀντεπάγει
„ (1)

(1) Ἀριστ. ἐν Α'. Περὶ ψυχῆς.



„ (1) φύσει κινούμενος βίᾳ οὐ κινεῖται. Καὶ τῶν οὐρανίων ἕκαστον κύκλῳ φύσει φερόμενον, βίαν οὐκ ἂν πάθοι ποτὲ οὐδεμίαν οὐδέποτε. „ Ἢ οὐ φύσει κινεῖται (ὡς ὁ ἐξ Ἀφροδισιάδος ἅπαντα (2), ἀλλ' ὑπὸ κρείττονος δυνάμεως τῆς ἐν αὐτοῖς λέγω ψυχῆς. Διατί γὰρ κινεῖται; ὅτι κατ' Ἀ-
„ ριστοτέλην νοῦν μιμεῖται (3)· ὥσπερ γὰρ τὸ θεῖον πανταχοῦ ἐστὶν, οὕτω καὶ ὁ οὐρανὸς μιμούμενος τὸ πρῶτον, ἐπεὶ ἅμα πανταχοῦ εἶναι οὐ δύναται, κατὰ μέρος πανταχοῦ γίνεται. Οὕτω δὲ καὶ τὰ ζῶα κινεῖται μὲν ὑπὸ τῆς ἐν αὐτοῖς ψυχῆς, τὰς ζωτικὰς τῶν κινήσεων, κινεῖται δὲ καὶ φύσει τὴν κατὰ τὸ ἐπικρατοῦν γεῶδες ἔχοντα βάρυνσιν. Καὶ κατὰ ταύτην ἂν ἄρα, καὶ βίᾳ κινηθεῖεν, κατ' ἐκείνην δ' οὔ· ὥστε καὶ ὁ οὐρανὸς ἐπεὶ μὴ φύσει κινεῖται, οὐδὲ βίᾳ. ἢ (ὡς ὁ Φιλόπονος (4)) τῇ κατ' εὐθυωρίαν κινήσει συμβαίη ἂν καὶ βίαν παθεῖν, ὡς τὸ ἐναντίον ἐχούσῃ· οἱ δὲ τὴν κίνησιν τῇ ψυχῇ προσνέμοντες, τὴν κατ' εὐθυωρίαν προσάπτουσιν. Καὶ Σιμπλίκιος δὲ διερμηνεύων φησὶν (5) ὡς οὐ καθόλου ἠξίωται, ὅτι πᾶν φύσει κινούμενον, καὶ βίᾳ κινεῖται, ἀλλ' ἰδίως περὶ τῆς ψυχῆς εἴρηται, ἥτις τὰς τοιαύτας κινεῖ κινήσεις καθ' ὅλον τὸ ζῶον, αἷς τὸ βίαιον παρυφίσταται. Ἐμοὶ δὲ δοκεῖ ὅτι τῷ φύσει εἰπεῖν, τὸ δοκοῦν οἱ ὁ Φιλόσοφος σαφῶς ὑπηνίξατο, ὅτι περὶ τῶν φυσικῶν κινήσεων ὁ λόγος αὐτῷ, αἷς τὸ ἐναντίον τὰ πολλὰ ἀντιπαρίσταται, τὸ τὴν βίαν ἀπεργαζόμενον. Δῆλον δὲ καθίστησι τὸ ἐφεξῆς προστεθὲν περὶ ἠρεμίας. Εἰς ὃ γάρ φησι κινεῖται
„ φύσει καὶ ἠρεμεῖ ἐν τούτῳ φύσει. (6) ὁμοίως δὲ καὶ εἰς ὃ
„ κινεῖται βίᾳ, καὶ ἠρεμεῖ ἐν τούτῳ βίᾳ. Ἀλλ' αἱ ἠρεμίαι, τὰς σωματικάς τε καὶ φυσικὰς τῶν ὑπὸ Σελήνην κινήσεις διαδεχόμεναι εἰσὶν, ὥστε καὶ περὶ τούτων τῷ Φιλοσόφῳ ἐν-

ταῦ·

(1) Περὶ Ἀνθρώπου Κεφ. Β'. Περὶ ψυχ.
(2) Ἐν Ὑπομνήμ. Αὐτ.
(3) Ὅρα Φιλόπον. ἐν Ὑπομν. Αὐτ.
(4) Ἐν Ὑπομν. Αὐτ.
(5) Ἐν Ὑπομν. Αὐτ.
(6) Ἀριστ. Αὐτ.

καὐθα ὁ λόγος. Ἄλλως τε καὶ τῶν οὐρανίων φύσει λεγομένων κινεῖσθαι, οὐδὲν ἂν εἴη τὸ ἐκείνων ὑπερθεινῶν, κρειττόνων ὄντων, καὶ τὴν βίαν ἐπαγαγεῖν δυνάμενον. Διό μοι δοκεῖ, μηδὲ ἀποφαντικῶς εἰπεῖν τὸν Φιλόσοφον, ὅτι τὸ φύσει κι„νούμενον καὶ βίᾳ κινεῖται, ὅτι δὲ κἂν βίᾳ κινηθείη, ἐν ὑποθέσει δηλαδὴ εἰ παρείη ἐν τῇ φύσει τι κρεῖττον, τῇ κατ' ἐκεῖνο κινήσει ἀντιπροσιστάμενον. Ψυχῆς δ' ἐν τῷ παντὶ πολλῶν ὁμολογουμένων κρειττόνων, εἰ φύσει κινοῖτο, οὔθ' ἡ κατὰ βίαν κίνησις εἴη ἀπᾴδουσα. Ἀλλὰ ταῦτα μὲν οὕτω. Τί δὲ τὸ ἐκ τούτων; ὅτι ὡς ἡ ψυχὴ ὅλως ἀπαραβίαστον, οὕτω καὶ πάντῃ ἂν εἴη ἀκίνητον. Ἐπεὶ ποῖαι βίαιοι „ τῆς ψυχῆς ἔσονται κινήσεις, καὶ ἠρεμίαι; οὐδὲ πλάττειν, „ φησὶ, βουλομένοις ῥᾴδιον ἀποδοῦναι. (1) Οὐ γὰρ ἀμέλει οὔθ' αἱ κατὰ τὸν νοῦν, ἢ τὴν ἐπιστήμην λογικαὶ δυνάμεις τοῦ κριτικοῦ μορίου καὶ ἔμφρονος. Οὔθ' ἡ κατὰ τὴν βούλησιν τοῦ ὀρεκτικοῦ λογικὴν καὶ ταύτην τυγχάνουσαν. Οὐδὲ μὲν οὖν τοῦ μὲν ἡ αἴσθησις, τοῦ δὲ θυμὸς καὶ ἐπιθυμία, αἷς καί τις ἀλογία συμπίπτει, βίας ἧστινοσοῦν ἂν γένοιντο ἥσσονες. Ταύτας γάρ τοι προσηκούσας ἑαυτῇ ἔχει ἡ ψυχὴ, καὶ τούτων ταῖς ἐσχάταις (περὶ ὧν αὖτις τάχα καὶ ἐνδοιάσειε) συμφερόντως εἰς σωτηρίαν τοῦ ζώου ἐχρήσατο. Κἂν δεσμῇ τὸ σῶμα, κἂν βίᾳ ὠθείη, ἢ ἀπαχθείη, οὐδὲ κατ' αὐτὰ βίαν ἡ ψυχὴ πείσεται ὅλως, ἐπεὶ καὶ ἀφ' ἑαυτῆς εἰς τὰ αὐτὰ πολλάκις τὸ σῶμα καθίστησιν (2). „Οὐδὲν οὖν βίαιον ἡ ψυχὴ „ πάσχει ποτέ· ὅλη γὰρ αὐτοπροαίρετος ἡ λογικὴ ζωὴ, „ τῷ δὲ προαιρετῷ ἐναντίον τὸ βίαιον. Διὸ καὶ ἐν ταῖς τυ„ραννικαῖς ἀνάγκαις διαφαίνεται τὸ τῆς ψυχῆς ἑκούσιον, ἢ „ ἀντεχούσης, ἢ οὔ. Καί πως ἑκουσίως πρὸς τὴν ἀνάγκην „ ἐνδιδούσης. (3)

Ε. Καὶ ἐκ τῶν κατ' εἶδος δὲ φορῶν, τῆς τε ἐπὶ τὰ ἄνω φημὶ, καὶ κάτω, τὴν ψυχῶν κινήσεως ἐπιχειρεῖ ἀποφῆναι κρείτ-

(1) Ἀριστοτέλης. Αὐτ.
(2) Ὅρα τὸν Φιλόπον. ἐν Ὑπομν. Αὐτόθι.
(3) Σιμπλίκ. ἐν Ὑπομ. Αὐτ.



κρείττονα. Ἔτι γὰρ φησὶν (1) „ εἰ μὲν ἄνω κινήσεται πῦρ „ ἔσται· εἰ δὲ κάτω, γῆ· τούτων γὰρ τῶν σωμάτων αἱ κι„νήσεις αὗται. Ὁ δ' αὐτὸς λόγος, καὶ περὶ τῶν μεταξύ. (ἀέρος δηλαδὴ καὶ ὕδατος.) Οὕτω δὲ δὴ εἰσβάλλει ταῖς τοιαῖσδε φύσεσι, τὰς τοιάσδε κινήσεις ἰδιαίτατα προσήκειν ἡγούμενος.

ς΄. Καὶ τοιοῦτον δὲ τοῖς ἀνωτέρω παρασυνάπτει λόγον, συνωθεῖν δοκῶν εἰς ἀδύνατα, τοὺς τὸ κινεῖσθαι τῇ ψυχῇ περιάπτοντας. Ἔπειτα δ' εἰ φαίνεται, φησὶ (2) κινοῦσα τὸ „ σῶμα, ταύτας εὔλογον κινεῖν τὰς κινήσεις, ἃς καὶ αὐτὴ „ κινεῖται. Εἰ δὲ τοῦτο, καὶ ἀντιστρέψασιν εἰπεῖν ἀληθὲς, „ ὅτι κατὰ γένος, καὶ κατὰ εἶδος, ἣν τὸ σῶμα κινεῖται. Τὸ „ δὲ σῶμα κινεῖται φορᾷ, ὥστε καὶ ἡ ψυχὴ μεταβάλλοι ἂν „ κατὰ τὸ σῶμα ταύτην καὶ αὐτὴ, ἢ ὅλη, ἢ κατὰ μόρια με„θισταμένη. Τοῦ δὲ λόγου ὁ τόνος πρὸς τοὺς μοχλείᾳ τι„νὶ, ᾗ φησὶν ὁ Φιλόπονος (3) κινεῖσθαι τὸ σῶμα ὑπὸ τῆς ψυχῆς οἰομένους. Ἐπὶ γὰρ τῆς φορᾶς, πάντως τὸ φέρον σῶμα, καὶ φέρεται τὴν αὐτὴν (εἰ μὴ εἴδει, ἀλλὰ γένει γοῦν.) ἐπὶ δὲ τῶν ἄλλων κινήσεων οὐκ ἔστιν ἐπάναγκες, μηδὲ τὸ ἀλλοιοῦν ἀλλοιοῦσθαι, μηδὲ τὸ αὖξον αὔξεσθαι, καθὰ προείρηται. (ἐν Ἀριθμῷ Α΄.) Τί οὖν καὶ τὸ ἐντεῦθεν „ ἄτοπον; ὅτι, φησὶν, εἰ τοῦτο ἐνδέχεται (φορᾷ κινεῖσθαι) „ καὶ ἐξελθοῦσαν εἰσιέναι πάλιν ἐνδέχοιτ' ἄν. Τούτῳ δ' ἕ„ποιτ' ἂν τὸ ἀνίστασθαι τὰ τεθνεῶτα τῶν ζώων.

Ζ΄. Τὴν κατὰ συμβεβηκὸς κίνησιν, καὶ ὑφ' ἑτέρου ἐνδέχεσθαι „ τῇ ψυχῇ δοὺς συμβαίνειν, ὠθείη γὰρ ἂν, φησὶ, βίᾳ „ τὸ ζῶον, οὕτως ἐντεῦθεν συλλογίζεται, ὡς οὐ δεῖ ᾧ τὸ ὑφ' ἑαυτοῦ κινεῖσθαι ἐν τῇ οὐσίᾳ, τουτέστι καθ' αὑτὸ, τοῦτο ὑπ' ἄλλου κινεῖσθαι. πλὴν εἰ μὴ κατὰ συμβεβηκός. (τὸ γὰρ μὴ καθ' αὑτὸ, κατὰ συμβεβηκὸς δὲ ὑφ' ἑαυτοῦ κινούμενον, κἂν ὑφ' ἑτέρου κινοῖτο.) κατασκευάζει δὲ ἐφεξῆς τόδε ὧδε.

„ ὥσπερ

(1) Ἀριστοτέλης ἔνθα ἀνωτ.
(2) Ἀρισ. Αὐτ.
(3) Ἐν Ὑπομν. Αὐτ.

„ὥσπερ οὐδὲ τὸ καθ' αὑτὸ ἀγαθόν, ἢ δι' αὐτό, τὸ μὲν δι' ἄλλο εἶναι, τὸ δὲ ἑτέρου ἕνεκα, (δεῖ). Ἐπὶ μὲν γὰρ τῶν ποιητικῶν ἀντίκειται τῷ καθ' αὑτὸ τὸ δι' ἄλλο. Ἐπὶ δὲ τῶν τελικῶν τῷ δι' αὐτό, τὸ ἑτέρου ἕνεκα. Καὶ τὸ μὲν καθ' αὑτὸ σημαίνει τὸ φύσει, καὶ κυρίως ποιητικόν, τὸ δὲ δι' ἄλλο, τὸ ὀργανικόν, καὶ μέσον. Καὶ καθ' αὑτὸ μὲν ἡ δύναμις τῆς ὁράσεως, δι' ἄλλο δὲ τὰ διοπτήρια. Πάλιν τὸ μὲν δι' αὐτὸ σημαίνει τὸ κυριώτατον τέλος, ὃ αὐτοῦ ἕνεκα θηράσιμον γίνεται, τὸ δὲ ἑτέρου ἕνεκα, τὸ πρὸς ἄλλο τέλος ἀναφερόμενον· οἷον δι' αὐτὸ τὴν ἀρετὴν διωκτέον, τὰ δὲ βιβλία διὰ τὴν μελέτην. Καὶ εἴτι μὲν δι' αὐτό, τοῦτο ἐπεὶ οὐκ ἔξωθεν, ἔστι τῷ ἔχοντι καθ' αὑτό· οἷον ἐπεὶ δι' αὐτὸ αἱρετόν, ἡ ἀρετή, καὶ καθ' αὑτὸ ἔσται τῇ ψυχῇ δύναμιν ἐχούσῃ τοῦ κατορθοῦν. Οὐκ εἴτι δὲ καὶ καθ' αὑτό, τοῦτο ἤδη καὶ δι' αὐτό. Πολλάκις γὰρ ἑτέρου ἕνεκεν. Καθ' αὑτὸ γὰρ ἡ ὅρασις τῷ ζώῳ, πλὴν ἑτέρου ἕνεκεν. Καὶ εἴτι δὲ δι' ἄλλο, τοῦτο ἑτέρου ἕνεκεν. Ἐπεὶ γὰρ ὀργανικόν τι καὶ μέσον εἶναι ὑπετέθη τὸ τοιοῦτο, μὴ καθ' αὑτό, καὶ ἐξ οἰκείας φύσεως τεῖνον, ἐφ' ἣν παραλαμβάνεται ἐνέργειαν, ὑπουργοῦν δὲ ἄλλῳ τινί, πάντως καὶ ἑτέρου ἕνεκα τὸ τοιοῦτον· οἷον τὰ εἰρημένα διοπτήρια· οὐμὴν καὶ ἀνάπαλιν εἴτι ἑτέρου ἕνεκα, τοῦτο ἤδη καὶ δι' ἄλλο. Ἡ γὰρ ὅρασις ἑτέρου ἕνεκεν, οὐ μὴν δι' ἄλλο τῷ ζώῳ. Σαφέστερον δὲ εἰπεῖν καθ' αὑτὸ μὲν τὸ οὐσιῶδες, δι' ἄλλο δὲ τὸ κατὰ συμβεβηκός, ταῦτα δέ ἐστιν ἀλλήλοις μαχόμενα, καὶ δι' αὐτὸ μὲν τὸ τέλος, ἑτέρου δὲ ἕνεκα, τὸ πρὸς τὸ τέλος ἀφορῶν. Καὶ ταῦτα πάλιν ἀντιβαίνοντα. Καὶ ἐὰν ᾖ τέλος, ἔσται καὶ οὐσιῶδες τῷ ἔχοντι, οὐδὲν γὰρ μάτην, ὥστε τὸ δι' αὐτό, καὶ καθ' αὑτό. Οὐχὶ δὲ ἀνάπαλιν. Οὐ γὰρ ἠρεμεῖ ἐφ' ἅπασιν ἡ φύσις, οἷς ἔχει. Χρῆται δ' αὐτοῖς τὰ πολλὰ καὶ πρὸς ἄλλα. Καὶ πάλιν τὸ κατὰ συμβεβηκός, καὶ πρός τι τέλος παραλαμβάνεται. Ἀνάπαλιν δ' οὔ. Οὐ γὰρ ἀνάγκη εἴτι καὶ πρὸς τέλος ἀφορᾷ περαιτέρω, τοῦτο καὶ συμβεβηκέναι τῷ ἔχοντι· γένοιτο γὰρ ἂν καὶ φυσικόν, καὶ οὐσιῶδες. Ἐπεὶ τοίνυν τὸ καθ' αὑτό, καὶ δι' ἄλλο εἰσὶν ἀντικείμενα. Καθ' αὑτὸ δὲ κινητὴ ὑποτίθεται ὑπὸ τῶν αὐτοκίνητον αὐτὴν λεγόντων ἡ ψυχή, οὐκ ἔσται κινητὴ δι' ἄλλο, ἤτοι ὑπὸ ἄλλου. Ἀλλ' ἔστι τοῦτο. Κινεῖται γὰρ

ὑπὸ



ὑπὸ τῶν αἰσθητικῶν (Καὶ αὕτη δὴ ἡ τοῦ κατ' Ἀριστοτέλην Συλλογισμοῦ ἐλάσσων.) „τὴν δὲ ψυχὴν μάλιστα φαίη τις ἂν ὑπὸ τῶν αἰσθητικῶν κινεῖσθαι, εἴπερ κινεῖται.) οὐκ ἄρα ἐκεῖνο, ἤτοι οὐ καθ' αὑτὴν κινεῖται. Καὶ τοῦτ' ἂν εἴη τῆς δείξεως οἶμαι τὸ κεφάλαιον: Οὐδὲν αὐτοκίνητον ἑτεροκίνητον. Ἀλλαμὴν ἡ ψυχὴ ἑτεροκίνητος, οὐκ ἄρα αὐτοκίνητος.

Η'. Ἀλλαμήν, καὶ εἰ κινεῖγε (φησὶν) αὐτὴ ἑαυτήν, καὶ „αὐτὴ κινοῖτ' ἄν· ὥστε εἰ πᾶσα κίνησις ἐστί, τοῦ κινουμένου, ᾗ κινεῖται, καὶ ἡ ψυχὴ ἐξίσταιτο ἂν ἐκ τῆς οὐσίας, εἰμὴ κατὰ συμβεβηκὸς αὑτὴν κινεῖ, ἀλλ' ἔστιν ἡ κίνησις τῆς οὐσίας αὐτῆς καθ' αὑτήν. Ὅ,τι γὰρ δήποτε κινεῖται, καθ' ὃ κινεῖται, τούτου πάντως ἐξίσταται, καὶ οὐκέτι μένει κινηθέν, οὐδ' ὅ, οὐδ' οἷον, οὐδ' ὅσον, οὐδ' ὅπου πρότερον ἦν, κατὰ τὸ εἶδος δηλονότι τῆς κινήσεως, ἧσπερ ἔτυχεν· ὥστε καὶ ἡ ψυχή, εἴγε καθὸ ψυχὴ κινεῖται, καὶ τοῦ εἶναι ψυχὴ ἐκστήσεται. Τοιοῦτον ἕπεται τὸ ἄτοπον, εἰ μή τις εἴποι, ὅτι κατὰ συμβεβηκὸς κινεῖται, (ᾗ κινεῖ τὸ ἐν ᾧ ἐστὶ σῶμα) καὶ οὐχὶ κατ' οὐσίαν τὴν ἑαυτῆς. Ἀλλὰ τὸ κατὰ συμβεβηκὸς κινεῖσθαι τὴν ψυχὴν δώσομεν. Ἄλλως. „εἰμὴ κατὰ συμβεβηκὸς αὐτὴν κινεῖ, τουτέστι κατὰ ποσόν, ἢ ποιόν, ἢ ποῦ, ἀλλ' οὕτως ἔσται σῶμα.

Θ'. Μετὰ ταῦτα εἰκότως τὴν τοῦ Δημοκρίτου διακωμῳδεῖ „δόξαν περὶ ψυχῆς, παραπλησίως λέγων ἐκεῖνον ποιεῖν Φιλίππῳ τῷ κωμῳδιοδιδασκάλῳ· φησὶ γὰρ τὸν Δαίδαλον κινουμένην ποιῆσαι τὴν ξυλίνην Ἀφροδίτην, ἐγχέαντα ἄργυρον χυτόν. Ὁμοίως γὰρ καὶ Δημόκριτος κινουμένας φησί, τὰς ἀδιαιρέτους σφαίρας, διὰ τὸ πεφυκέναι μηδέποτε μένειν, συνεφέλκειν καὶ κινεῖν τὸ σῶμα πᾶν. Οἷς καὶ πάνυ γοργόν, καὶ συντονόν τι ἐρώτημα προστίθησιν. Ἡμεῖς δ' ἐρωτήσομεν, εἰ καὶ ἠρέμησιν ποιεῖ τοῦτ' αὐτό; Πῶς δὲ ποιήσει; Χαλεπόν, ἢ καὶ ἀδύνατον εἰπεῖν. Ἀλλ' εἰπάτω εἴτι ἔχει πρὸς ταῦτα αὐτὸς Δημόκριτος.

Ι'. Ὑποσυνάπτει τέως τὸν καθ' ὃν ἡ ψυχή, τὸ σῶμα „δύναιτο ἂν κινῆσαι τρόπον, ὅλως (λέγων) οὐχ οὕτω φαίνεται κινεῖν ἡ ψυχὴ τὸ ζῶον, ἀλλὰ διὰ προαιρέσεώς τινος, καὶ νοήσεως. Ὑπερφυῶς μὲν οὖν, καὶ τῷ ὄντι φιλοσόφως.

ῆφως. Φαίνεται γὰρ τοῖς σφίσιν αὐτοῖς προσέχειν ἐθέλουσι, πλὴν ὅσον, οὐ περὶ τῶν ζωτικῶν κινήσεων τὸ λεγόμενον ἐκληπτέον, ἀλλὰ περὶ τῶν ἤτοι κατὰ μέλη τινά, ἢ καθ' ὅλον μεταστατικῶν, καὶ ἃς ἑκουσίως κινούμεθα. (§. χ' πέ.) Ἀλλὰ περὶ τούτων ἰδίᾳ ἐν ἄλλοις.

## ΚΕΦΑΛΑΙΟΝ Γ'.

### Τίς ἡ τῆς λογικῆς ψυχῆς Οὐσία;

§. ψπά. Ὀφθάσας ἡμῖν εἰς τοῦτο περὶ ψυχῆς λόγος, ὅτι περὶ τῆς διακοσμούσης τὸν ἄνθρωπον ἐστὶν, σαφῶς οἶμαι δι' ὧν ἐπήγαγε, τὴν πρόθεσιν αὐτὸς τὴν αὐτοῦ παρέστησε. Προτεταχὼς γὰρ ἐν μοίρᾳ ὑποθέσεων, ὧν πάντες ἄνθρωποι δυνάμεων καὶ ἐνεργειῶν σφίσιν ἑαυτοῖς συνίσμεν (§. χξή. Κεφ. Α'.) προσέχοντες, καὶ λαβὼν τῶν τῇ σωματικῇ φύσει προσιδιαζόντων τινά, (§. χυ'. χυά. χυβ'. χυγ'. χυδ'. χυέ.) ἑκάτερόν τε τῶν παθῶν τὸ εἶδος πρὸς ἑκατέραν τῶν οὐσιῶν, τήν τε σωματικὴν, καὶ τὴν ἐν ἡμῖν ἐναλλὰξ λογικὴν προσεξετάσας, καὶ μηδαμῶς οἰκειουμένας κατειληφὼς (§. χυζ'. χυή. χυθ'. ψ'. ψά. ψβ'. ψγ'. ψδ'. κζ'.) πάνυ πολὺ ἐν αὐταῖς κατεφώρασε τὸ ἑτεροπαθὲς, καὶ ἀσύμφυλον. Καὶ ἑξῆς οὖν ἐπὶ τὸ πέρας χωρῶν τῆς προθέσεως, περὶ τῆς αὐτῆς ἐρεῖν ψυχῆς, ἥτις ἐστὶ τὴν οὐσίαν τὴν ἑαυτῆς ἐπαγγέλλεται, τῆς μὲν ἐν τοῖς ἄλλοις ζώοις αἰσθητικῆς, ὁποία τις ἂν καὶ εἴη, τόγε νῦν ἤδη παραμελῶν, καὶ τὸ ἐν τοῖς φυτοῖς ψυχῆς οἷον εἴδωλον, τὸ τῆς φυτικῆς φημὶ δυνάμεως ὑπερτιθέμενος, αὐτὴν δὲ μόνην τὴν ἐν ἡμῖν, καὶ νοήσεων, καὶ αἰσθήσεων, καὶ δὴ καὶ ἁπασῶν τῶν ἄλλων ζωτικῶν ἐνεργειῶν οὖσαν πηγὴν καὶ παραίτιον, περισκεπτόμενος. Ἄλλοι μὲν οὖν τὸν περὶ ψυχῆς λόγον εἰς ἓν συνέφυραν, τῆς τε καθ' ἡμᾶς, καὶ τῆς κατὰ πᾶν εἶδος ἐμψυχίας, ὑπὸ μιᾷ σκέψει τὴν θεωρίαν συγκαταμίξαντες. Εἰκὸς δὲ ἦν ἄρα οὕτω μετελθεῖν, τὰς ἤτοι ἀσωμάτους, ἢ σωματικὰς τὰς ψυχὰς ἁπάσας ἡγησαμένους. Ἀριστοτέλους

δὲ



δὲ ἦν οἶμαι, τοῦ τὴν μὲν χωριστὴν, καὶ μηδὲν πλέον, ὑπονοησαμένου τῆς ὕλης, τὰς δ' ἀχωρίστους διατεινομένου, ἐν μέρει τούτων ἐπιχειρῆσαι καὶ τὴν διάσκεψιν. Εἰ μὴ καὶ τοῦτό τις ἐκείνου ἀποδοίη τῇ ὑπολήψει, τὸ μὴ τὸν λόγον ἐθελῆσαι διαστεῖλαι, ὧν τὸ πῶς ἔχειν πρός γε τὴν πρὸς τὸ σῶμα ἀναφορὰν, ἔδοξε παραπλησιώτατον. Ὅτι γὰρ ὡς εἶδός τι τοῦ ἐμψύχου, καὶ τὴν λογικὴν ἐκεῖνος, κατὰ τὰς ἄλλας, φυσικώτερον διεσκόπει, αὐτὸς ἐκ τῆς αὐτοῦ συγγραφῆς δῆλον καθίστησιν. Ἡμῖν δὲ τὴν ἐν ἀνθρώπῳ ψυχὴν μεταφυσικώτερον, ὡς οὐσίαν τινὰ ὕλης πάντῃ καθαρεύουσαν, ᾗ δοκεῖ, καθ' ἑαυτὴν ἐπιθεωροῦσι, καὶ τὸ εἰδοποιεῖν τὸ σῶμα ἐν δευτέρῳ λόγῳ τιθεμένοις, ὡς εἰ μηδὲ ἦσαν ὅλως αἱ ἐν τοῖς ἄλλοις, οὕτω περὶ τῆς ἰδίας αὐτῶν ῥητέον. Κἂν εἴπῃ δέ τις, καὶ περὶ τῶν ἐν ἐκείναις παθημάτων, ὡς ἐξ ἡμῶν, ἢ τινὸς τῶν φιλοσοφησάντων παρεμπέσοι λόγος, τοῦτον ὡς ἐν ἔργῳ πάρεργον ἐκδεκτέον, εἰ μὴ καθ' ὅσον τῆς προὔργου οὔσης θεωρίας, οὐκ ἀπροσφυὴς, οὐδ' ἀλλόξιος.

§. ψπβ'. Διέλοι δ' αὖτις τὰς τῶν περὶ ψυχῆς (οὐδεὶς δὲ τούτων τοῦ λόγου τὴν ἀνθρωπίνην ἐξῄρηκεν) εἰπόντων δόξας, εἰς τρία οἱονεὶ κόμματα. Οἱ μὲν γὰρ οὐσίαν σώματος χωριστὴν, ταὐτὸν εἰπεῖν ἀσώματον, καὶ νοῦν αὐτόχρημα, ταύτην ὑπέθεντο, οἱ δὲ πάντῃ σωματικὴν, καὶ οὐδὲν ὅ,τι μὴ σῶμα. Οἱ δὲ σῶμα μὲν οὔ, τοῦ δὲ σώματος οὕτως ἐξηρτημένην, ὡς αὐτοῦ ἄνευ οὐδ' ἐνεργεῖν ὅλως οὐδ' ἁπλῶς εἶναι μὴ δύνασθαι. Ἀνούσιόν τι χρῆμα (φησὶν ὁ Νεμέσιος (1) καὶ μόναις ταῖς ἐνύλοις δυνάμεσί τε, καὶ διαθέσεσι συγκροτούμενον. Φαίνονται δὲ τῆς μὲν πρώτης αἱρέσεως γεγονότες, Θαλῆς ὁ Μιλήσιος, ὃς καὶ πρῶτος τὴν ψυχὴν φύσει „ἀεικίνητον, καὶ αὐτοκίνητον ἀπεφήνατο. (2) Περὶ οὗ καὶ Ἀριστοτέλης μαρτυρεῖ, ὡς ἔοικεν ἐξ ὧν ἀπομνημονεύουσιν (οὐδὲν γὰρ δηλονότι οὐδὲ κατ' ἐκεῖνο τοῦ χρόνου περιῆν τοῦ Θάλητος σύγγραμμα) „κινητικόν τι τὴν ψυχὴν ὑπολαμ-
„βά-

(1) Περὶ ἀνθρώπου Κεφ. Β'. Περὶ Ψυχ.
(2) Πλούταρχ. Ἀρεσκ. Δ'. Κεφ. Β'. Καὶ Νεμέσ. ἔνθα ἀνωτ.

,, βαίνειν, εἴπερ τὸν λίθον ἔφη ψυχὴν ἔχειν, ὅτι τὸν σίδηρον κινεῖ. (1) Καὶ Πυθαγόρας, ὃς τὴν ψυχὴν ἀριθμὸν κινοῦντα ἑαυτὸν ὡρίζετο (2), τὸν δὲ ἀριθμὸν ἀντὶ τοῦ νοῦ παρελάμβανε. Τοὺς γάρ τοι Πυθαγορείους, ὡς ὁμοφρονοῦντας τῷ Δημοκρίτῳ ,, ψυχὴν εἶναι τὰ ἐν τῷ ἀέρι ξύσματα ὑπειληφέναι ἀκούομεν (3), εἰμήπου συμβολικῶς (ὡς εἰώθεισαν) διὰ τῶν ξυσμάτων τούτων, τὴν τῆς ψυχῆς κατὰ τὸ νοερὸν φῶς ἐμφάνειαν, ὑπαινίττεσθαι αὐτοὺς φαίημεν (4) μακρὰν ἀπέχειν τοῦ καθηγεμένους αὐτῶν ἡγούμεθα, ὥσπερ οὖν καὶ τοὺς ἀπὸ Ἀναξαγόρου ,, ἀεροειδῆ λέγοντας, καὶ σῶμα τὴν ψυχήν, (5) αὐτοῦ ἐκείνου. Οὗτος καὶ γὰρ ψυχὴν εἶναι λέγει τὴν κινοῦσαν, καὶ εἴτις ἄλλος εἴρηκεν, ὡς τὸ πᾶν ἐκίνησε νοῦς. (6) Σωκράτης δέ, καὶ Πλάτων, οὐσίαν νοητὴν ἐξ ἑαυτῆς κινητὴν κατὰ ἀριθμὸν ἐναρμόνιον, ἀπεδίδου (7)· καὶ Ξενοκράτης ὁ τὸν Πλάτωνα διαδεξάμενος, οὗ καὶ τὸν ὁρισμὸν εἶναί φασιν (8) ὅτι ,, ψυχὴ ἀριθμός ἐστιν ἑαυτὸν κινῶν, τὸν κοινῇ εἰς Πυθαγόραν ἀναφερόμενον. Καὶ πάντες οἱ Πλατωνικοὶ Ἀμμώνιος, Πλωτῖνος, Ἰάμβλιχος, (σὺν οἷς ἀριθμείσθω καὶ Νουμήνιος ὁ Πυθαγορικός.) Πλούταρχος, Πρόκλος, Ἀλκίνοος, καὶ οἱ τὸν Ἀριστοτέλην διερμηνεῦσαι σπουδάσαντες, Θεμίστιος, Σιμπλίκιος, Φιλόπονος. Μεθ' ὧν καὶ οἱ τῶν Νεωτέρων ἐπισημότατοι Καρτέσιος, Νεύτων, Λεϊβνίτιος, Οὐόλφιος, τοῦ ἀσωμάτου τῆς ψυχῆς προστάται ὤφθησαν διαπρύσιοι.

§. ψκγ'. Τῶν δὲ δὴ σῶμα τὴν ψυχὴν ὑπειληφότων φέρονται οἱ ἐφεξῆς. Δημόκριτος ὁ ἐκ τῶν σφαιροειδῶν ἀτόμων τό,τε πῦρ, καὶ τὴν ψυχὴν συγκρίνεσθαι δογματίσας (1),

(1) Ἀριστ. ἐν Α'. Περὶ Ψυχ.
(2) Πλούταρχ. Καὶ Νεμέσ. ἔνθα ἀνωτ.
(3) Παρ' Ἀριστ. ἐν οἷς ἀνωτ.
(4) Ὅρα Σιμπλίκ. καὶ Φιλόπον. ἐν Ὑπομν.
(5) Πλούταρχ. Αὐτ. Κεφ. Γ'.
(6) Ἀριστοτέλης Α'. Περὶ Ψυχ.
(7) Ἀριστ. καὶ Νεμέσ. Αὐτ.
(8) Σιμπλίκ. καὶ Φιλόπον. ἐν Ὑπομν.



(1), ὃς καὶ τὸν Ὅμηρον αὐτὸν ἕλκειν ἐπειρᾶτο ἐπὶ τὸ δόγμα, ὑπερχαίρων τῷ ἔπει ,, ὡς Ἕκτωρ κεῖτο ἀλλοφρονέων. Τοῦτο γὰρ εἶναι κατ' ἐκεῖνον, παραισθανόμενος, ὡς εἰ ταὐτὸν εἴη τῷ λόγῳ ὅ,τε νοῦς ᾧ φρονοῦμεν, καὶ ἡ αἴσθησις δι' ἧς αἰσθανόμεθα. Καὶ Ἐπίκουρος ὁ οἷόν τι κρᾶμα ἐκ τεσσάρων τὴν ψυχὴν συγκεράσας ,, ἐκ ποιοῦ πυρώδους, ἐκ ποιοῦ ἀερώδους, ἐκ ποιοῦ πνευματικοῦ, καὶ ἐκ τετάρτου τινὸς ἀκατονομάστου, ὃ ἦν αὐτῷ αἰσθητικόν (2) ᾧ καὶ ὁ Ῥωμαῖος Ἐπίκουρος συμφρονήσας, τὸ quartum nominis expers συνδιελήρησεν. (3) ,, Τοῦθ' ὅπερ αἰσχυνομένης ἐστὶν ἀγνοίας ἐξομολόγησις, οὐκ ἔχειν ὀνομάσαι φασκόντων, ὃ μὴ δύνανται καταλαβεῖν. (4) Καὶ Ἐμπεδοκλῆς δὲ ἐκ τῶν τεσσάρων στοιχείων, καὶ τοῦ νείκους καὶ τῆς φιλίας, ψυχὴν συνέκρινέ τε, καὶ διέκρινε. (5) Ταῦτά τε, καὶ τούτων ἕκαστον ψυχὴν εἶναι λέγων. Οἱ δὲ Στωϊκοὶ πνεῦμα ἔνθερμον καὶ διάπυρον. (6) Καὶ Ἡράκλειτος μὲν ἀναθυμίασιν ἐκ τῶν ὑγρῶν, (7) ἢ πῦρ λεπτομερέστατον, (8) ἧς δὴ δόξης καὶ Ἵππασος γεγονέναι φέρεται. Διογένης δὲ ὁ Ἀπολλωνιάτης, καὶ Ἀναξιμένης ἀέρα· καὶ Ἵππων ὕδωρ, καὶ Κριτίας αἷμα. Καὶ ὅλως σὺν Ἀριστοτέλει (9) εἰπεῖν ,, πάντα τὰ στοιχεῖα κριτὴν εἴληφε πλὴν τῆς γῆς. Ἀλλὰ καὶ Τερτυλλιανὸς (10) καίτοι χριστιανίσας, ἐκ σώματος καὶ αὐτοὺς πάνυ λεπτοῦ τὴν ψυχὴν ἐδόξαζε τῷ παχυτέρῳ σαρκίῳ, ὡς ἐν κολεῷ τὸ ξίφος περιειλημμένην ἐναποκεῖθαι. Ἐπὶ πᾶσι δὲ οἱ Νεώ-

(1) Ἀριστ. Α'. Περὶ Ψυχ. Πλούταρχ. Ἀρεσκ. Δ'. Κεφ. Γ'. Νεμέσιος. Περὶ ἀνθρώπου Κεφ. Β'.
(2) Πλούταρχ. ἔνθα ἀνωτ.
(3) Λουκρέτιος ἔπει 239 Βιβλ. Γ'.
(4) Παρὰ Πλουτάρχ. πρὸς Κολώτην.
(5) Ἀριστ. Α'. Περὶ Ψυχ.
(6) Πλούτ. καὶ Νεμέσ. Αὐτ.
(7) Αὐτ. Αὐτ.
(8) Φιλόπον. ἐν Ὑπομν.
(9) Αὐτ. ἔνθα ἀνωτ.
(10) Βιβλ. Περὶ Ψυχ. Κεφ. Ζ'.

Νεώτεροι Ἐπικούρειοι, οἱ περὶ Ὠβέσιον, καὶ ἄλλους, ὅλαις, ὥ φασι δυνάμεσι, σωματικήν τινα τὴν ψυχῆς ἀναδεῖξαι ἠγωνίσαντο φύσιν, τοιαύτης ἤπου καὶ μετέχειν ὀφθέντες ἄξιοι.

§. ψκδ'. Τὴν δὲ τοῦ Ἀριστοτέλους ἐντελέχειαν, καὶ τὴν Δικαιάρχου ἁρμονίαν τῶν τεσσάρων στοιχείων, ἣν Δεινάρχῳ μὲν παρὰ Νεμεσίῳ (1) ὄνομα, τοῖς δὲ Πυθαγορείοις παρ' ἄλλοις, προσαναγραφομένην εὑρεῖν ἐστί, καὶ τὴν κατὰ τὸν ἰατρὸν Ἀσκληπιάδην συγγυμνασίαν τῶν αἰσθήσεων, ποῦ ποτε θήσομεν; Ἐοίκασι γὰρ οὗτοι, τῶν ἀσώματον μὲν (2) τὴν ψυχὴν ὑποτιθεμένων, ἀνούσιον δὲ (3) καθ' ἑαυτήν, ἅτε δὴ τοῦ σώματος πάμπαν ἀχώριστον. Ἀλλὰ περὶ μὲν Ἀριστοτέλους ἔχοι ἄν τις καὶ ἀπορεῖν, αὐτοῦ δὲ κἂν ἐγγείαν δοίην μὴ οὕτω περὶ τῆς λογικῆς ψυχῆς ἐκεῖνον ὑπειληφέναι. Περὶ δὲ τοῦ Δικαιάρχου οὐκ ἐπιτρέπει ἐνδοιάζειν ὁ Ῥωμαῖος Κικέρων (4), ὃς τοσοῦτον τῆς ἐν τοῖς Δικαιάρχου λόγοις ἐπαισθήσεως ἀπήρτηto χάριτος, ὡς delicias suas, τρυφὴν ἑαυτοῦ τὸν ἄνδρα ἀποκαλεῖν. Οὗτος οὖν διαρρήδην περὶ ἐκείνου μαρτυρεῖ non separabilem esse (μηδαμῶς χωριστὴν εἶναι) τὴν ψυχὴν δοξάσαι τοῦ σώματος, τοῦ Ἀριστοτέλους δηλονότι, καθά φησιν ὁ Πλατωνικὸς Ἀττικὸς (5) ἑπόμενον δόγματι, καὶ τὴν ὅλην τῆς ψυχῆς οὕτως ἀνῃρηκότα ὑπόστασιν. Εἰκὸς δέ γε καὶ τὴν Ἀσκληπιάδου τὴν εἰρημένην τῶν αἰσθήσεων συγγυμνασίαν, τὸ αὐτὸ βούλεσθαι, ὡς ἄρα καὶ ταύτην ταῖς συγγυμναζομέναις δυνάμεσι συνεκλείπουσαν, καὶ τῆς ὕλης κατ' ἐκείνας ἔχουσαν τὸ ἀχώριστον.

§. ψκέ. Ἔτι δὲ δὴ καὶ ἄλλη τις τῶν περὶ ψυχῆς εἰπόντων, καθ' ἕτερον λόγον, διαφορὰ φαίνεται (6). „ τῶν μὲν „ μίαν

(1) Περὶ Ἀνθρώπου. Κεφ. Β'. Περὶ Ψυχ.
(2) Πλούταρχ. Ἐν Δ'. Ἀρεσκ. Κεφ. Γ'.
(3) Νεμέσ. αὐτόθι αὐτ.
(4) Tusculan. Quæstion. Lib. 1.
(5) Ἐν Συγγράμμ. τῷ πρὸς Ἀριστοτέλην παρ' Εὐσεβ. Εὐαγγελ. Προπαρασκ. Βιβλ. ιέ.
(6) Νεμέσιος περὶ Ἀνθρώπου. Κεφ. Ε'. Περὶ Ψυχ.



„ μίαν εἶναι καὶ τὴν αὐτὴν τῶν πάντων ψυχὴν νενομικότων, κατακερματιζομένην εἰς τὰ καθ' ἕκαστα, καὶ πάλιν „ εἰς ἑαυτὴν συννεύουσαν, ὡς οἱ Μανιχαῖοι, καὶ ἄλλοι τινές. „ Τῶν δὲ πολλὰς καὶ διαφόρους κατ' εἶδος, τῶν δὲ μίαν, καὶ „ πολλάς. Ἀλλὰ τῶν ἅλις τῆς τῶν περὶ ψυχῆς δοξασμάτων Ἱστορίας· ἀρχὴ δὲ γινέσθω τῆς τούτων κρίσεως.

## Θεώρημα Ις'.

§. ψκς'. „ Τὴν λογικὴν ψυχὴν οὐσίαν σωματικήν, ἤτοι σῶμα διατείνεσθαι εἶναι, ἄλογον.

Ἄλογον γὰρ δηλονότι ταυτίζειν ἐθέλειν τὰς οὐσίας, ὧν τὰ πάθη τὰ οὐσιώδη ἀλλοτριώτατα ὄντα, πάντη ἐστὶν ἀσύμβατα. Εἴγε ἡ τούτων εἰς ταυτὸ συνέλευσις ἂν ἑκάστῳ οὐσία (§. σκζ'. σκή. σλγ'.)· οὕτω δὲ ἔχει τὰ τῇ λογικῇ ψυχῇ προσόντα, καὶ τὰ τῷ σώματι. Οὐ γὰρ ἂν οὐδὲ τὰ ἐκείνῃ προσιδιάζοντα, ἀνατεθείη τῷ σώματι. (§. χοθ'. ψ'. ψά. ψβ'. ψγ'. ψδ'. ψέ. ψς'.) οὐδὲ μὲν ἐν τῷ σώματι, ἐκείνῃ. (§. ψθ'. ψί. ψιά. ψιγ'. ψιδ'. ψιέ. ψις'. ψιζ'. ψιή. ψιθ'. ψκ'.) Ἄρα Ο. Ε. Δ.

## Σχόλιον.

§. ψκζ'. Παραπλησία δὲ ἐστὶ καὶ ἡ Ἀττικοῦ τοῦ Πλατωνικοῦ κατασκευή. (1) Ταῦτα γὰρ ἅπας τις δοκεῖ συνιέναι τῆς ψυχῆς ὄντα, τὸ βουλεύεσθαι, καὶ σκοπεῖσθαι, καὶ „ καθ' ὃν δήποτε τρόπον διανοεῖσθαι. (§. χξή. κξ'.) ὅταν γὰρ ἴδωμεν τὸ σῶμα καὶ τὰς τούτου δυνάμεις, (§. χή. „ χυά. χυβ'. χυδ'. χυέ. χυς'. χυζ'. χυή.) καὶ „ ἐνθυμηθῶμεν δὲ τὰς τοιαύτας ἐνεργείας, ὡς οὐ σώματος „ οὔσας

(1) Ἐν τῷ πρὸς Ἀριστοτέλην Συγγράμματι παρ' Εὐσεβ. Εὐαγγελ. Προπαρ. Βιβλ. ιέ. Κεφ. θ'.

,, οὖσας (§. χυθ΄. ψ΄. κζ΄.) δίδομεν εἶναί τι ἐν ἡμῖν ἕ-
,, τερον τὸ βουλευόμενον. (§. ψκϛ΄.) Τούτων μὲν οὖν ἑκά-
τερον, δι' ἀμφοτέρων τῶν ἀνωτέρω εἰς τόδε ἐπεραίνετο κεφα-
λαίων. Καὶ κεῖται ἄρα τὸ ἀκόλουθον λαμπρῶς δεδειγμένον
τῆς ψυχῆς τὸ ἀσώματον. Οὐχ ἄλλως δὲ οὐδ' ὁ Λογγῖνος
τὴν περὶ τοῦ προκειμένου δεῖξιν δεδιηνυκὼς φαίνεται. (1)
,, Τῶν γὰρ περὶ ψυχὴν (φησὶν) ἴχνος οὐδὲν οὐδὲ τεκμή-
,, ριον, ἐν τοῖς σώμασιν εὑρίσκεται. Κἂν εἰ φιλοτιμοῖτο
,, τις ὡς Ἐπίκουρος καὶ Χρύσιππος ἅπαντα λίθον κινεῖν,
,, καὶ πᾶσαν ἐρευνᾷν δύναμιν σώματος εἰς γένεσιν τῶν περὶ
,, ψυχῆς πράξεων. Τί γὰρ ἡ τοῦ πνεύματος ἡμῖν λεπτό-
,, της πρὸ ἔργου γένοιτ' ἄν, εἰς φαντασίας, καὶ λογισμούς;
,, τί δὲ τῶν ἀτόμων σχήματα τοσαύτην παρὰ τὰ ἄλλα ἔ-
,, χει δύναμιν, καὶ ῥοπήν, ὥστε φρόνησιν γεννᾷν, ὅταν εἰς
,, ἑτέρου πλάσιν ἐγκαταμιχθῇ σώματος· οἶμαι δ' οὖν, ὡς
,, οὐδ' εἰ τῶν Ἡφαίστου τις ἂν τύχοι τριπόδων, καὶ θεραπαι-
,, νῶν (ὧν φησὶν Ὅμηρος τοὺς μὲν αὐτομάτους εἰς τὸν ἀγῶ-
,, να χωρεῖν, τὰς δὲ συνεργάζεσθαι τῷ δεσπότῃ, καὶ μηδε-
,, νὸς οἵων οἱ ζῶντες ἔχουσι πλεονεκτημάτων ἀπολείπεσθαι,
,, μήτιγε δὴ τῶν ἐκ ταυτομάτου ψηγμάτων.) Καὶ αὖ τοῖς
,, ἐπὶ τῶν αἰγιαλῶν προσέοικε λίθοις εἰς τὸ δύνασθαί τι
,, περιττότερον ποιεῖν πρὸς αἴσθησιν. Ζήνωνι γὰρ καὶ Κλεάν-
,, θει νεμεσήσειέ τις ἂν εἰκότως, οὕτω σφόδρα ὑβριστικῶς
,, περὶ αὐτῆς διαλεχθεῖσι, καὶ ταυτὸν ἀμφοῖν τοῦ στερεοῦ σώ-
,, ματος εἶναι τὴν ψυχὴν ἀναθυμίασιν, φήσασι. Τί γὰρ,
,, ὦ πρὸς Θεῶν! κοινὸν ὅλως ἀναθυμιάσει καὶ ψυχῇ; Πῶς
,, δ' ἐγχωρεῖ νομίσαντας τούτῳ προσεοικέναι τήν θ' ἡμετέ-
,, ραν, καὶ τὴν τῶν ἄλλων ζώων οὐσίαν, τοῦτο μὲν φαντα-
,, σίας καὶ μνήμας, οἵας τε εἶναι σώζειν διαρκεῖς, τοῦτο δὲ
,, ὁρμὰς καὶ βουλήσεις τῶν λυσιτελούντων εἰς συνέσιν πραγ-
,, μάτων; εἶτ' ἄρα καὶ τοὺς Θεούς, καὶ τὸν διὰ πάντων παρή-
,, κοντα ὁμοίως ἐπιγείων τε καὶ οὐρανίων, εἰς ἀναθυμίασιν
,, καὶ καπνόν, καὶ τοιαύτην φλυαρίαν καταθήσομεν; Καὶ
ταῦ-

(1) Λογγῖν. πρὸς τὴν τῶν Στωϊκ. Περὶ Ψυχ. δόξαν.



ταῦτα μὲν (τὴν τὰ περὶ τῶν ἄλλων ζώων λεγόμενα ἐξέ-
λης περὶ ὧν ὕστερον.) οὕτω σύμφωνα τοῖς παρ' ἡμῶν. Ἐ-
πεὶ δὲ πολλοὶ καὶ ἄλλοι φέρονται τῶν περὶ τὸ αὐτὸ ἐσπου-
δακότων λόγοι, οἷς τὸ ἀσώματον τῆς ψυχῆς θαυμασίως
κρατύνεται, οἱ μὲν τοῖς ἀνωτέρω ὑφ' ἡμῶν ἐπενεχθεῖσι
προσεοικότες, οἱ δὲ καὶ ἐξ ἄλλων ἀρχῶν λαμβανόμενοι, πρὸ ἔρ-
γου ἂν οἶμαι γένοιτο παραθέσθαι καὶ τούτους, ὡς ἂν ἀσφαλέ-
στερον κραταιωθῇ δόγμα τὸ πρὸ παντὸς ἄλλου ἡμῖν περι-
σπουδαστότατον.

Α΄. Οὗν ἡγεμὼν οἷον τοῦ λόγου παρείτω ὁ Δαιμόνιος Πλά-
των, παρ' ᾧ ἡ μὲν ψυχὴ ἀειδής, τὸ δὲ σῶμα ὁρατόν. (1)
Καὶ ἡ μὲν προσχρωμένη τῷ σώματι, τὸ δὲ ὡς ὄργανον ᾧ
αὐτὴ κέχρηται. Καὶ ἡ μὲν ἡγεμονεύουσά τε καὶ κρατοῦσα, τὸ
δὲ ἀρχόμενον, καὶ ὑπείκειν ταχθέν. Καὶ ἡ μὲν ὁ ἄρχων
ὁ τῆς ἐν ἡμῖν ξυνωρίδος, θυμοῦ δηλ. καὶ ὀρέξεως, ἡνιο-
χῶν, τὸ δὲ τὸ ἡνιοχούμενον ὂν, καὶ ἀγόμενον. Καὶ ἡ μὲν
αὐτοκίνητος, καὶ κινοῦσα (2), τὸ δὲ κινούμενον, καὶ παῦλαν ἔ-
χον κινήσεως. Διὰ γὰρ τούτων ἁπάντων οὐσιωδεστάτην οὖσαν
τὴν μεταξὺ ψυχῆς τε καὶ σώματος διαφορὰν εἶναι σαφῶς ἀ-
ποδείκνυσιν. Οὐχ ἥκιστα δὲ φύσει τε καὶ οὐσίᾳ ἀλλοτριωτάτω
ὄντε παρίστησι, καὶ ἐξ ἧς ἔχετον πρὸς ἄλληλα σφοδρᾶς δια-
μάχης. Οὐσίᾳ μὲν γὰρ τῇ αὐτῇ κατὰ τὸ αὐτὸ τἀναντία προ-
σεῖναι (§. λδ΄.) ἀδύνατον. Συμβαίνειν δ' ἐν σφίσιν αὐ-
τοῖς ἐναντιώσεις τε καὶ διαμάχας, οἷον ἐξ ἀντιπαρατάξεως,
συμβολῆς πάνυ καρτερᾶς συῤῥηγνυμένης, ψυχῆς μεταξὺ καὶ
σώματος, παντίπου προδηλότατον (§. χπϛ΄. χπζ΄.).
Ἀλλ' ἀκουστέον τοῦ Πλατωνικοῦ Σωκράτους (3) πρὸς Σιμμίαν
βραχύτι δεῖγμα τῆς τοιαύτης συμβολῆς διαγράφοντος· ,, τί
,, δαί; ἦ δ' ὅς (Σωκράτ.) τῶν ἐν ἀνθρώπῳ πάντων ἔσθ' ὅ-
,, τι ἄλλο λέγεις ἄρχειν, ἢ ψυχὴν, ἄλλως τε καὶ φρόνιμον;
,, οὐκ ἔγωγε. Πότερον συγχωροῦσαν τοῖς κατὰ τὸ σῶμα πά-
,, θε-

(1) Ἐν Φαίδωνι.
(2) Ἐν Φαίδρῳ.
(3) Πλάτ. ἐν Φαίδωνι.

,, θεσιν, ἢ καὶ ἐναντιουμένην τοῖς παθήμασι; λέγω δὲ τὸ
,, τοιόνδε· οἷον εἰ καύματος ἐνόντος καὶ δίψους, ἐπὶ τοὐναν-
,, τίον ἕλκειν, τὸ μὴ πίνειν, καὶ πείνης ἐνούσης ἐπὶ τὸ μὴ
,, ἐσθίειν, καὶ ἄλλα μυρία ὁρῶμεν ἐναντιουμένην τὴν ψυ-
,, χὴν, τοῖς κατὰ τὸ σῶμα, ἢ οὔ; Πάνυ μὲν οὖν..... Τί
,, οὖν οὐ πᾶν τοὐναντίον φαίνεται ἐργαζομένη, ἡγεμονεύου-
,, σά τε ἐκείνων πάντων, ἐξ ὧν φησίτις αὐτὴν εἶναι, καὶ
,, ἐναντιουμένη ὀλίγου πάντα διὰ παντὸς τοῦ βίου, καὶ δεσπό-
,, ζουσα πάντας τρόπους· τὰ μὲν χαλεπώτερον κολάζουσα,
,, καὶ μετ᾽ ἀλγηδόνων, τά τε κατὰ τὴν γυμναστικὴν, καὶ τὴν
,, ἰατρικήν· τὰ δὲ πρᾳότερον. Καὶ τὰ μὲν ἀπειλοῦσα, τὰ
,, δὲ νουθετοῦσα, ταῖς ἐπιθυμίαις, καὶ ὀργαῖς, καὶ φόβοις,
,, ὡς ἄλλη οὖσα, ἄλλῳ πράγματι διαλεγομένη· οἷόν που καὶ
,, Ὅμηρος ἐν Ὀδυσσείᾳ πεποίηκεν, οὗ λέγει τὸν Ὀδυσσέα

,, Στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ,
,, Τέτλαθι δὴ κραδίη, καὶ κύντερον ἄλλο ποτ᾽ ἔτλης.

,, Ἆρ᾽ οἴει αὐτὸν ταῦτα ποιῆσαι, διανοούμενον ὡς ἁρμονίας
,, αὐτῆς οὔσης, καὶ οἵας ἄγεσθαι ὑπὸ τῶν τοῦ σώματος πα-
,, θημάτων, ἀλλ᾽ οὐχὶ ἄγειν τε ταῦτα καὶ δεσπόζειν, καὶ οὔσης
,, αὐτῆς πολὺ θειοτέρου τινὸς πράγματος, ἢ καθ᾽ ἁρμο-
,, νίαν; Κράτιστος ἐμοὶ δοκεῖν λόγος εἰς ἀντιδιαστολὴν ψυ-
χῆς τε καὶ σώματος οὗτος, καὶ οἷος Ἐπικούρους ἄγξαι πλεῖν ἢ
τετταράκοντα.

Β'. Ξενοκράτης παρὰ Νεμεσίῳ (1) οὕτω συνῆγε τῆς ψυ-
χῆς τὸ ἀσώματον. ,, Ἡ ψυχὴ εἰ μὲν τρέφεται, ὑπὸ ἀσω-
,, μάτου τρέφεται· τὰ γὰρ μαθήματα τρέφει αὐτὴν, οὐδὲν
,, δὲ σῶμα ὑπὸ ἀσωμάτου τρέφεται· οὐκ ἄρα σῶμα ἡ ψυ-
,, χή. Εἰ δὲ μὴ τρέφεται, πᾶν δὲ σῶμα ζῶον τρέφεται,
,, οὐ σῶμα ἡ ψυχή. Τί δ᾽ εἴτις εἴποι, ὑπὲρ τοῦ Δημοκρί-
του ἀπολογούμενος, ὅτι τρέφεται μὲν, οὐχ ὑπὸ ἀσωμάτου
,, δὲ, ὑπὸ δὲ τῶν θύραθεν ἐπεισιόντων ἀτόμων ἐν τῷ ἀ-
,, ναπνεῖν (2); Ἢ ὅτι ὀργανικὸν οὕτω σῶμα ὑπάρχουσα,
( οὐδὲ

(1) Περὶ Ἀνθρώπου. Κεφ. β'. Περὶ Ψυχῆς.
(2) Ἀριστ. Ἐν Α'. Περὶ Ψυχῆς.



( οὐδὲ γὰρ ἐν ἁπλῇ προσθέσει τὰ τῆς τροφῆς. ) καὶ ἐμψυ-
χόντι οὖσα, οὐδὲ ψυχὴ ἔσται.

Γ'. Ἀμμωνίου δὲ καὶ Νουμηνίου τοῦ Πυθαγορικοῦ λόγος, (1)
,, ὅτι τὰ σώματα τρεπτὰ καὶ σκεδαστὰ, καὶ τοῦ συνέχοντος
,, δεόμενα, καὶ συνάγοντος, καὶ ὥσπερ συσφίγγοντος, καὶ
,, συγκροτοῦντος αὐτὰ, ὅπερ ψυχὴν λέγομεν. Εἰ τοίνυν
,, σῶμα ἐστὶν ἡ ψυχὴ οἱονδήποτε εἰ καὶ λεπτομερέστατον, τί
,, πάλιν ἐστὶ τὸ συνέχον ἐκείνην; Καὶ οὕτως εἰς ἄπειρον,
,, ἕως ἂν καταντήσωμεν εἰς ἀσώματον. Τοῦτον ὡς ἐκ τοῦ
Ἀμμωνίου (2) προχειρισάμενος ὁ Νεώτερος Γενουήνσιος (3)
ἀκαταμάχητόν τινα ἔκρινε τὸν λόγον, καὶ argumentum il-
lud, in primis egregium ἀποκαλέσαι, si quid sentit, εἴτι
συνίησι ( φησὶν ) ἐδικαίωσεν. Ἐμοὶ δὲ ( εἴτι συνορᾶν καὶ
αὐτὸς ἔχω ) εἰ καὶ τοῖς ἀμφὶ τὸν Πλάτωνα, πρὸς Ἐπικου-
ρείους τε καὶ Στωϊκοὺς προβαλλόμενον, οὐ πάντη φαῦλον ἔοι-
κεν ὂν, ἐν στόματί γε μὴν Περιπατητικοῦ τὴν αἵρεσιν ἀν-
δρὸς κατὰ τοῦ ἀπὸ μόνης τῆς ψυχῆς αἴροντος τὸ ἀσώματον,
ἢ καὶ ἄλλως μὴ τὴν καθόλου ὕλην δογματίζοντος, ἔσον ἀ-
σθενὲς δοκεῖ τουτὶ τοὐπιχειρημάτιον ὀκνῶ καὶ λέγειν· δοκεῖ γὰρ
οὕτως διάλυτον, ὡς καὶ ἄψυχον ἂν αὐτὸ πάντη εἴποιμι οὐκ
ἀπεικότως, εἴπερ ἀπουσία ψυχῆς κατ᾽ αὐτὸ λύσεως αἴτιον.
τί γὰρ; οὐκ ἐντεῦθεν πρὸς τῆς ἀληθείας αὐτῆς, σίδηρός τε,
καὶ δρῦς, καὶ ὅσα τοιαῦτα, κρατιστέρας ἂν διμοιροίη ψυχῆς,
ἤπερ ἄνθρωπος; Καὶ μὴν καὶ Ἀριστοτέλης αὐτὸς ἐρεῖς,
χρήσασθαι τῷ λόγῳ τούτῳ οὐκ ἀπηξίωσε. Πάνυ μὲν οὖν.
Ἀλλὰ πρὸς τοὺς ἐκ τῶν στοιχείων τὴν ψυχὴν συγκροτοῦντας,
διαπορήσας τί δήποτε ἐστὶ τὸ ἑνοποιοῦν αὐτά· ,, ὕλῃ γὰρ
,, φησὶν ἔοικε τάγε στοιχεῖα εἶναι. Κυριώτατον γὰρ ἐκεῖνο
,, τὸ συνέχον, ὅ,τίποτε ἐστί. (4) Ἐκ τούτου δὲ τί; ὅτι ἡ
ψυχὴ κρείσσων εἰσβάλλει, τῶν συνεχομένων ὑπ᾽ αὐτῆς στοι-
χείων, καὶ ἀρχοειδέστερον, καὶ οὐκ ἐξ αὐτῶν, ὡς Ἐμπεδοκλῆς
ἐνό-

(1) Παρὰ Νεμεσίῳ ἐν τῷ περὶ ἀνθρώπου Κεφ. β'. Περὶ Ψυχῆς.
(2) Ἐν β'. κατὰ Ἐθνῶν Κεφ. ξε'.
(3) Ψυχολογ. Προτ. ιδ'. Σχόλ. ιγ'.
(4) Ἀριστοτέλης ἐν Α'. Περὶ Ψυχῆς.

ἐνόμιζον. οὐ μὴν δ' ἐντεῦθεν, καὶ τὴν ψυχὴν συνῆγον εἶναι ἀσώματον· ὁ γάρ τοι λόγος κοινὸς καὶ ἐπὶ παντὸς εἴδους, καί τοι σωματικοῦ ὁμολογουμένου. „ Καὶ γὰρ ἐν τοῖς ἐξ „ ὕλης καὶ εἴδους τὸ ἀρχοειδέστερον καὶ τῇ φύσει πρότερον, „ τὸ εἶδος ἐστίν. (1). Τὸ τοίνυν ἐπιχείρημα, τὸ ἐκ τῆς συμπήξεώς τε καὶ συγκείσεως τῶν σωμάτων ληφθὲν εἴτις ἀκριβῶς σκοποίη, ἐν τούτο καταναγκάζει ὁμολογεῖν τῷ παντὶ ἐνυφεστάναι οὐσίαν ἀσώματον, ἧς τῇ δυνάμει τὰ καθ' ἑαυτὰ σκεδαστὰ πεφυκότα σώματα, συσφίγγοιτο, καὶ συνέχοιτο. Ταύτῃ τοι καὶ Ἀριστοτέλει μὲν ἡ φύσις εἰσήγετο, ἡ ἐν ἑκάστῳ κινήσεώς τε καὶ ἠρεμίας ἀρχή. Πλάτωνι δὲ ἡ καθόλου ψυχή, καὶ ὑλαρχικόντι πνεῦμα τοῖς περὶ Νεύθωνα, καὶ ἄλλοις ἄλλο τί ἐνοπιὸν τῆς ὕλης γινόμενον, καὶ συνεκτικόν, εἰμὴ καθ' ἑαυτὸ τοιοῦτον, ὑπὸ γοῦν τοῦ πρωτίστου καὶ ὑπερτάτου τῶν ὄντων, αὐτό τε συνεχόμενον, καὶ τ' ἄλλα συνέχειν ἐνδυναμούμενον. Καὶ μόνος ἄγχεται ἄρα τῷ προτεθέντι λόγῳ ὁ σωματικὰ τὰ πάντα τιθέμενος, οὐχ ὁ μόνην τὴν ψυχὴν σῶμα εἶναι ἀποφαινόμενος. Ὁ μὲν γὰρ κἂν ἐμμέσως, λόγον ἀποδοίη τινὰ τῆς τῶν σκεδαστῶν φύσει σωμάτων συστάσεως· ὁ δὲ ἔτι ἂν καὶ φαίη εἰς σῶμα πάλιν ἀποτελευτῶν τὴν ἀπορίαν οὐ διαφεύξεται. „ Εἰ γὰρ λέγοι, (2) „ καθάπερ οἱ Στωϊκοὶ τονικήν τινα εἶναι κίνησιν περὶ τὰ „ σώματα, εἰς τὸ εἴσω ἅμα κινουμένην, καὶ εἰς τὸ ἔξω, „ καὶ τὴν μὲν εἰς τὸ ἔξω μεγεθῶν, καὶ ποιοτήτων ἀποτε„ λεστικὴν εἶναι· τὴν δὲ εἰς τὸ εἴσω ἑνώσεως, καὶ οὐσίας. „ Ἐρωτήσομεν αὐτούς, ἐπειδὴ πᾶσα κίνησις ἀπό τινος ἐστὶ „ δυνάμεως, τίς ἡ δύναμις αὕτη, καὶ τίνι οὐσίωται; εἰ „ μὲν οὖν, καὶ ἡ δύναμις αὕτη ὕλη τις ἐστὶ, τοῖς αὐτοῖς πά„ λιν χρησόμεθα λόγοις. Εἰ δὲ οὐχ ὕλη ἀλλὰ ἔνυλον, ἕ„ τερον δὲ ἐστὶ τὸ ἔνυλον παρὰ τὴν ὕλην ( τὸ γὰρ μετέχον „ ὕλης ἔνυλον λέγεται ) τί ποτε ἄρα ἐστὶ τὸ μετέχον τῆς „ ὕλης· πότερον ὕλη καὶ αὐτὰ, ἢ ἄϋλον; Εἰ μὲν οὖν ὕλη „ πῶς

(1) Φιλόπον. Αὐτ.
(2) Περὶ Ἀνθρώπου ὁ Νεμέσ. Κεφ. β'. Περὶ Ψυχῆς.



„ πῶς ἔνυλον, καὶ οὐχ ὕλη; Εἰ δὲ οὐχ ὕλη, ἄϋλον ἄρα. „ Εἰ δὲ ἄϋλον, οὐ σῶμα. Πᾶν γὰρ σῶμα ἔνυλον. Ἐξ ὧν δὴ φανερόν, ὡς ἡ ἑλκυστικὴ καὶ συνδετικὴ δύναμις, ἃς οἱ μὲν περὶ Νεύθωνα, τῷ διὰ τῆς ὕλης ἐκείνῳ Δεσπόζοντι Πνεύματι· ( §. χξγ'. ) Καμπανέλλας δὲ τῷ καθόλου διαστήματι, φέροντες ἐναπέδωκαν, πρόσθες δὲ εἰ δοκεῖ, καὶ τὴν ὁρμὴν ἣν Δημόκριτος ἐνετίθει ταῖς ἀτόμοις, καὶ τὴν ἣν τοῖς στοιχείοις Ἐμπεδοκλῆς ἐνῆπτε φιλίαν, ἐξ ὧν τὰ σωματικὰ πάντα συγκρίνεται, δυνάμεις εἰσὶν οὐσίας πολλῷ τῆς ὕλης τιμιωτέρας, καὶ κρείττονος.

Δ'. Ἐκ τῶν αὐτῶν (1) πᾶν σῶμα ἢ ἔξωθεν κινεῖται, ἢ „ ἔνδοθεν. Ἀλλ' εἰ μὲν ἔξωθεν ἄψυχον ἔσται. Εἰ δὲ ἔν„ δοθεν, ἔμψυχον. Εἰ δὲ σῶμα ἡ ψυχή, εἰ μὲν ἔξωθεν „ κινοῖτο, ἄψυχος ἐστίν· εἰ δὲ ἔνδοθεν, ἔμψυχος. Ἄτο„ πον δὲ καὶ τὸ ἔμψυχον, καὶ τὸ ἄψυχον λέγειν τὴν ψυ„ χήν, οὐκ ἄρα σῶμα ἡ ψυχή· ὡς εἰ πρὸς τοῦτο τέως καταφυγόντες εἴποιεν, ὅτι οὐδέτερον, οὐδ' ἔμψυχον δηλονότι, οὐδ' ἄψυχον, ἑαυτοῖς αὖθις προσαπεσοῦνται, τῇ τῶν εἰδῶν ὑπεξαιρέσει τοῦ καὶ τὸ σῶμα μόνους τὴν ψυχὴν ἀποκλείοντες, καὶ τὸ κατ' αὐτοὺς σῶμα, ἀσώματον ἀποφαίνοντες.

Ε'. Οὐκ ἀγεννῆ δὲ οὐδὲ τὰ τοῦ Πλωτίνου. „ Ἐπεὶ γὰρ „ ζωὴ ( φησὶν ) (2) ψυχῇ πάρεστιν ἐξ ἀνάγκης ( εἰ διὰ ταύτην, καὶ τῷ ἐμψύχῳ τοῦ ζῆν μέτεστιν ) ἀνάγκη τοῦτο τὸ „ σῶμα τὴν ψυχήν, εἰ μὲν ἐκ δύω σωμάτων, ἢ πλειό„ νων εἴη, ἤτοι ἑκάτερον αὐτῶν, ἢ ἕκαστον, ζωὴν σύμφυτον „ ἔχειν· ἢ τὸ μὲν ἔχειν, τὸ δὲ μή· ἢ μηδέτερον ἔχειν. „ Εἰ μὲν δὴ ἑνὶ αὐτῶν προσείη τὸ ζῆν, αὐτὸ τοῦτο ἂν εἴη „ ψυχή. Τί οὖν ἂν εἴη σῶμα ζωὴν παρ' αὐτοῦ ἔχον; Πῦρ „ γάρ, καὶ ἀήρ, καὶ ὕδωρ, καὶ γῆ ἄψυχα παρ' αὐτῶν, καὶ ὅ„ τῳ πάρεστι τούτων ψυχή, τοῦτο ἐπακτῷ κέχρηται τῇ ζωῇ· „ ἄλλα δὲ παρὰ ταῦτα σώματα οὐκ ἔστι. Καὶ οἷς δὲ δοκεῖ „ εἶναι στοιχεῖα τούτων ἕτερα σώματα, οὐ ψυχαὶ ἐλέχθη„ σαν

(1) Νεμέσ. Περὶ ἀνθρώπου Κεφ. β'. Περὶ Ψυχῆς.
(2) Πλωτῖν. Περὶ Ψυχ. παρ' Εὐσεβ.

„ σαν εἶναι, οὐδὲ ζωὴν ἔχοντα. Εἰ δὲ μηδενὸς αὐτῶν ζωὴν
„ ἔχοντος, ἡ σύνοδος πεποίηκε ζωὴν, ἄτοπον. Εἰ δὲ ἕ-
„ καστον ζωὴν ἔχει, καὶ ἓν ἀρκεῖ· μᾶλλον δὲ ἀδύνατον συμ-
„ φόρησιν σωμάτων ζωὴν ἐργάζεσθαι. Καὶ νοῦν γεννᾶν τὰ
„ ἀνόητα. Σαφὴς δὲ ἔσαι ὁ τοῦ λόγου τόνος, τὴν ζωὴν, ἥ-
τις ἐστὶν ἐπισκεψαμένοις. Πάλαι μὲν γὰρ ὑπὸ τοῦ Πλάτωνος
„ ἅπασα ζωὴ, κίνησις ὑπάρχουσα δέδεικται. (1) Κίνησις
δὲ οὐκ ἐπακτὴ, ἐκ δὲ ἀρχῆς τινος ἐνδογενοῦς ἐνοῦσα δήπου
„ τῷ ἔχοντι· ζωὴν γὰρ λέγομεν (ὡς Ἀριστοτέλης (2) τὴν
„ δι' αὐτοῦ τροφὴν, καὶ αὔξησιν, καὶ φθίσιν· ὥστε καὶ εἴτις
ἐστὶ τινὶ τῶν σωμάτων ζωὴ σύμφυτος, ἔσαι πάντως σω-
ματική τις κίνησις ἡ αὐτὴ, ἐμφύτως ἐνοῦσα τῷ σώματι.
Οὐδὲν δὲ σῶμα τοιοῦτον ἐν τῷ παντὶ, ὁ καὶ τὴν ἀδρανείαν
τῆς ὕλης νόμος (§. χιη.) εἰσάγειν ἐνδίδωσιν· οὐδὲν ἄ-
ρα ἂν εἴη σῶμα, τὸ παρ' ἑαυτοῦ ζωὴν ἔχον. Εἰ δὲ τοῦτο,
οὐδὲ παρεκτικὸν ζωῆς δηλονότι τῶν σωμάτων οὐδὲν, ἧς αὐτὸ
φύσει ἠμοίρησεν.

ς'. Ἔτι δὲ καὶ ἐκ τῶνδε (3) οὐχ ἧττον φαίνεται ἀδύνατον
„ ὂν τὴν ψυχὴν εἶναι σῶμα ὁτιοῦν. Ἢ γὰρ θερμόν ἐστιν,
„ ἢ ψυχρὸν, ἢ σκληρὸν, ἢ μαλακὸν, ὑγρόν τε, ἢ πεπη-
„ γὸς, μέλαν τε, ἢ λευκόν. Καὶ πάντα ὅσα ποιότητες σω-
„ μάτων ἄλλαι ἐν ἄλλοις. Καὶ εἰ μὲν θερμὸν, μόνον θερ-
„ μαίνει· ψυχρὸν δὲ μόνον ψύξει. Καὶ κοῦφα ποιήσει τὸ
„ κοῦφον προσγινόμενον, καὶ παρόν. Καὶ βαρυνεῖ τὸ βαρὺ,
„ καὶ μελανεῖ τὸ μέλαν, καὶ τὸ λευκὸν, λευκὸν ποιήσει. Οὐ
„ γὰρ πυρὸς τὸ ψύχειν, οὐδὲ τοῦ ψυχροῦ θερμὰ ποιεῖν. Ἀλ-
„ λ' ἥγε ψυχὴ καὶ ἐν ἄλλοις ζώοις ἄλλα τε, καὶ ἄλλα, καὶ
„ ἐν τῷ αὐτῷ δὲ, τὰ ἐναντία, τὰ μὲν πηγνῦσα, τὰ δὲ
„ χέουσα, καὶ τὰ μὲν πυκνὰ, τὰ δὲ ἀραιὰ, μέλανα, λευ-
„ κὰ, κοῦφα, βαρέα ποιοῦσα. Καί τοι ἓν ἔδει ποιεῖν, κα-
„ τὰ τὴν τοῦ σώματος ποιότητά τε, καὶ χροίαν, νῦν δὲ πολ-
λά.

(1) Πρόκλ. εἰς τὴν Θεολογ. τοῦ Πλάτων. Βιβλ. β'. Κεφ. λή.
(2) Ἐν Β'. Περὶ Ψυχῆς.
(3) Πλωτῖν. Αὐτ.



„ λά. Ταῦτα γοῦν τὰ περὶ τῶν ποιοτήτων τῷ Πλωτίνῳ
λεγόμενα, ὡς ἀρχαϊκά τινα, καὶ ἕωλα δοκοῦντα, οἱ τῷ νεα-
ρῷ τῷδε τοῦ φιλοσοφεῖν εἴδει χαίροντες, ἴσως ὑπερφρονή-
σουσι, κακῶς ποιήσοντες. Ὅπως γὰρ ἂν, καὶ ἐξ ὧν τινων-
οῦν δυνάμεων, τὰς τοιαύτας ποιότητας τοῖς σώμασιν ἐγ-
γίνεσθαι φαίημεν, οὐ τοῦτο πάντως τὴν καθ' ἓν, καὶ ταὐτὸ
σῶμα, τῶν ἐκ διαμέτρου ἀντικειμένων δυνάμεων, ἐν διαθέ-
σεσι καὶ κινήσεσι σωματικαῖς ταῖς ἐναντιωτάταις τὰς ἑαυ-
τῶν ἐνεργείας περαινουσῶν, συμφόρησιν ἀδύνατον (§. χιβ'.
χιγ'.) ὁμολογῆσαι καταναγκαζόμεθα.

Ζ'. Ἔτι (1) εἰ ἡ ψυχὴ σῶμα οὖσα αὔξοι, ἀνάγκη καὶ
„ αὐτὴν αὔξεσθαι προσθήκῃ δηλονότι ὁμοίου σώματος, εἰ
„ μέλλοι εἰς ἴσον ἰέναι τῷ αὐξομένῳ ὑπ' αὐτῆς. Καὶ ἡ
„ ψυχὴ ἔσαι τὸ προστιθέμενον, ἢ ἄψυχον σῶμα. Καὶ εἰ
„ μὲν ψυχὴ, πόθεν; καὶ πῶς εἰσιούσης; καὶ πῶς προστιθε-
„ μένης; εἰ δὲ ἄψυχον τὸ προστιθέμενον, πῶς τοῦτο ψυχώ-
„ σεται; καὶ τῷ πρόσθεν ὁμογνωμονήσει; καὶ ἓν ἔσαι; καὶ
„ τῶν αὐτῶν δοξῶν τῇ πρώτῃ μεταλήψεται; Ἀλλ' οὐχ ὥ-
„ σπερ ξένη ψυχὴ αὕτη, ἐν ἀγνοίᾳ ἔσαι, ὧν ἡ ἑτέρα οἶ-
„ δε; Καὶ ὥσπερ ὁ ἄλλος ὄγκος ἡμῶν, τὸ μὲν ἀπορρεύ-
„ σεται αὐτῷ, τὸ δέ τι προσελεύσεται, οὐδὲν δὲ ἔσαι τὸ
„ αὐτό· πῶς οὖν ἡμῖν αἱ μνῆμαι, πῶς δὲ ἡ γνῶσις οἰ-
„ κείων, οὐδέποτε τῇ αὐτῇ ψυχῇ χρωμένων; Ταῦτα δὴ
μάλιστα δύναμιν ἔχει πρὸς τοὺς ἀμφὶ τὸν Δημόκριτον προ-
τεινόμενα, καθ' οὓς (ἅπερ Ἀριστοτέλης (2) διέξεισιν) τὰ
σφαιροειδῆ τῶν ἀτόμων ψυχὴν οἰομένους, ἐπεὶ πολλὰ τού-
των διὰ τὸ εἰς κίνησιν ἕτοιμον, καὶ τοῦ σχήματος τὸ εὐόλι-
σθον, ἐκθλίβεται τοῦ ζώου, καὶ ἐκπυρηνίζεται, βοήθειαν
„ λέγεται γίνεσθαι θύραθεν ἐπεισιόντων ἄλλων τοιούτων
„ ἐν τῷ ἀναπνεῖν. Πῶς οὖν ἡ νέηλυς αὕτη ψυχὴ, εἰδέναι
ἔχει, ἅττα ᾔδει, ἡ πρὶν ἐνοῦσα τῷ σώματι; Πῶς δὲ ἐν
ἀκαρεῖ διδασκομένη ἐγκρατὴς γίγνεται, ἡ νεωτέρα καὶ πρόσ-
φα-

(1) Πλωτῖν. Αὐτ.
(2) Ἐν Α'. Περὶ Ψυχῆς.

φατος, ὧν διὰ πολλοῦ χρόνου, καὶ καμάτου συχνοῦ, καὶ μόλις, ἡ πρεσβυτέρα τὴν γνῶσιν συνείλοχε; βαβαὶ τῆς ὀξυμαθείας!

Η΄. Ἔτι (1) τί δὲ φήσουσιν οἱ τὴν ψυχὴν σῶμα εἶναι λέγοντες, ὑπὲρ ἑκάστου μέρους τῆς ψυχῆς, τῆς ἐν τῷ αὐτῷ σώματι, πότερον ἕκαστον ψυχὴ οἵα ἐστί, καὶ ἡ ὅλη, καὶ πάλιν τοῦ μέρους τὸ μέρος; οὐδὲν ἄρα τὸ μέγεθος συνεβάλλετο τῇ οὐσίᾳ αὐτῆς. (καίτοι ἔδει γε ποσοῦ τινος ὄντος.) Καὶ ὅλον πολλαχῇ, ὅπερ σώματι παρεῖναι ἀδύνατον, ἐν πλείοσι τὸ αὐτὸ ὅλον εἶναι, καὶ τὸ μέρος, ὅπερ τὸ ὅλον ὑπάρχειν. Εἰ δὲ ἕκαστον τῶν μερῶν οὐ ψυχὴν φήσουσιν, ἐξ ἀψύχων ψυχὴ αὐτοῖς ὑπάρξει. Συνελόντι γοῦν φάναι, ἐν μιᾷ τῷ ἀριθμῷ ψυχῇ, ἤτοι πολυψυχίαν περιττῶς, ἢ κομιδῇ ἀψυχίαν εἰσάξουσιν ἀλόγως. Καὶ ἑκατέρωθεν οὕτως ἔνθεν μὲν ἐκ τοῦ περιττοῦ, ἔνθεν δὲ ἐκ τοῦ ἐλλείποντος εἰς ἄτοπα περιενεχθήσονται.

Θ΄. Εἴ τι μέλλοι αἰσθάνεσθαί τινος (2) ἓν αὐτὸ δεῖ εἶναι, καὶ τὸ αὐτὸ παντὸς ἀντιλαμβάνεσθαι..... οὐ γὰρ ἄλλο μὲν ῥινός, ἄλλο δὲ ὀφθαλμοῦ, ἀλλὰ ταυτὸν ὁμοῦ πάντων. Καὶ εἰ τὸ μὲν δι᾽ ὀμμάτων, τὸ δὲ δι᾽ ἀκοῆς, ἕν τι δεῖ εἶναι εἰς ὃ ἄμφω· ἢ πῶς ἂν εἴποι ὅτι ἕτερα ταῦτα, μὴ εἰς τὸ αὐτὸ ὁμοῦ τῶν αἰσθημάτων ἐλθόντων; Δεῖ τοίνυν τοῦτο ὥσπερ κέντρον εἶναι, γραμμὰς δὲ συμβαλλούσας ἐκ περιφερείας κύκλου, τὰς πανταχόθεν αἰσθήσεις πρὸς τοῦτο περαίνειν, καὶ τοιοῦτο τὸ ἀντιλαμβανόμενον εἶναι ἓν ὄντως...... Ἀλλ᾽ εἰ μὴ ἓν μεριστὸν δέ, ἅτε σῶμα, καὶ ἕκαστον δὲ τῶν μερῶν ἐκείνων τῆς ψυχῆς, ἄρα καὶ τοῖς μορίοις αὐτοῦ αἰσθήσεται, ἢ ἀναίσθητα τὰ μέρη τῶν μορίων ἔσται. Ἀλλὰ ἀδύνατον. Εἰ δὲ ὁτιοῦν παντὸς αἰσθήσεται, εἰς ἄπειρα διαιρεῖσθαι τοῦ μεγέθους πεφυκότος, ἀπείρους καὶ αἰσθήσεις καθ᾽ ἕκαστον αἰσθητὸν συμβήσεται γίγνεσθαι ἑκάστῳ· οἷον τοῦ αὐτοῦ ἀπείρους ἐν τῷ ἡγεμονοῦντι ἡμῶν εἰκόνας.

Ι΄. Ἔ-

(1) Πλωτῖν. ἔνθα ἀνωτ.
(2) Αὐτ. Αὐτ.



Ι΄. Ἔτι (1) ὅταν δάκτυλον λέγηται ἀλγεῖν ἄνθρωπος, ἡ μὲν ὀδύνη περὶ τὸν δάκτυλον δήπουθεν, ἡ δὲ αἴσθησις τοῦ ἀλγεῖν, δῆλον ὅτι ὁμολογήσουσιν ὡς περὶ τὸ ἡγεμονοῦν γίγνεται. Ἄλλου δὲ ὄντος τοῦ πονοῦντος μέρους, τοῦ πονήματος τὸ ἡγεμονοῦν αἰσθάνεται. Καὶ ὅλη ψυχὴ τὸ αὐτὸ πάσχει. Πῶς οὖν τοῦτο συμβαίνει; Διαδόσει φήσουσι· παθόντος μὲν α. τοῦ περὶ τὸν δάκτυλον ψυχικοῦ πνεύματος, μεταδόντος δὲ τῷ ἐφεξῆς, καὶ τούτου ἄλλῳ, ἕως οὗ πρὸς τὸ ἡγεμονοῦν ἀφίκοιτο. Ἀνάγκη τοίνυν, εἰ τὸ πρῶτον πόνου ᾔσθετο, ἄλλην τὴν αἴσθησιν τοῦ δευτέρου εἶναι, εἰ κατὰ διάδοσιν ἡ αἴσθησις, καὶ τοῦ τρίτου ἄλλην, καὶ πολλὰς αἰσθήσεις, καὶ ἀπείρους περὶ ἑνὸς ἀλγήματος γίνεσθαι. Καὶ τούτων ἁπασῶν τὸ ὕστερον τὸ ἡγεμονοῦν αἰσθάνεσθαι, καὶ τῆς ἑαυτοῦ παρὰ ταύτας· τὸ δὲ ἀληθὲς ἑκάστην ἐκείνων μὴ τοῦ ἐν τῷ δακτύλῳ ἀλγήματος. Ἀλλὰ τὴν ἐφεξῆς τῷ δακτύλῳ, ὅτι ὁ ταρσὸς ἀλγεῖ· τὴν δὲ τρίτην ὅτι ἄλλο τὸ πρὸς τὸ ἄνωθεν, καὶ πολλὰς εἶναι ἀλγηδόνας· τό,τε ἡγεμονοῦν μὴ τοῦ πρὸς τῷ δακτύλῳ ἀλγήματος αἰσθάνεσθαι, ἀλλὰ τοῦ πρὸς αὐτῷ, καὶ τοῦτο γιγνώσκειν μόνον, τὰ δ᾽ ἄλλα χαίρειν ἐᾶν, μὴ ἐπιστάμενον, ὅτι ἀλγεῖ ὁ δάκτυλος. Ἐπεὶ τοίνυν ἄτοπα ταῦτα, τοιοῦτο δεῖ τίθεσθαι τὸ αἰσθανόμενον „ οἷον πανταχοῦ αὐτὸ ἑαυτῷ τὸ αὐτὸ εἶναι· τοῦτο δὲ ἄλλῳ τινὶ τῶν ὄντων, ἢ σώματι ποιεῖν προσήκει.

ΙΑ΄. Ἔτι (2) οὐδὲ νοεῖν οἷόν τε εἰ σῶμα, ἡ ψυχὴ ὁτιοῦν εἴη. Εἰ γὰρ τὸ αἰσθάνεσθαί ἐστι τὸ σώματι προσχρωμένην τὴν ψυχὴν ἀντιλαμβάνεσθαι τῶν αἰσθητῶν, οὐκ ἂν εἴη καὶ τὸ νοεῖν τὸ διὰ σώματος καταλαμβάνειν· ἢ ταυτὸν ἔσται τῷ αἰσθάνεσθαι. Εἰ οὖν τὸ νοεῖν ἐστὶ τὸ ἄνευ σώματος ἀντιλαμβάνεσθαι, πολὺ πρότερον δεῖ μὴ σῶμα αὐτὸ τὸ νοῆσον εἶναι· ἔπειτα αἰσθητῶν μὲν ἡ αἴσθησις, νοητῶν δὲ ἡ νόησις. Εἰ δὲ μὴ βούλονται, ἀλλ᾽ οὖν ἔσονταί γε καὶ νοή-

„ τῶν

(1) Πλωτῖνος Αὐτ.
(2) Αὐτ. Αὐτ.

„τῶν νοήσεις, καὶ ἀμεγέθων ἀντιλήψεις. Πῶς οὖν μέγεθος ὄν, τὸ μὴ μέγεθος νοήσει; καὶ τὸ μεριστὸν, τὸ μὴ μεριστὸν νοήσει; ἢ μέρει τινὶ ἀμερεῖ αὐτοῦ; Εἰ δὲ τοῦτο, οὐ σῶμα ἔσται τὸ νοῆσον· οὐ γὰρ δὴ τοῦ ὅλου χρεία πρὸς τὸ θίγειν. Ἀρκεῖ γὰρ, καὶ ἑνί τι. Εἰ μὲν οὖν συγχωρήσονται τὰς πρώτας νοήσεις (ὅπερ ἀληθές ἐστιν·) εἶναι τῶν πάντη σώματος καθαρωτάτων, αὐτὸ ἕκαστον ἀνάγκη, καὶ τὸ νοοῦν σώματος καθαρὸν ὂν, ἢ γινόμενον γινώσκειν. Εἰ δὲ τῶν ἐν ὕλῃ εἰδῶν τὰς νοήσεις φήσουσιν εἶναι, ἀλλὰ χωριζομένων γε τῶν σωμάτων γίγνονται τοῦ νοῦ χωρίζοντος. Οὐ γὰρ δὴ μετὰ σαρκῶν, ἢ ὅλως ὕλης ὁ χωρισμὸς κύκλου, καὶ τριγώνου, καὶ γραμμῆς, καὶ σημείου. Δεῖ ἄρα καὶ ψυχὴν σώματος αὐτὴν ἐν τῷ τοιούτῳ χωρίσαι· δεῖ ἄρα μηδὲ αὐτὴν σῶμα εἶναι. Ἀμέγεθες δὲ οἶμαι καὶ τὸ καλὸν, καὶ τὸ δίκαιον. Καὶ ἡ τούτων ἄρα νόησις· ὥστε καὶ προσιόντα τῷ ἀμερεῖ αὐτῆς ὑποδέξεται. Καὶ ἐν αὐτῇ ἀμερεῖ κείσεται. Ὁ μὲν οὖν Πλωτῖνος, ἐν πολλοῖς ἄλλοις, οἷς παρίημι, ταῦτα.

ΙΒʹ. Ὁ δὲ δὴ Πρόκλος ὁ Διάδοχος γενναῖά τινα καὶ αὐτὸς, καὶ πάνυ νεανικὰ προχειρίζεται, καὶ κατ᾽ ἀκρίβειαν ἐπιστήμῃ πρέπουσαν συμπεραίνονται. „Πᾶν γὰρ φησὶ (1) πρὸς ἑαυτὸ ἐπιστρεπτικὸν ἀσώματόν ἐστιν· οὐδὲν γὰρ τῶν σωμάτων πρὸς ἑαυτὸ πέφυκεν ἐπιστρέφειν. Εἰ γὰρ τὸ ἐπιστρέφον πρός τι, συνάπτεται ἐκείνῳ, πρὸς ὃ ἐπιστρέφει, δῆλον δὴ ὅτι καὶ τὰ μέρη τοῦ σώματος πάντα πρὸς πάντα συνάψει, τοῦ πρὸς ἑαυτὸ ἐπιστραφέντος· τοῦτο γὰρ ἦν τὸ πρὸς ἑαυτὸ ἐπιστρέψαι, ὅταν ἓν γένηται ἄμφω, τό, τε ἐπιστραφὲν, καὶ πρὸς ὃ ἐπεστράφη. Ἀδύνατον δὲ ἐπὶ σωμάτων τοῦτο, καὶ ὅλως τῶν μεριστῶν πάντων. Οὐ γὰρ ὅλον ὅλῳ συνάπτεται αὐτῷ τὸ μεριστὸν, διὰ τὸν μερῶν χωρισμὸν ἄλλων ἀλλαχοῦ κειμένων, οὐδὲν ἄρα σῶμα πέφυκε πρὸς ἑαυτὸ ἐπιστρέφειν.

Ἐφεξῆς δὲ (2) καὶ τόδε κατασκευάζει. „Ὅτι πᾶν τὸ

πρὸς

(1) Ἐν Θεολογικαῖς Στοιχειώσ. Κεφ. ιέ.
(2) Πρόκλ. Αὐτ. Κεφ. ιϛʹ.



„πρὸς ἑαυτὸ ἐπιστρεπτικὸν, χωριστὴν οὐσίαν ἔχει παντὸς σώματος. Εἰ γὰρ ἀχώριστον εἴη σώματος οὑτινοσοῦν, οὐχ ἕξει τινὰ ἐνέργειαν σώματος χωριστήν. Ἀδύνατον γὰρ ἀχωρίστου τῆς οὐσίας σωμάτων οὔσης, τὴν ἀπὸ τῆς οὐσίας ἐνέργειαν εἶναι χωριστήν· ἔσται γὰρ οὕτως ἡ ἐνέργεια τῆς οὐσίας κρείττων· εἴπερ ἡ μὲν ἐπιδεὴς ἐστὶ σωμάτων, ἡ δὲ αὐτάρκης ἑαυτῆς οὖσα, καὶ οὐ σωμάτων δεομένη. Εἰ οὖν τι κατ᾽ οὐσίαν ἐστὶν ἀχώριστον, καὶ κατ᾽ ἐνέργειαν ὁμοίως, ἢ καὶ ἔτι μᾶλλον ἀχώριστον. Εἰ δὲ τοῦτο, οὐκ ἐπιστρέφει πρὸς ἑαυτό· τὸ γὰρ πρὸς ἑαυτὸ ἐπιστρέφον, ἄλλο ὂν σώματος, ἐνέργειαν ἔχει χωριζομένην σώματος, καὶ οὐ διὰ σώματος, οὐδὲ μετὰ σώματος. Εἴπερ ἥτε ἐνέργεια, καὶ πρὸς ὃ ἡ ἐνέργεια οὐδὲν δεῖται τοῦ σώματος· χωριστὸν ἄρα πάντη σωμάτων ἐστὶ τὸ πρὸς ἑαυτὸ ἐπιστρέφον.

Δείκνυσι δ᾽ ὁ αὐτὸς ἐν ἄλλοις, (1) ὅτι πᾶν τὸ ἑαυτοῦ γνωστικὸν, πρὸς ἑαυτὸ πάντη ἐπιστρεπτικόν ἐστιν. „Ὅτι μὲν γὰρ τῇ ἐνεργείᾳ πρὸς ἑαυτὸ ἐπιστρέφει γινῶσκον ἑαυτὸ, δῆλον· ἓν γάρ ἐστι τὸ γινῶσκον, καὶ γινωσκόμενον. Καὶ ἡ γνῶσις ἑαυτοῦ πρὸς ἑαυτὸ, ὡς γνωστόν· ὡς μὲν γινώσκοντος ἐνέργειά τις οὖσα, αὐτοῦ δὲ πρὸς αὐτὸ, διότι ἑαυτοῦ γνωστικόν ἐστι. Ἀλλὰ μὴν ὅτι καὶ τῇ οὐσίᾳ εἰ τῇ ἐνεργείᾳ, δέδεικται (ἐν Κεφ. ιϛʹ.)· πᾶν γὰρ ὅ,τι τῷ ἐνεργεῖν πρὸς ἑαυτὸ ἐπιστρεπτικὸν, καὶ οὐσίαν ἔχει πρὸς ἑαυτὴν συννεύουσαν, καὶ ἐν ἑαυτῇ οὖσαν.

Ἐκ τούτων οὖν οὕτω προαποδειχθέντων, ἐπὶ τὴν τοῦ προκειμένου δεῖξιν εἰσβάλλει. „Πᾶσα ψυχὴ (λέγων (2) ἀσώματός ἐστιν οὐσία. Εἰ γὰρ γινώσκει ἑαυτὴν, πᾶν δὲ τὸ ἑαυτὸ γινῶσκον, πρὸς ἑαυτὸ ἐπιστρέφεται. (Κεφ. πγʹ.) τὸ δὲ πρὸς ἑαυτὸ ἐπιστρέφον, οὔτε σῶμά τί ἐστι (πᾶν γὰρ σῶμα ἀνεπίστροφον πρὸς ἑαυτό.) (Κεφ. ιέ.) οὔτε σώματος ἀχώριστον. (Κεφ. ιϛʹ.) Καὶ γὰρ τὸ σώματος ἀχώριστον οὐ πέφυκε πρὸς ἑαυτὸ ἐπιστρέφειν· χωρίζοιτο γὰρ

„ἂν

(1) Πρόκλ. Αὐτ. Κεφ. πγʹ.
(2) Αὐτ. Αὐτ. Κεφ. ρπί.

„ αὖ ταύτῃ σώματος. Πᾶσα ἄρα ψυχὴ οὔτε σωματική ἐστιν οὐσία, οὔτε σώματος ἀχώριστος. Ἀλλὰ μὴν ὅτι γινώσκει ἑαυτήν, φανερόν. Εἰ γὰρ καὶ τὰ ὑπὲρ αὐτὴν γινώσκει, καὶ ἑαυτὴν πέφυκε γινώσκειν, πολλῷ μᾶλλον ἀπ' αἰτίων τῶν πρὸ αὐτῆς γινώσκουσα ἑαυτήν.

ΙΓʹ. Καὶ ἐκ τῆς αὐτοκινησίας δέ, ὡς ἐξ ἄλλης ἀρχῆς, τὸ αὐτὸ κατασκευάζει. „ Πᾶν τὸ ἑαυτὸ κινοῦν πρώτως (φησὶ) (1) πρὸς ἑαυτό ἐστιν ἐπιστρεπτικόν. Εἰ γὰρ κινεῖ ἑαυτό, καὶ ἡ κινητικὴ ἐνέργεια αὐτοῦ πρὸς ἑαυτό ἐστι. Καὶ ἓν ἅμα τὸ κινοῦν καὶ τὸ κινούμενον. Ἢ γὰρ μέρει μὲν κινεῖ, μέρει δὲ κινεῖται· ἢ ὅλον κινεῖ, καὶ μέρος κινεῖται· ἢ ἔμπαλιν. Ἀλλ' εἰ μέρος μὲν ἄλλο ἐστὶ τὸ κινοῦν, μέρος δὲ ἄλλο τὸ κινούμενον, οὐκ ἔσται καθ' ἑαυτὸ αὐτοκίνητον, ἐκ μὴ αὐτοκινήτων ὑφεστώς· ἀλλὰ δοκοῦν μὲν αὐτοκίνητον, οὐκ ὂν δὲ κατ' οὐσίαν τοιοῦτον. Εἰ δὲ ὅλον κινεῖ, μέρος δὲ κινεῖται, ἢ ἔμπαλιν, ἔσται τι μέρος ἐν ἀμφοτέροις, καθ' ἓν ἅμα κινοῦν, καὶ κινούμενον. Καὶ τοῦτο ἐστὶ τὸ πρώτως αὐτοκίνητον. Εἰ δὲ ἓν καὶ αὐτὸ κινεῖ, καὶ κινεῖται, τὴν τοῦ κινεῖν ἐνέργειαν πρὸς ἑαυτὸ ἕξει, κινητικὸν ἑαυτοῦ ὄν· πρὸς ὃ δὲ ἐνεργεῖ πρὸς τοῦτο ἐπέστραπται. Πᾶν ἄρα τὸ ἑαυτὸ κινοῦν πρώτως, πρὸς ἑαυτὸ ἐστὶν ἐπιστρεπτικόν. Ἀλλὰ μὴν πᾶν τὸ εἶναι χορηγοῦν ἄλλοις, αὐτὸ πρώτως ἐστὶ τοῦτο, ὃ μεταδίδωσι τοῖς χορηγουμένοις. (2) Μεταδίδωσι δὲ τῆς αὐτοκινησίας ψυχὴ τῷ σώματι· πᾶν γὰρ σῶμα κινητὸν ἐστὶν ὑφ' ἑτέρου· κινεῖν δὲ ἑαυτὸ οὐ πέφυκεν, ἀλλὰ ψυχῆς μετουσίᾳ κινεῖται ἐξ αὐτοῦ· (3) καὶ ζῇ διὰ ψυχήν. Καὶ παρούσης μὲν ψυχῆς αὐτοκίνητόν πως ἐστὶν, ἀπούσης δὲ ἑτεροκίνητον, ὡς ταύτην ἔχον, κατ' αὐτὴν, τὴν φύσιν, καὶ ὡς ψυχῆς αὐτοκίνητον οὐσίαν λαχούσης. Ἄρα πρὸς ἑαυτὸ ἐστὶν ἐπιστρεπτικὸν ἡ ψυχή. Εἰ δὲ τοῦτο, οὔτε ἄρα σῶμα ἐστὶ (διὰ τὸ ἐκ τοῦ ιϛʹ. Κεφ.) οὔτε

(1) Πρόκλ. Αὐτ. Κεφ. ιζʹ.
(2) Αὐτ. Αὐτ. Κεφ. ιϛʹ.
(3) Αὐτ. Αὐτ. Κεφ. Κʹ.



οὔτε σώματος ἀχώριστον (διὰ τὸ ἐκ τοῦ ιζʹ. Κεφ.). Αὐτοκίνητον δὲ τὴν ψυχὴν εἶναι, ἐν τῷ νοεῖν αὐθορμήτως, καὶ προαιρεῖσθαι, καὶ αὐτοὶ φθάσαντες ἀπεδείξαμεν. (§. χοαʹ. χπαʹ. χπβʹ. ψζʹ.). Ἀλλ' ἐπὶ τὴν ὁπλοθήκην τῶν ὕστερον.

ΙΔʹ. Ὁ ἐν τοῖς Σχολαστικοῖς Λατίνοις πάνυ θαυμαζόμενος Ἀκυινάτης, πρῶτον τοῦτο αὐτὸς ἐκ τῆς αὐτοῦ πανοπλίας ὀρέγει, ὅπλον, ἥπερ αὐτὸ δοκεῖ ἄρρηκτον· „ τοσούτῳ γὰρ φησὶ (1) μᾶλλον μὲν ἄρχει τῆς ὕλης, ἧττον δὲ αὐτῇ τὸ εἶδος ἐνυποδέδυκεν, ὅσῳ καὶ τιμιώτερον· ἡ δὲ ἐν ἀνθρώπῳ ψυχὴ, εἰδῶν ἁπάντων τὸ τιμιώτατον· ὥστε οὕτω κατὰ δύναμιν τὴν ἑαυτῆς ὑπὲρ τὴν σωματικὴν γίνεται ὕλην, ὡς κατὰ τὸν νοῦν ἐνεργούσης, οὐδ' ὁπωσοῦν αὐτῇ τῆς ὕλης μετεῖναι. Ἀλλὰ μὴ πλέον μαρμαρυγῆς τῆς ἀπὸ τοῦ εἴδους, ἢ τόνου τοῦ ἐκ τῆς φύσεως τῶν πραγμάτων τῷ ὅπλῳ ἔνεστιν; ἔοικε. τί γάρ; εἰ μηδενὸς ὑποτεθέντος ἀνθρώπου, ὑπὲρ τιμιότητος τὰ εἴδη ἀλλήλοις ἐρίσειεν, οὐχὶ τὸ τιμιώτατον τῶν ὄντων, ὅσον γε ἐκ τοῦ ἐπενεχθέντος λόγου, συνάμα τῷ πρεσβείῳ, καὶ τὸ ἄϋλον αὖ εἶναι οὐσίαν ἐντεῦθεν συναπηνέγκατο; ἢ περὶ τοῦ ἀκροτάτου μόνου τῶν δυνατῶν εἰδῶν, ὁ λόγος; Ἀλλὰ τίς αὖ οὗτος, ὁ Θεοῦ ἡμῖν ἐροθέντων, ἐν εἴδεσι τοῖς ἤδη κειμένοις, τὸ πανσθενές τε καὶ ἀπειρόσοφον; Εἶτα τὸ τῇ ὕλῃ ἐνυποδύειν, τί ἄρα σημαίνειν βούλεται; τὸ ἔνυλον εἶναι οὐσίᾳ, καὶ ἥκιστα χωριστὸν σώματος τὸ εἶδος; ἢ τὸ σώματι προσχρῆσθαι, ἐν ταῖς κατ' αὐτὸ ἐνεργείαις; ἢ πῶς τὸ διὰ τῆς ὕλης διήκειν τε καὶ χωρεῖν; Ἀλλ' εἰ τὸ Αʹ. κατάγε τὸ μᾶλλον καὶ ἧττον (ᾗ λέγεται) τῆς τιμιότητος, καὶ τοῖς ἐνύλοις τῶν εἰδῶν, ᾗ ἔνυλα, τὸ μᾶλλον καὶ ἧττον προσέψεται. Τοῦτο δὲ ἐστὶ τῇ οὐσίᾳ τῇ ἑαυτῶν, εἴπερ οὐσίᾳ ἐκεῖνα τῆς ὕλης ἀχώριστα εἶναι τίθεται· τὸ δὲ μᾶλλον καὶ ἧττον τὴν οὐσίαν ἥκιστα προσίεσθαι, οὐδ' αὐτοὶ οἱ ἄκρῳ δακτύλῳ γευσάμενοι τῆς Φιλοσοφίας, ἠγνόησαν. Εἰ δὲ τὸ Βʹ., μὴ καὶ χώσαιτο ἐνδίκως νεμε-

(1) Θωμ. Ἀκυινάτ. ἐν Αʹ. Μέρ. Ζητήμ. ϛʹ. Ἄρθρ. αʹ.

νεμεσήσας ὁ δαιμόνιος Πλάτων, τῷ σώματι προσχρῆσθαι, ὃ μαρτύριον αὐτῷ ἐλήφθη τῆς κατὰ τὴν ψυχὴν αὐλίας ἀριδηλότατον (1), εἰς λόγον μεταληφθὲν τὸν ἐναντίον ἀκούων, τὸ ἔνυλον κατασκευάζοντα; τὸ γάρ τοι χρώμενον, καὶ ᾧ χρῆται διέστηκε πράγματι. Καὶ εἰ μᾶλλον μὲν τῇ ὕλῃ προσχρῆται τὰ ἄλλα, ψυχὴ δὲ ἧττον, περιϊσταίη ἂν ἡμῖν οὕτως εἰς τοὐναντίον τὸ πρᾶγμα, τοῦ τὴν μὲν ἧττον διεστάναι, τὰ δὲ μᾶλλον τῆς κατὰ σώματα συναφείας καὶ σχέσεως. Εἰ δὲ δὴ τελευταῖον, ἐκεῖνο νοεῖν ἐθέλοι τὸ τῇ ὕλῃ ἐγκαταδύεσθαι, τὸ διὰ τῆς ὕλης χωρεῖν, γένοιτ᾽ ἂν ἔπειτα πρὸς Θεοῦ εἶδός τι τῶν ἁπάντων εὑρεῖν, ὅπερ ἂν τῆς λογικῆς οὐσίας εἴσω ἡ τὴν ὕλην βαθύτερον, τῆς ὅλης δι᾽ ὅλης, καὶ ἐν ἑκάστῳ μέρει, καὶ καθ᾽ ὅλον χωρούσης; ἢ οὐχὶ πολλῷ ἧσσον τῆς τοῦ αὔλου εἴδους, ἢ τοῦ ἐνύλου, διὰ τοῦ σώματος διαχώρησις;

„ Ἀτρείδης δ᾽ ἐρυσσάμενος ξίφος ἀργυρόηλον
„ Πλῆξεν ἀνασχόμενος κόρυθος φάλον, ἀμφὶ δ᾽ ἄρ᾽ αὐτῷ
„ Τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρός.

Ἀλλ᾽ ἕτερον ἡμῖν, εἴ τι τομώτερον.

ΙΕ'. Ἐπὶ τῶν σωματικῶν (φησὶ)(2) τὸ ἐντὸς ὂν, ἀπο-
„ σοβεῖ τὸ ἐπείσακτον. Καὶ δεῖ τοίνυν ἄχρουν μὲν εἶναι
„ τὸ ὀπτικὸν, εἰ μέλλοι τὰς χροιὰς εἰσδέξεσθαι. Καὶ τὴν
„ γεῦσιν ἄχυμον, εἰ τοὺς χυμοὺς, καὶ τὰ παραπλήσια. Ἀλ-
„ λ᾽ ἡ ψυχὴ καὶ τὰ σώματα διασκέπτεται. Οὐκ ἂν ἄρα τοῦ-
το εἶχε σωματικὴ οὖσα, ἐπεὶ δὲ ἔχει, ἀσώματος. Ὁ μὲν οὖν λόγος παρὰ τῷ Ἀριστοτέλει (3) Ἀναξαγόρου ἐστί. „ Ἀ-
„ νάγκη γὰρ, ἐπεὶ πάντα (φησὶ) νοεῖ, ἀμιγῆ τὸν νοῦν
„ εἶναι, ὥσπερ φησὶν Ἀναξαγόρας, ἵνα κρατῇ· τοῦτο δ᾽ ἐ-
„ στὶν, ἵνα γνωρίζῃ. Παρεμφαινόμενον γὰρ κωλύει τὸ ἀλλό-
„ τριον, καὶ ἀντιφράττει. Ἐμοὶ γε μὴν (εἰ χρὴ λέγειν τὸ παριστάμενον.) οὐ πιστὸς εἶναι δοκεῖ, ὡς αὐτῷ πάνυ καταθαῤῥῆσαι. Ἐφ᾽ ᾧ γὰρ ἔασαι, ὅτι καὶ νοῦς οὖσα, νοῦν γνω-

ρί-

(1) Πλάτων ἐν Φαίδωνι.
(2) Α'. Μέρει. Ζητήμ. ος'. Ἄρθρ. Ε'.
(3) Ἐν Γ'. Περὶ Ψυχ.



ρίζει; καὶ ἐπὶ τῶν σωματικῶν αὐτῶν, ἐν οἷς ὁ Ἀκινάτης διέστειλε τὸ λεγόμενον, πῶς ἡ τῷ κινουμένῳ σώματι προσοῦσα κίνησις, τὴν ἔξωθεν ἐπακτὴν οὐκ ἀποσοβεῖ; πῶς δὲ καὶ τὸ ἐντελεχείᾳ διαφανὲς, τῇ παρουσίᾳ δαψιλεστέρου φωτὸς καθίσταται διαυγέστερον; καὶ τὸ λευκὸν λευκότερον; καὶ τὸ θερμὸν νὴ δία θερμότερον; ἢ τοῦτο περὶ μόνων νοητέον τῶν αἰσθητικῶν ἀντιλήψεων; Ἀλλὰ καὶ θέρμην (ἐροῦσιν οἱ σωματόψυχοι) συλλαβοῦσα, θέρμης εὐτονωτέρας ἐπιγινομένης αἰσθήσεται ἡ ἁφή· καὶ ἀκοὴ δὲ ἤχου γεγονωτέρου, καὶ ὅρασις φωτὸς ἀφθονωτέρου κινήσαντος, καὶ γεῦσις χυμοῦ δριμυτέρου. Καὶ οὕτω καὶ ψυχὴ τυχὸν, καὶ σωματικὴ οὖσα, σώματος κρατήσει τοῦ παχυτέρου, καὶ ἀκινητοῦσα κινουμένου. Εἶτα καὶ τῆς ἀντιφράξεως ταύτης ἐπὶ τῶν αἰσθήσεων ὁμολογουμένης τί τὸ ἀναγκάζον καὶ τὸ γνωστικὸν αὐτὸ ὁμοιοπαθεῖν τοῖς κατὰ τὰς αἰσθήσεις μορίοις, ὧν εἴδει διενήνοχεν. Ἐπὶ δὲ τούτοις καὶ πλέον τῆς χρείας κατασκευάζων, οὐδὲν ἀποδείκνυσιν. Καὶ γὰρ καὶ αἱ ἁπλῶς αἰσθητικαὶ τῶν ψυχῶν, καί τοι ὕλης ἀμιγεῖς ἥκιστα οὖσαι (ὃ καὶ σοὶ δοκεῖ Ἀκινάτα) οὐδὲν ἧττον κρατοῦσι, μηδενὸς τοῦ παρεμφαινομένου κωλύοντος τὸ ἀλλότριον, οὐδ᾽ ἀντιφράττοντος.

ΙϚ'. Ὁ δὲ καὶ τοῦτο προχειρίζεται πρὸς τοῖς ἄλλοις, ἀνά-
„ λογον λέγων (1) δεῖν εἶναι τοῖς ἀντικειμένοις περὶ ἃ ἐ-
„ νεργεῖ πᾶσα δύναμις. Ἐντεῦθεν καὶ ἀσώματον εἶναι τὴν περὶ τὰ καθόλου, καὶ τὰ ἀσώματα. Καὶ ἤπου ἀληθὲς καθ᾽ αὑτὸ τὸ συναγόμενον· τὴν γοῦν ἀναλογίαν ὤφειλε δεῖξαι, ἐν τίνι ποτὲ θετέον· οὐ γὰρ ἁπλῶς οἶμαι τὸ ἀνάλογον ἀπαιτεῖ· ὅτι καὶ καθ᾽ ἕκαστα οὖσα τῶν καθόλου αὐτὴ ἀντιλαμβάνεται. Καὶ οὐδὲν ἧττον, δι᾽ αὐλοτέρων καί τοι εἰδῶν, ἥ φασι, τὰ σώματα νοεῖ καὶ ἀσώματος. Αὐτοὶ δὲ προσθήσομεν, ὡς οὐδὲ περὶ τὰ καθ᾽ ἕκαστα, οὐδὲ περὶ τὰ σώματα αὐτὰ, οὐδόλως εἶχεν ἂν ἐνεργεῖν νοερῶς, σῶμα τυγχάνουσα. Ὃ καὶ λόγοις ἰδίοις, καὶ τοῖς παρὰ τῶν ἄλλων σαφῶς ἀνωτέρω (§. χυζ'. χυθ'. ψ'. κτ. Καὶ §. ψκζ'. Ἀριθμ. Θ'. Ι'. καὶ ΙΑ'.) διεπιστωσάμεθα.

ΙΖ'. Ἀ-

(1) Ἀκινάτ. ἐν Α'. κατὰ Ἐθνῶν. Κεφ. μθ'.

ΙΖ΄. Ἄξιον δ᾽ ἂν εἴη καὶ τοῦ Καρτεσίου ἐνταῦθα ἀκοῦσαι, ὃς δὴ πρὸς δόγμα παλαιὸν νέαν ἔτεμε τρίβον. „Ἐπειδὰν φησὶν ἐμαυτὸν, ὡς οὐσίαν διανοητικήν τινα ἐνθυμοῦμαι ὄντα (1), οὐδὲν ὅλως ἐν ἐμοὶ μέρος τοῦγε τοιοῦτο διακρίνειν ἔχω· ἓν δέ τι ἁπλοῦν καὶ ὁλοσχερὲς ἐμαυτὸν εἶναι κατείληφα. Εἰ δὲ καὶ ὅλος ὅλῳ τῷ σώματι ὁ νοῦς συνῆφθαι δοκεῖ, κἂν ἑνός γέ τινος ἀλλ᾽ οὖν τῶν μελῶν οἷον ποδὸς, ἢ βραχίονος, ἢ τοῦ ἄλλου ἀποτμηθέντος τοῦ σώματος, οὐδὲν οὐδ᾽ ὅπως ἀπεσπάσθαι μοι τοῦ νοητικοῦ ἐπιγιγνώσκω. Οὐδὲ γὰρ αἱ προλοῦσαι δυνάμεις τοῦ βούλεσθαι, τοῦ αἰσθάνεσθαι, τοῦ νοεῖν, κτ. μέρη ἂν ἐκείνου (τοῦ νοῦ δηλ.) ῥηθεῖεν. Εἷς γὰρ καὶ ὁ αὐτός ἐστι νοῦς, ὃς καὶ νοεῖ, καὶ βούλεται, καὶ αἰσθάνεται· τοὐναντίον δὲ οὐδὲν τῶν σωματικῶν, ἤτοι τῶν ἔκτασιν ἐχόντων, νοητόν ἐστιν ὅλως, τὸ μὴ ῥᾳδίως, τῇ γοῦν ἐπινοίᾳ εἰς μέρη διανεμόμενον, καὶ ᾗ διαιρετὸν, ταύτῃ νοούμενον. Ἤρκεσεν οὖν ἔμοιγε (φησὶν) ἓν δὴ τοῦτο καὶ μόνον, εἰ μηδὲν ἄλλο εἰς τὸ δεῖξαι τὴν ψυχὴν ἀλλοτριωτάτην εἶναι τοῦ σώματος. Εὖ οὖν ἔχει, ἀλλ᾽ Ἐπικούρειός τις ἴσως, ἢ Στωϊκὸς ἐμπηδήσας ἂν φαίη, ὡς πολύ τι διαφέρει, τὸ κατ᾽ ἐπίνοιαν οἴεσθαι τοῦ πράγματι εἶναι. Καὶ νοεῖς μὲν σαυτὸν αὐτὸς, ᾗ τῆς τοῦ διανοεῖσθαι διμοιρήσας δυνάμεως ἔλαχες, μηδὲν τῶν ἐν σοὶ μερῶν προσλογιζόμενος. Αὐτὸς γεμὴν, οὐδ᾽ ὃς, οὐδ᾽ ᾧ διανοούμενος διατελεῖς, μερῶν πάντῃ ἠμοίρησας· μᾶλλον δὲ ἀμερὴς ὢν, οὐδ᾽ ἂν τὴν ἀρχὴν, οὐδ᾽ ἐνόησας, οὐδ᾽ ᾔσθου τὸ σύνολον. Εἰ γὰρ σωματικὸν τὸ νοοῦν, πῶς ἂν παρῇ νόησις, μὴ παρόντος καὶ σώματος; Πρὸς ταῦτα ἐκεῖνος· „Ἡνίκα φησὶν (2) ἐναργῶς τε καὶ οἰκείως ἄλλο ἄλλου χωρὶς διενθυμοῦμαι, δεῖγμα τοῦτό μοι σαφές ἐστι τῆς τῶν νοουμένων αὐτῶν ἑτερότητος. Ἀλλὰ τῆς κατ᾽ ἐπίνοιαν ὦ γαθὲ ἀπαντήσει, οὐ τῆς πράγματι, καὶ τῆς δυνάμει, οὐ τῆς ἐνεργείᾳ. Τί γάρ; ἢ ὅτι ἐναργεστάτην φέρει τὴν ἐφ᾽ ἓν διαστατὸν ἔκτασιν, καὶ αὐτὴν τοῦ δι-

(1) Μελέτη ς΄. Περὶ τῆς Α΄. Φιλοσοφίας.
(2) Αὐτ. Αὐτ.



χῇ, καὶ τριχῇ, εἴπω ἄρα ταύτην ἐνεργείᾳ καθ᾽ ἑαυτὴν ἔχειν ὑφίστασθαι, καὶ χωρὶς τοῦ σώματος. Τοῦτο γὰρ ἐπιεικῶς πάντῃ σφαλερόν ἐστι τὸ οὕτως ὑπολαμβάνειν, ἐπί τε τῶν δυνάμεων, καὶ τῶν ἐν τοῖς οὖσιν ἄλλων παθῶν, ὧν τὰ πολλὰ μόναις ψιλαῖς ἐπινοίαις διϊσταμένων, τὸ αὐτὸ ὕπεστιν ὑποκείμενον ᾧπερ ἑδράζονται. Ὁ δὲ καὶ τῆς δυνάμεως τοῦ νοεῖν ὡσαύτως, εἴδωλον οἱονεί τι στήσας οὐσίας καθ᾽ ἑαυτὸ, τῆς ἐνύλου χωρὶς καθιδρύσας φύσεως. Καὶ ὁ μὲν Ἐπικούρειος ταῦτα ἂν ὑποτείνοι, εἰ δέ τις ἐπιστήσας τοῖς ἐν §. τβ΄. καὶ τγ΄. ἡμῖν εἰρημένοις, τὸ κατὰ Καρτέσιον unum absque altero clare intelligi, θάτερον θατέρου ἄνευ ἐναργῶς νοεῖσθαι, ὀρθῶς ἐκλάβοι, οὕτως ὡς οὐδ᾽ ἀλλήλων ἐσωτερικῶς ἐξηρτῆσθαι, οὐδὲ τρίτου τινὸς τοῦ αὐτοῦ τὰ νοούμενα, ἀναγκαίαν ἐν αὐτοῖς εὑρήσει, καὶ τὴν πραγματιώδη διαίρεσιν. Ὅτι δὲ αἱ κατὰ τὰς λογικὰς δυνάμεις ἐνέργειαι τῆς ψυχῆς, τῶν κατὰ τὰ σώματα κινήσεων, καὶ ἄλλων ὡντινωνοῦν διαθέσεων οὐκ ἐξήρτηνται, μᾶλλον δὲ ὅτι τὰ ἐν τῇ διανοητικῇ φύσει, τοῖς ἐν τῇ σωματικῇ πάντῃ πάντως ἀσυμπαθῆ ἐστι, καὶ ἀσύμβατα, ἐκ περιουσίας ἤδη ὁ φθάσας λόγος ἀπέδειξε.

ΙΗ΄. Πρὸς δὲ τοῖς εἰρημένοις, καὶ τὸ τοῦ Λεϊβνιτίου τοῦ Γερμανοῦ (1) εἰς σύστασιν τοῦ προκειμένου οὐκ ἀπῳδόν. „Τὰς γὰρ νοήσεις (φησὶ) καὶ τὰ ἐκ τούτων διὰ λόγων μηχανικῶν, τουτέστι διὰ σχημάτων τε καὶ κινήσεων ἀναπτύσσειν πειρᾶσθαι, τῶν ἀδυνάτων ἐστίν. Εἰ γὰρ μηχάνημά τι τοιοῦτο δοθείη, ὅπερ ἂν ἐξ ἧς ἔχει κατασκευῆς, νοεῖν, αἰσθάνεσθαι, γνωστικῶς ἀντιλαμβάνεσθαι, οἷόν τε ᾖ, οὐδὲν ἂν ἐκώλυε, τῶν αὐτῶν σωζομένων ἀναλογιῶν, καὶ τὸν ὄγκον ἐπὶ τοσοῦτον μεγεθυνθῆναι, ὡς καὶ εἰσιτητὸν ἡμῖν εἶναι εἰς αὐτὸ, καθάπερ εἰς τοὺς μυλῶνας· τούτου δ᾽ ἔμπης γενομένου, οὐδὲν εἰσιόντες ἐν αὐτῷ εὕροιμεν ἂν, ὅτι μὴ μέρη ἄλληλα προωθοῦντα, ἄλλο δ᾽ οὐδὲν, δι᾽ οὗ ἀναπτύσσοιτο ἡ κατὰ γνῶσιν ἀντίληψις· ὥστε τοῦτο ζητητέον ἂν εἴη ἐν

„ οὐ-

(1) Ἐν τοῖς περὶ τῆς Ἀρχ. τῆς Φιλοσοφίας ἐν τοῖς Πρακτ. τῶν κατὰ τὴν Λιψίαν Φιλοσόφων Τόμ. ζ΄. τῶν Ἀναπληρωμάτων Τμήμ. ια΄.

„ οὐσίᾳ τινὶ ἁπλῇ, ἥκιστα δὲ συνθέτῳ, οἷόν ἐστι τὸ μηχάνημα. Τούτῳ ἀδελφόν ἐστι, καὶ τὸ ὑπὸ τοῦ Νεαπολίτου Γενουησίου προχειρισθέν. „ Τὰς γὰρ ἐν τῷ χιλιογωνίῳ γωνίας, φησὶν (1), ὀρθαῖς 1996 τὰς πάσας ἰσουμένας τουντί, παρὰ τὴν τοῦ χιλιογωνίου ἔννοιαν, παρίστασθαί μοι νοερῶς ἐπάναγκες, καὶ τὴν μεταξὺ τῶν 1000 γωνιῶν, καὶ τῶν 1996 ὀρθῶν ἰσότητα. Τοῦτο δὲ εἰ τελεῖται διὰ κινήσεως, τοσαῦται ἡμῖν ἔσονται αἱ κινήσεις, ὅσαι αἱ τῶν ἐπὶ τοῦ χιλιογωνίου γωνιῶν, πρὸς τὰς 1996, παραθέσεις· ἢ ἀκριβέστερον εἰπεῖν, ὅσαι αἵτε τοῦ χιλιογωνίου γωνίαι, καὶ αἱ ὀρθαί, καὶ αἱ τούτων πρὸς ἐκείνας παραθέσεις, ἅμα. Αἱ δὴ κινήσεις σχεδόν εἰσιν αἱ πᾶσαι 4990, ἐν ἀκαρεῖ, ἢ τοὐλάχιστον ἐν βραχυτάτῳ τοῦ χρόνου, καὶ τὸ αὐτὸ τοῦ ἐγκεφάλου, ἔνθα δηλ. ἡ τῶν ἰδεῶν τελεῖται παράθεσις, περαινόμεναι· ὅπερ ἀδύνατον. Διὰ τούτων γοῦν, καὶ τῶν ἡμῖν πολλαχῇ ἄχρι τούτου δειχθέντων, ἐπεὶ μὴ εἰς ταὐτὸ ἥκει τὰ πάθη, οὐδ᾽ ἀλλήλων ἐσωτερικῶς ἐξῆπται, οὐδ᾽ ἀπὸ τρίτου τινὸς τοῦ αὐτοῦ ἤρτηται, πᾶσα ἀνάγκη καὶ τὰς ὑποκειμένας τοῖσδε τοῖς πάθεσιν οὐσίας ἀσυμβάτους εἶναι, καὶ ὅπερ ἀκόλουθόν ἐστιν, πλέον ἢ οὐρανὸς ἄπεστι γαίης, τὴν ἐν ἡμῖν λογικὴν οὐσίαν τῆς τῶν σωμάτων ἀπέχειν φύσεως.

## Θεώρημα ΙΖ΄.

§. ψκη΄. „ Τῇ ὕλῃ, ὡς ἐν ὑποκειμένῳ, τὴν λογικὴν ψυχὴν ἐνυφεστηκέναι, ἀχωρίστως ἔχουσαν ὑπολαμβάνειν, „ ἄλογον.

Πάθος γὰρ ἂν οὕτως εἴη τῆς ὕλης ἡ λογικὴ ψυχή, ἤτοι οὐσιωδῶς προσὸν αὐτῇ, ἢ ἐπουσιωδῶς. (§. σχθ΄. σλ΄.) ὥστε οὐδὲ ἐν ἀδιαιρέτῳ τῆς ὕλης κείμενον. (§. χγ΄.) Ἀλλ᾽ ἐν μετοχῇ ἐκτάσεως πάντως. (§. χγα΄.) Καὶ δή,

καὶ

(1) Τέχν. Λογικοκριτικ. Βιβλ. α΄. Κεφ. α΄. §. ς΄.



καὶ αἱ κατὰ τὴν ψυχὴν δυνάμεις, ἥτε γνωστική, καὶ ἡ βουλητική, ἐν κινήσεσι σωματικαῖς τὸ ἐνεργεῖν ἔχοιεν· (§. χξγ΄. χξδ΄.) ὥσπερ ὅσα σωματικὰ πάντα. Ἀλλὰ γὰρ ἡ λογικὴ ψυχὴ ἀμερής τε οὖσα ἐδείχθη (§. ψθ΄.), καὶ πάντῃ ἀμεγέθης. (§. ψι΄. ψια΄. ψιδ΄.) Καὶ οὐδὲ διὰ σωματικῶν κινήσεων τὰς κατ᾽ αὐτὴν ἐνεργείας περαίνουσα. (§. χγθ΄. ψ΄. ψα΄. ψβ΄. ψγ΄. ψδ΄. ψε΄. ψς΄.) Ἄρα τῇ ὕλῃ κτ. Ο. Ε. Δ.

## Πόρισμα.

§. ψκθ΄. Οὔτ᾽ ἄρα κρᾶσις ἡ λογικὴ ψυχὴ κατ᾽ Ἐμπεδοκλέα, ἡ ἐκ τῶν τεσσάρων στοιχείων, οὔθ᾽ ἁρμονία τις κατὰ τὸν Δικαίαρχον, οὐδὲ συγγυμνασία τις αἰσθήσεων κατὰ τὸν ἰατρὸν Ἀσκληπιάδην, οὐδ᾽ ἄλλως δύναμίς τις φύσεως σωματικῆς καὶ ἐνύλου, ὃ τοῖς νεωτέροις ἔδοξεν Ἐπικουρείοις, οὐδ᾽ οὐδὲν τοιοῦτον, τῶν ὡς ἐν ὑποκειμένῳ πεφυκότων ἐνυφεστάναι τῷ σώματι.

## Σχόλιον.

§. ψλ΄. Νεανικῶς τῷ ὄντι, καὶ συντόνως, καὶ κατὰ τῶν τιθεμένων τὴν ψυχὴν ἁρμονίαν εἶναι, ἠγωνίσατο ὁ Πλωτῖνος (1) ἀναρμοστίαν αὐτὴν καὶ αἶσχος ἄντικρυς ἀποδείξας. „ Τοιοῦτο γάρ τι ἔσται, φησίν, ἡ ψυχή, οἷον καὶ ἡ περὶ χορδὰς ἁρμονία. Ὡς γὰρ ἐνταῦθα ἐντεταμένων τῶν χορδῶν ἐπιγίνεταί τι οἷον πάθημα ἐπ᾽ αὐταῖς, ὃ λέγεται ἁρμονία, τὸν αὐτὸν τρόπον, καὶ τοῦ ἡμετέρου σώματος, ἐν κράσει ἀνομοίων γινομένων, τὴν ποιὰν κρᾶσιν ζωήν τε ἐργάζεσθαι, καὶ ψυχὴν οὖσαν τὸ ἐπὶ τῇ κράσει πάθημα. Τὸν αὐτὸν γὰρ τρόπον καὶ Πλάτων τὸ σχῆμα τόδε

τῆς

(1) Ἐν τοῖς περὶ Ψυχ.

τῆς ἁρμονίας ἀπέδιδεν, ( ἐκ τῶν Πυθαγορείων λαβών,
πολυμιγέων εἶναι καὶ δίχα φρονεόντων ἕνωσιν πάντῃ.
,, σύνθετον εἶναι πρᾶγμα τὴν ἁρμονίαν. (1) τὴν δὲ ψυ-
,, χὴν ἐκ τῶν κατὰ τὸ σῶμα ἐντεταμένων ξυγκεῖσθαι· ὥς
μηδὲν ἄλλως ἢ κατὰ τὸ περὶ φθόγγους μὴ εἶναι, διαφέρειν,
ταύτης τῆς τῶν Πυθαγορείων ἁρμονίας τὴν κατὰ Δικαίαρ-
χον, ἢ Δείναρχον παρὰ Νεμεσίῳ ,, (2) ἐν τῷ σώματι
,, θερμῶν, καὶ ὑγρῶν, καὶ ψυχρῶν, καὶ ξηρῶν ἐναρμόνιον κρᾶ-
,, σιν, καὶ συμφωνίαν· ἧς καὶ ὁ ἐν τῷ Φαίδωνι Σιμμίας
προϊστάμενος φέρεται, τὴν μὲν ψυχὴν ἁρμονίᾳ ἐοικέναι λέ-
γων, τὸ δὲ σῶμα λύρᾳ. Παραπλησίαν τε εἶναι τὴν κα-
τ' Ἐμπεδοκλέα τῶν στοιχείων κρᾶσιν, τὴν αὐτὴν δόξαν οὖ-
σαν ὀνόματι παραλλάσσουσαν. Ἀλλὰ γάρ·

Α΄. ,, Ἡ μὲν ψυχὴ (φησὶν ὁ Πλωτῖνος (3) πρότερον, ἡ
,, δ' ἁρμονία ὕστερον· τὸ δὲ εἴληπται ἐκ τοῦ Πλάτωνος, καὶ
τῆς τῶν ψυχῶν προϋπάρξεως ἀπόζει· σαφῶς γὰρ ὁ Σω-
κράτης τὸν Σιμμίαν (4) ὡς ἐστι τῶν ὁμολογουμένων αἰτι-
άσας ,, ὡς ἡ ψυχὴ εἴη πρὶν καὶ εἰς ἀνθρώπου εἶδός τε καὶ σῶ-
,, μα ἀφικέσθαι, οὐδὲν τοιοῦτον εἶναι τὴν ἁρμονίαν εἰσβάλ-
λει. ,, Ἀλλὰ πρότερον, φησί, καὶ ἡ λύρα, καὶ αἱ χορδαί,
,, καὶ οἱ φθόγγοι, ἔτι ἀνάρμοστοι ὄντες γίνονται. Εἰ μὲν
οὖν τινες ἐγένοντο τῶν Πυθαγορείων, οἱ ἁρμονίᾳ τὴν ψυχὴν
ἀπεικάσαντες, καὶ τὴν προΰπαρξιν ἅμα τῶν ψυχῶν οἱ αὐ-
τοὶ συγχωροῦντες· ἔχοι ἄντινα καὶ λόγον τὸ Σωκρατικὸν τοῦ-
το πρός γε τοὺς τοιούτους. Πρὸς δὲ Δικαίαρχον ἐκεῖνον, καὶ
Ἐμπεδοκλέα οὐδένα. Πῶς γὰρ αὖ τὸ πρότερον εἶναι δοῖεν,
οἱ τὸ μηδὲ χωριστὸν ὅλως ὑπολαμβάνοντες; Οὐ τοίνυν πρὸς
τοὺς ἀνούσιόν τε καὶ ἀχώριστον τὴν ψυχὴν εἰσηγουμένους ὁ λό-
γος ἔρρωται· ὥσπερ οὖν οὐδὲ τοῖς τὴν προΰπαρξιν μὴ προ-
σιεμένοις ἐν χρήσει γένοιτο. Νεμεσίῳ δὲ καὶ νεμεσήσειεν αὖ-
τις εἰκότως, ὅτι τὴν προΰπαρξιν τῶν ψυχῶν δογματίζων,
,, τὸ

(1) Ἐν Φαίδωνι.
(2) Περὶ ἀνθρώπου Κεφ. β΄. Περὶ Ψυχ.
(3) Περὶ Ψυχ.
(4) Ἐν Φαίδωνι.



,, τὸ τῶν ἀναμνήσεων ἀληθές ἐστι (1) φησί, κἀκ τούτου τε-
,, θέντος, ψεῦδος ἄρα τὸ τὴν ψυχὴν ἁρμονίαν εἶναι ὑ-
,, ποσυνάπτει, ψεύδει τὸ ψεῦδος ἀποσκευάζων, καὶ τὸ κα-
κόν, ᾗ λέγεται, τῷ κακῷ ἰάσασθαι ἐπιχειρῶν.

Β΄. Προστίθησιν ὁ Πλωτῖνος (2) ,, τὸ μὲν (ἡ ψυχὴ) ἄρ-
,, χει καὶ ἐπιστατεῖ τῷ σώματι, καὶ μάχεται πολλαχῇ· ἁρ-
,, μονία δὲ οὐκ οὖσα, ταῦτα ποιοῖ. Καὶ τοῦτο Πλατωνι-
κὸν (3), καὶ ἐξ ἀληθοῦς τεθέντος ἀσφαλέστατα συμπεραί-
νον. ,, Ἔδει γὰρ μηδέποτε ἁρμονίαν οὖσαν ἐναντία ᾄδειν
,, οἷς ἐπιτείνοιτο, καὶ χαλῷτο, καὶ πάλλοιτο, καὶ ἄλλο ὁτιοῦν
,, πάθος πάσχοι ἐκεῖνα, ἐξ ὧν τυγχάνει οὖσα, ἀλλ' ἕπε-
,, σθαι ἐκείνοις, καὶ οὔποτ' ἂν ἡγεμονεύειν.... τί οὖν νῦν, οὐ
,, πᾶν τοὐναντίον φαίνεται ἐργαζομένη, ἡγεμονεύουσα ἐκεί-
,, νων πάντων, ἐξ ὧν φησί τις αὐτὴν εἶναι; κτλ. Ὥστε ἐν
τῷ αὐτῷ τοῖς Ἐπικουρείοις βρόχῳ ( ὅρα §. ψκζ΄. Ἀριθμ.
Α΄. ) καὶ οὗτοι ἄγχονται οἱ ἁρμονικώτατοι.

,, Γ΄. Τὸ μὲν οὐσία (4), ἡ δὲ ἁρμονία οὐκ οὐσία, φησίν.
Κεῖται δὲ καὶ παρὰ Ἀριστοτέλει ἡ δεῖξις αὕτη. (5) Ἥπου
δὲ ἔχει γε οὕτως· τίνι δὲ λόγῳ τοὺς ἁρμονίαν εἰπόντας, ὅ-
τι οὐσία ἐστὶν αὐθύπαρκτος ἡ ψυχὴ ἀναπείσομεν, μὴ πα-
ρὰ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι ἐοικότες σοφίζεσθαι; Οἶμαι γὰρ
δή, ὡς οὐδὲν ὑγιὲς ἀποδοῦναι ἕξομεν, εἰ μὴ ἐπὶ τὴν ἀνωτέ-
ρω τεθεῖσαν ( §. ψκη΄. ) ἀπόδειξιν ἀναδράμοιμεν. Εἰ γὰρ
μὴ οὐσία πάθος ἄρα, καὶ δύναμις ἐνυφεστηκεῖα ὡς ἐν ὑπο-
κειμένῳ τῇ ὕλῃ, ἔσται, ὅπερ ἐδείχθη ( Αὐτ. ) εἶναι ἀδύ-
νατον. Ἢ γοῦν εἰ μὴ ἄλλως διανοηθῶμεν (6) ,, ὅτι ἡ ψυχὴ
,, τῷ ἐπιδέχεσθαι τὰ ἐναντία παρὰ μέρος, οὐσία ἐστί, καὶ
,, ὑποκείμενον. Ἡ δὲ ἁρμονία ποιότης, καὶ ἐν ὑποκειμένῳ.
,, Ἡ δὲ οὐσία ποιότητος ἕτερον. Καὶ ἡ ψυχὴ ἄρα ἁρμο-
,, νίας ἕτερον.

Δ΄. ,, Ἡ

(1) Περὶ Ἀνθρώπου Κεφ. β΄. Περὶ Ψυχ.
(2) Περὶ Ψυχ. Αὐτ.
(3) Ἐν Φαίδωνι.
(4) Πλωτῖν. Αὐτ.
(5) Ἐν α΄. Περὶ Ψυχ.
(6) Νεμέσ. Περὶ Ἀνθρώπου Κεφ. β΄. Περὶ Ψυχ.

" Δ'. Ἡ κρᾶσις τῶν σωμάτων ἐξ ὧν συνέσαμεν, ἐν λόγῳ ὄσα, ὑγίεια ἂν εἴη· (1) τί γὰρ ἄλλο ὑγίεια, ἢ κρᾶσις τῶν στοιχείων συμφώνως ἔχουσα; τί δ' ἄλλο νόσος, ἢ δυσκρασία; σύνθεντοι καὶ Ἀριστοτέλης συναποφαίνεται, " ἁρμόζει δὲ μᾶλλον φάσκων (2) καθ' ὑγιείας λέγειν ἁρ" μονίαν, καὶ ὅλως τῶν σωματικῶν ἀρετῶν (νόειμοι ἰσχύος, κάλλους, καὶ τῶν παραπλησίων.) ἢ τῶν τῆς ψυχῆς.

" Ε'. Καὶ καθ' ἕκαστον, φησὶ, μέρος ἄλλως κραθὲν, "εἴη ἂν ψυχὴ ἑτέρα, ὥστε πολλὰς εἶναι. (3) Καὶ τοιοῦτο δέ τι καὶ Ἀριστοτέλης αὖθις ὑπέθετο· (4) τί δ' ἂν φαῖεν; ἢ ὅτι καὶ ἐξ ἁρμονιῶν τῶν κατὰ μέρος ἡ ὅλη; Καὶ ὅτι ἐκ διαφερουσῶν δυνάμεων ἡ ψυχή; ἀλλὰ καὶ οὕτως ἔμπης, ἐπεὶ καὶ τῶν κατὰ μέρος ἑκάστη, τὸν τῆς ὅλης λόγον οὐ παραιρεῖται " ἁρμονία γὰρ καὶ λέγεται, καὶ ἐστὶ. πολυμιγέων τις, " καὶ δίχα φρονεόντων ἕνωσις. Οὐδὲ τῶν δυνάμεων ἑκάστη καθ' ἑαυτὴν, τοῦ κατὰ τὴν ψυχὴν ἐκπεσεῖται λόγου, εἰ τῷ ὄντι ἁρμονία τις ἡ ψυχή. Καὶ οὐδὲ οὕτω τῆς πολυψυχίας ἀποστησόμεθα.

" ϛ'. Ἀνάγκη φησὶ (5) πρὸ τῆς ψυχῆς ταύτης, ἄλλην " ψυχὴν εἶναι τὴν ποιοῦσαν τὴν ἁρμονίαν. Νοητέον δὲ οὐχ οὕτω τὸν λόγον, ὡς ὑπολαμβάνειν ψυχὴν, εἰς ψυχῆς ἄλλης ἀναγκαίαν εἶναι τὴν φύσιν. Ἀλλ' ὅτι ἁρμονία ἐν λόγῳ τὸ εἶναι ἔχουσα, νοῦ ἔργον. Οὕτω γάρ τοι, εἰ μηδὲν ἄλλο, προσβιβάζει ἡμᾶς ἡ δεῖξις ἐπὶ τὸν δημιουργὸν νοῦν, τὸν τὰς ψυχὰς ἁρμοσάμενον, ὡς τόγε τοῦ Ἀριστοτέλους ἐκεῖνο " ὅτι ἡ φύσις ἄλογος οὖσα μετὰ λόγου ἐργάζεται, εἰ μὴ ἐπὶ τὸν κοσμήτορα ἀναφέροι τὸ ἔργον, ἀλογώτατα εἴρηται.

" Ζ'. Ὅλως δὲ καὶ οὗτοι (6) ἐξ ἀψύχων ἔμψυχα ποιοῦ" σιν. Οἷα κἀκεῖνοι δηλαδὴ, περὶ ὧν ἐλέγετο ἀνωτέρω. (§. ψκζ'.

(1) Πλωτῖν. Αὐτ.
(2) Ἐν Α'. Περὶ Ψυχ.
(3) Πλωτῖν. Αὐτ.
(4) Ἀρισ. Αὐτ.
(5) Πλωτῖνος Αὐτ.
(6) Αὐτ. Αὐτ.



(§. ψκζ'. Ἀριθμ. Ε'.) Οἷς δὴ σύμφωνον καὶ τὸ τοῦ Φιλοπόνου (1) " ὅλως (λέγοντος) τὰ ἄνω κάτω ποιήσουσιν. " Ἔσονται γὰρ τὰ ἄψυχα ψυχῶν αἴτια, τὰ ἄλογα λό" γου, τὰ ἀναίσθητα αἰσθήσεως, ὅπερ ἄτοπον, τὰ χείρονα " τῶν κρειττόνων λέγειν αἴτια εἶναι.

" Η'. Καὶ ἐξ ἀτάκτων κατὰ συντυχίαν τὰ τεταγμένα. (2) Πλὴν ὅσον εἴπερ ἐκτινος Νοῦ, κατὰ τὸ ϛ'. τῶν ἀνωτέρω, οὐ κατὰ συντυχίαν.

Θ'. Προσθετέον τὸ τοῦ Δαιμονίου Πλάτωνος· λαβὼν γὰρ ἐκεῖνος (3) τὴν μὲν ἀρετὴν, ψυχῆς εἶναι, οἱονεὶ καθ' ἁρμονίαν συντεταγμένης ἐνέργειαν, τὴν δὲ κακίαν τοὐναντίον κατ' ἀναρμοστίαν ἀτακτούσης· ἐντεῦθεν ἐπιφέρει, καὶ ψυχὴν ψυχῆς μᾶλλον εἶναι ψυχὴν, εἴπερ καὶ ἁρμονίας ἁρμονίαν· ὅπερ ἄτοπον. Ἁρμονίαν δὲ ἁρμονίας μᾶλλον καὶ ἧττον εἶ" ναι νοήσεις, τῷ χαλᾶσθαι, καὶ ἐπιτείνεσθαι, οὐ τῷ λόγῳ " δὲ τῆς ἁρμονίας. (4) Ἀδύνατον γὰρ ἐστὶ λόγον τὸ μᾶλ" λον καὶ ἧττον ἔχειν. Ἀλλ' ἐν τῇ ἁρμογῇ· ἐὰν γὰρ κε" κραμμένος ὀξὺς φθόγγος, καὶ βαρὺς, ἔπειτα ἀνεθῶσι, " τὸν λόγον μὲν τὸν αὐτὸν σώζουσιν ἐν τοῖς μεγέθεσι τῶν " φθόγγων, παραλλαγὴν δὲ λαμβάνει ἡ ἁρμονία κατὰ τὴν " ἁρμογὴν, μᾶλλον καὶ ἧττον ἐπιτεινομένη· ψυχὴ δὲ ψυ" χῆς οὐκ ἔστι μᾶλλον, καὶ ἧττον, οὐκ ἄρα ἁρμονία ἐστὶν ἡ " ψυχή. Πρὸς δὲ τοῖς εἰρημένοις ἐκ τοῦ Πλατωνικοῦ λόγου, καὶ τάδε κατὰ τῆς ἁρμονίας συμπερανθήσεται, τὸ ἤτοι τὰς κακίᾳ κρατουμένας ψυχὰς, μηδὲ ψυχὰς εἶναι, ὡς οὐδὲ ἁρμονίας, εἴτε καὶ ἐπίσης ἀγαθὰς ἁπάσας, ὡς ἄρα καὶ ἁρμονίας, τὰ τῶν πρώτων πολλῷ ἀτοπώτερα.

Ι'. Τὸ τοῦ Ἀριστοτέλους (5) τὸ κινεῖν οὐκ ἔστιν ἁρμονίας, " ψυχῇ δὲ τοῦτο ἀπονέμουσι πάντες, μάλισθ' ὡς εἰπεῖν. (ὅρα τὸν Φιλόπονον εἰς ταῦτα.)

ΙΑ'. Προ-

(1) Ἐν Ὑπομν. εἰς τὸ Περὶ Ψυχῆς.
(2) Πλωτῖνος Αὐτ.
(3) Ἐν Φαίδωνι.
(4) Νεμέσ. Περὶ Ἀνθρώπου Κεφ. β'. Περὶ Ψυχ.
(5) Ἐν Α'. Περὶ Ψυχ.

ΙΑʹ. Προσκείσθω δὲ καὶ τὰ κατὰ τὴν κρᾶσιν ἡγουμένων τὴν ψυχὴν, παρὰ Νεμεσίῳ (1) ἐφεξῆς, συντόμως. „ Πᾶν σῶμα ἔμψυχόν τε, καὶ ἄψυχον ἐκ τῶν τεσσάρων στοιχείων κέκραται. Καὶ εἴπερ ἄρα ἡ κρᾶσις ἐστὶν ἡ ψυχὴ, πᾶν σῶμα ψυχὴν ἔχει. Οὐδὲν γὰρ τὸ λέγειν, ὡς οὐχ ἁπλῶς, ἡ δὲ τοιάδε κρᾶσις τὴν ψυχὴν ποιεῖ, ὡς γὰρ ὁ Γαληνὸς ἐν τοῖς ἁπλοῖς ἔδειξεν „ ἅπασαι αἱ κράσεις κατὰ τὸ μᾶλλον, καὶ ἧττον κἂν τοῖς ἀψύχοις εἰσίν.

„ ΙΒʹ. Τῶν κράσεων ἐναλλαττομένων κατὰ τὰς ἡλικίας, καὶ τὰς ὥρας, καὶ τὰς διαίτας, ἡ ψυχὴ ἐναλλάττεται. Εἰ δ' ἐναλλάττεται οὐ τὴν αὐτὴν ἔχομεν ψυχὴν, ἀλλὰ κατὰ τὴν κρᾶσιν ποτὲ μὲν λέοντος, ποτὲ δὲ προβάτου, ποτὲ δὲ ἄλλου τινός.

„ ΙΓʹ. Ἡ κρᾶσις (2) οὐκ ἐναντιοῦται ταῖς ἐπιθυμίαις τοῦ σώματος, ἀλλὰ καὶ συνεργεῖ. Αὕτη γὰρ ἐστὶν ἡ κινοῦσα. Ἡ ψυχὴ ἐναντιοῦται. (ὅρα §. χπβʹ. χπςʹ. χπζʹ. χπηʹ. καὶ §. ψκζʹ. Ἀριθμ. Αʹ. Καὶ §. ψλʹ. Ἀριθμ. Βʹ.)

„ ΙΔʹ. Ἡ κρᾶσις (3) ἅτε δὴ ποιότης γίνεται, καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς. Καὶ ἡ ψυχὴ ἄρα χωρισθήσεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς. Οὐ γὰρ δήπου τὸ ἕτερον τῶν ἀντικειμένων, φυσικῶς προσεῖναι φήσουσι τῷ ζώῳ, ὡς ἐπὶ τοῦ πυρὸς τὸ θερμόν· ἀμετάθετον γὰρ τοῦτο· φαίνεται δὲ μετατιθεμένη ἡ κρᾶσις· μᾶλλον δὲ, αὐτοί εἰσιν, οἱ διὰ τῆς ἰατρικῆς τέχνης τὰς κράσεις μεταβάλλοντες. Ταῦτα δὲ προσίθησι, πρὸς Ἱπποκράτην, καὶ Γαληνὸν, καὶ τοὺς ἄλλους ἐκ τῆς ἰατρικῆς, ὅσοι ποτὲ κρᾶσιν τινα τὴν τῆς ψυχῆς φύσιν εἶναι ἐτόπασαν.

„ ΙΕʹ. Παντὸς σώματος (4) αἱ ποιότητες αἰσθηταί. Ἡ δὲ ψυχὴ οὐκ αἰσθητὴ, ἀλλὰ νοητή.

„ Ιςʹ. Ἡ τοῦ αἵματος, (5) καὶ πνεύματος μετὰ παραθέσεως σαρκῶν, καὶ νεύρων, καὶ τῶν ἄλλων εὐκρασία ἰσχύς ἐστι. Καὶ ἡ τῶν θερμῶν δὲ, καὶ ψυχρῶν, καὶ ξηρῶν, καὶ ὑγρῶν εὐ-

(1) Περὶ Ἀνθρώπου Κεφ. Βʹ. Περὶ Ψυχ.
(2) Αὐτ. Αὐτ. (3) Αὐτ. (4) Αὐτ. (5) Αὐτ.



κρασία, ὑγεία ἐστίν. Ἡ δὲ συμμετρία τῶν μελῶν, μετὰ τῆς εὐχροίας τὸ κάλλος ποιεῖ τοῦ σώματος. Εἰ τοίνυν ἡ ἁρμονία τῆς ὑγείας, καὶ τῆς ἰσχύος, καὶ τοῦ κάλλους, ψυχή ἐστιν, ἀνάγκη τὸν ἄνθρωπον ζῶντα, μήτε νοσεῖν, μήτε ἀσθενεῖν, μήτε ἄμορφον εἶναι. Συμβαίνει δὲ πολλάκις, οὐ μίαν μόνην, ἀλλ' ὁμοῦ τὰς τρεῖς ταύτας εὐκρασίας ἀπόλλυσθαι, καὶ ζῆν τὸν ἄνθρωπον. Συμβαίνει γὰρ τὸν αὐτὸν ὁμοῦ, καὶ ἄμορφον εἶναι, καὶ ἀσθενεῖν, καὶ νοσεῖν. Οὐκ ἄρα ἡ εὐκρασία τοῦ σώματος ἐστὶν ἡ ψυχή. Πῶς οὖν φυσικαί τινες κακίαι, καὶ ἀρεταὶ τοῖς ἀνθρώποις ἕπονται; τοῦτο ἐκ τῆς τοῦ σώματος ἀληθῶς κράσεως γίνεται. Ὡς γὰρ φυσικῶς οἱ ὑγιεινοὶ καὶ νοσώδεις εἰσὶν ἐκ τῆς κράσεως, οὕτω τινὲς φυσικῶς πικρόχολοι ὄντες, ὀργίλοι εἰσὶν, ἄλλοι δειλοὶ, ἄλλοι καταφερεῖς. Ἀλλ' ἔνιοι κρατοῦσι, καὶ περιγίνονται· δῆλον δὲ ὅτι τῆς κράσεως κρατοῦσιν. Ἄλλο δέ ἐστι τὸ κρατοῦν, καὶ ἄλλο τὸ κρατούμενον, ἄλλο ἄρα κρᾶσις, καὶ ἄλλο ψυχή.

## Θεώρημα ΙΗʹ.

§. ψλαʹ. „ Ἐντελέχειαν τοῦ καθ' ἡμᾶς ὀργανικοῦ σώματος τὴν λογικὴν ψυχὴν λέγεσθαι δώσομεν.

Ἐντελέχειαν γὰρ τὸ εἶδος λέγεσθαι δώσομεν, ᾧπερ ἀλλήλων τὰ ὁμογενῆ διαφέρει. (1) Καὶ ἥτις ἐστὶ τῷ ἔχοντι πρώτη πρὸς τὴν δευτέραν ἐνέργεια. (§. ρλγʹ.) Ἀλλὰ μὴν διὰ τῆς λογικῆς ψυχῆς, τῶν ἀλόγων ζώων διακρίνεται ἄνθρωπος, καθ' ἣν καὶ τῶν πολλῶν καὶ καλῶν ἐκείνων εὐμοιρεῖ δυνάμεων, (§. χξηʹ. κτ. Δι' ὅλου τοῦ Αʹ. Κεφ.) αἷς γνωστικῶς τε, καὶ ζωτικῶς ἐνεργεῖ. Ἄρα κτ.

Σχό-

(1) Φιλόπ. ἐν Βʹ. Περὶ Ψυχ. καὶ οἱ λοιποὶ.

## Σχόλιον.

§. ψλβ'. Ἄτε δὴ καινοπρεπῆ τινα τῷ ὄντι, καὶ παρ' οὐδενὶ τῶν πρὸ Ἀριστοτέλους ἐν χρήσει γενομένην τὴν φωνὴν τῆς ἐντελεχείας, οἱ μὲν ὡς ἀσαφεστέραν κακίζουσιν, οἱ δὲ καὶ ὡς ἄτοπον διακωμῳδοῦσιν· ἐνδελέχειαν, εἰσὶν οἳ (1) μετωνόμασαν ἐπὶ τὸ διηνεκές τε καὶ ἀδιάλειπτον κατὰ τὴν ἀεικινησίαν τῆς ψυχῆς ἀπιδόντες. Οἱ δὲ (2) ἀπαραποίητον τὴν φωνὴν διετήρησαν εἰς ἡμᾶς παραπέμψαντες. Φέρεται δὲ καὶ Ἑρμόλαόν τινα, τἠπίκλην βάρβαρον, οὕτως ὑπεσφαδάσαι πρὸς τὴν τοῦ λεξειδίου σύνεσιν, ὡς ἀπεγνωκότα τέως τῶν ἀνθρώπων, ὑπὸ κακοδαίμονος (πρέποντι ἑαυτῷ δηλονότι τῷ Καθηγεμόνι χρησάμενον) αἰτῆσαι τὴν διασάφησιν. Καὶ perfectihabiam μυηθέντα διερμηνεῦσαι. (3) Καὶ ὁ Ἄγγλος δὲ Βερνέτιος (4) τὴν Entelechian vocem barbaram, et ambiguam, et immortalitatis dubiæ προσεῖπεν, φωνὴν βάρβαρον, καὶ ἀμφιβαλλομένην, καὶ τὸ τῆς Ἀθανασίας καθιστῶσαν ἀμφισβητήσιμον. Ἔοικε δὲ μηδὲ τῷ Πλωτίνῳ πάνυ τι ἐγκεχειρῆσθαι τὸν ὅρον „Εἰ δεῖ τῷ ὀνόματι τούτῳ χρῆσθαι (5) „ χρέφοντι. Ὁ γε μὴν Σκαλίγερος, εἰ καὶ μὴ Ἕλλην, ἀλλ' ἑλληνικόν τι ἔφρασε πάντως. παρὰ τὴν ἐν, καὶ τὸ τέλος, καὶ τὸ ἔχειν ἐτυμολογήσας τὴν λέξιν (6), ἂν τὸ μὲν φησί, τὸ ἐν σώματι ὡς μέρος ἀνθρώπου τὴν ψυχὴν εἶναι δηλοῖ, τοῦθ' ὃ τοῖς Πλατωνικοῖς ἡ ἐμψυχία οἶμαι ἐδήλου· (7) τὸ δ' ὅτι τελειωτικὴ τοῦ σώματος γίνεται, τὸ δ' ὅτι ὑπ' αὐτῆς τῷ σώματι καὶ τὸ δύνασθαι, μαθὼν ἴσως παρὰ

Φι-

(1) Κικέρων Τουσκουλ. Ζητημ. Βιβλ. α'. Κεφ. ι'.
(2) Οἱ Ὑπομνημ. καὶ οἱ Σχολας.
(3) Ὅρα ἐν Διαλέξει ΦυσικοΚριτικῇ πρὸ τῶν Φυσικ. Μουσχεμβροικίου Κεφ. β'. §. 29.
(4) Αὐτόθι.
(5) Ἐν τῷ περὶ Ἀθανασ. Ψυχῆς παρ' Εὐσεβ.
(6) Ἐν Γυμνάσμασι Τμήμ. γ'.
(7) Παρὰ Πορφυρίῳ, καὶ ἄλλοις.



Φιλοπόνου (1) ὅτι παρὰ τὸ ἐν, καὶ τὸ τέλειον, καὶ τὸ συνέχειν. „ Καὶ γὰρ ἑνώσεως ἐστὶ τῇ ὕλῃ τὸ εἶδος αἴτιον, καὶ „ τελειώσεως· ἐπεὶ καὶ τελειότης ἐστὶ τοῦ ὑποκειμένου, καὶ συ„ νέχει αὐτό· ἢ ἄλλως, τὸ ἐν τῷ τέλει εἶναι· ἐν ᾧ γὰρ ἕ„ καστον ἔχει τὸ εἶναι, ἐν τούτῳ καὶ τὴν οἰκείαν τελειότητα. Καὶ ἡ μὲν δύναμις τῆς φωνῆς αὕτη. Οὐδεὶς δ' ἂν ἐπιμέμψαιτο δικαίως Ἀριστοτέλει τὸ καινοπρεπὲς τοῦ ὀνόματος, εἰ μὴ φθάσας ἀποδείξειε μὴ συνᾷδον τοῖς πράγμασιν. Ἐφεῖται γὰρ δήπου τοῖς σοφοῖς ὀνοματοθέταις εἶναι, ὡς Πλάτων ἐν Κρατύλῳ φησίν. Εἶναι δὲ καὶ πάνυ προσφυῶς ἔχον ἐμοὶ δοκεῖ, τὸ τῆς ἐντελεχείας ὄνομα, διά τε τὰ εἰρημένα, καὶ ὅτι διττῶν τῶν τελειοτήτων οὐσῶν, τῶν μὲν πρώτων, οἷαι αἱ καθ' ἕξιν, τῶν δὲ δευτέρων, οἷαι αἱ κατ' ἐνέργειαν, καὶ τῶν μὲν αὖθις χωριστῶν, τῶν δὲ ἀχωρίστων, ὡς παρὰ τοῖς ὑπομνηματισταῖς ἐστιν ἰδεῖν, ἅπαν εἶδος ψυχῆς, καὶ δύναμιν πᾶσαν, οὕτως ὑφ' ἑνὶ καὶ τῷ αὐτῷ συμπεριλαβεῖν ὁ Σταγειρίτης ἔσχεν ὀνόματι. Κἂν γὰρ ἡ κατὰ τὴν ψυχὴν δύναμις, ἀργοῦσα ποτὲ εἴη ὡς ἐν ὕπνοις ἡ αἴσθησις, καί, ἧπερ αὐτῷ Ἀριστοτέλει κατά τινας δοκεῖ, καὶ ὁ νοῦς, κατὰ τὸ Β'. δυνάμει, ᾗ φασί, καὶ ὁ Α'. ἐστὶν ἐνεργείᾳ. Κἂν ἐν διηνεκεῖ τε καὶ ἀπαύστῳ κέοιτο ἐνεργείᾳ (ὃ περὶ τοῦ Νοῦ πολλοὶ ὑπειληφότες εἰσὶ τῶν ὕστερον) ὡς αἱ ζωτικαὶ δυνάμεις ἐπὶ τῶν αἰσθητικῶν, καὶ ἐπὶ τῶν φυτῶν ἰδίᾳ αἱ φυτικαί, ὃ καί τοι Β'. ὂν ἐνεργείᾳ, τὸ γε μὴν πρῶτον ἐξ ἀνάγκης προϋποτίθησιν, ἐξέσται πάντως πρώτην ἀποκαλεῖν ἐντελέχειαν τὴν ψυχήν· τοῖς μὲν ὅτι οὐ Β'., τοῖς δέ, ὅτι διὰ τὴν Α'. ἢ Β'. Ἄλλως τε ἐπεὶ τὸ Α'. καὶ Β'. ἐπὶ τοῦ εἴδους τοῦ οὐσιώδους λέγειν οὐκ εὔλογον τῷ ἐξ Ἀφροδισιάδος δοκεῖ, προσῆκε δὲ καὶ ταῖς δυνάμεσι, καὶ ταῖς ἐνεργείαις προσχρήσασθαι εἰς ἔκθεσιν τῆς ψυχῆς, παρεὶς τὸ πεφυκὸς σημαίνειν θάτερον, μετέλαβεν τὴν ἐντελέχειαν τὴν δυναμένην ἑκάτερον. Εἶτα καὶ τὸ συμβεβηκὸς (καθάπερ ὁ Φιλόπονος φησὶν) εἶδος ἂν κληθείη· οἷον προγάστορα τὸν Σωκράτην τὸ εἶδος γενέ-

σθαι

(1) Ἐν Ὑπομνήμ. εἰς τὸ Περὶ Ψυχ.

θαι ἀκούομεν. Τὸ δὲ συμβεβηκὸς τελειότης οὐκ ἔστιν (οὐσιώδης δηλ.) ἡ δὲ ψυχὴ τελειότης, ἔδει ἄρα διὰ τῆς ἐντελεχείας, τὴν τελειωτικὴν κατ' οὐσίαν οὖσαν τοῦ ἐμψύχου ψυχὴν γνωρίζεσθαι. Καὶ ἐπὶ τούτοις δέ, (ὃ καὶ μάλιστα σημειῶδες.) ἡ ἐντελέχεια, καὶ ἐπὶ τοῦ ἀχωρίστου τοῦ σώματος, καὶ ἐπὶ τοῦ χωριστοῦ ἐπίσης λέγεται εἴδους. „ἔστι γὰρ τελειό„της (1) καὶ ὁ Κυβερνήτης τοῦ πλοίου, καὶ τὸ τῆς σαρκὸς εἶ„δος, τοῦ τῆς σαρκὸς σώματος. Ἐπεὶ δὲ τὴν ψυχὴν, οἱ μὲν ὡς οὕτως, οἱ δ' ὡς ἐκείνως ἔχειν ὑπειλήφασιν, αὐτῷ δὲ καὶ τῶν ψυχῶν, τὰς μὲν μὴ ἀχωρίστους εἶναι τοῦ σώματος ἐδόκει, τὰς δὲ οὐδὲν κωλύειν χωρίζεσθαι (2), ἐνθένδε τοι ὀνόματι τούτῳ πάνυ προσηκόντως ἐχρήσατο, οἷον ἂν ἀδιαφοροῦν εἴη τῇ δυνάμει πρὸς τὴν ἑκατέρου ἐκδήλωσιν. Οὐχὶ τὸ ἄπορον τοῦ πράγματος τῷ ἀσαφεῖ τοῦ λόγου περιστέλλων ἐνταῦθα, οὐδ' ἐξιστάμενος τὸν ἔλεγχον, καὶ ὥσπερ αἱ σηπίαι τὸ δυσθήρατον, ὡς ἔφησέ τις, ἐκ τοῦ σκοτεινοῦ πορίζόμενος, πρᾶγμα δὲ πολύτροπον, οἵαν τὴν ψυχὴν, πλατυτέρῳ περιαμπέχων ὀνόματι. Διὸ οὐδὲ ὢν Πλωτῖνος καὶ τῆς ἐντελεχείας (3) πρὸς Ἀριστοτέλην ἐπιφορεῖ τοιοῦτον εὑρίσκω οὐδὲν, οἷον μὴ εὐχερῆ τὴν ἐπίλυσιν ἐπιδέχεσθαι, οὐδὲ τοῦ Πορφυρίου ἀκούων (4) „πῶς οὐκ αἰσχρὸς, „λέγοντος, ὁ ἐντελέχειαν τὴν ψυχὴν τιθεὶς λόγος (καίτοι οὐ δυσκινήτως μὰ Δία πρὸς αἰσχύνην ἔχων αὐτὸς) οὐδὲ βραχὺ γοῦν αἰσχυντιῶν ὑπαισθάνομαι.

## Θεώρημα ΙΘ΄.

§. ψλγ΄. „Ἐντελέχειαν τοῦ φυσικοῦ ὀργανικοῦ σώματος, „τὴν λογικὴν ψυχὴν ἀχώριστον εἶναι διισχυρίζεσθαι ἄτο„πον.

Ἡ

(1) Φιλόπον. Ὑπομν. Εἰς Β΄. Περὶ Ψυχ.
(2) Ἀριστ. ἐν Λ. Μεταφυσ.
(3) Ἐν τῷ Περὶ Ἀθανασ. Ψυχ.
(4) Παρεύρ. πρὸς Βόηθον.



Ἡ γὰρ ἀχώριστος ἐντελέχεια ἐνυφέστηκεν ὡς ἐν ὑποκειμένῳ τῷ σώματι, καθ' ἑαυτὴν ὑποστῆναι μὴ ἔχουσα. (ἐξ ὑποθ.) Ἀδύνατον δὲ τῇ ἐνύλῳ οὐσίᾳ, τὴν ψυχὴν οὕτως ἐνυφεστηκέναι. (§. ψκη΄.) Ἄρα κτ.

## Πορίσματα.

§. ψλδ΄. Πρῶτον τοιγαροῦν ἡ λογικὴ ψυχὴ, καθ' ἑαυτὴν ἔσται ὑφισταμένη, καὶ ἀναλυθεῖσα τοῦ σώματος. (§. σγβ΄.)

§. ψλε΄. Β΄. Κἀντεῦθεν, καὶ (§. ψγς΄. ψγζ΄.) καὶ §. σκζ΄. καὶ ρπε΄.) οὐσία πρώτως καὶ κυριώτατα.

## Σχόλιον.

§. ψλς΄. Ὅτι μὲν οὖν οὐκ ἀδυνάτως ἔχει, τὸ καθ' αὑτὸ ὑφεστάναι δυνάμενον, καὶ χωριστὸν εἶδος, συναφθὲν τῇ ὕλῃ, καὶ τὴν πρὸς αὐτὴν σχέσιν ἀναδεξάμενον, εἰδικὸν συνθέτου γενέσθαι φύσεως, ἐν ἄλλοις που (§. ρμη΄. ρμθ΄.) δέδεικται. Ὡς δὲ ἡ λογικὴ ψυχὴ τοιαύτη ἐστὶν, οὐκέτι οἶμαι ἀμφήριστον. Ἐπεὶ καὶ ἐν ὕλῃ ἀνεφάνη τὸ εἶναι μὴ ἔχουσα ἀχωρίστως (§. ψκη΄. ψκθ΄. ψλ΄.) καὶ ἐντελέχεια ἀνεδείχθη τὸ φυσικὸν ὀργανικὸν σῶμα κινοῦσα, καὶ τελειοῦσα (§. ψλα΄. ψλβ΄.) οὐκ ἂν ἀχώριστος οὖσα αὐτοῦ (§. ψλγ΄.) καθ' ἑαυτὴν δὲ μάλα ὑφίστασθαι πεφυκεῖα (§. ψλδ΄.) καὶ οὐσία κυριώτατα, καὶ πρώτως τυγχάνουσα. (§. ψλε΄.) ῥᾴδιον δὲ συνιδεῖν ἔσται, ὅπως καὶ τὰ τοῦ εἴδους ἐν ἀνθρωπίνῳ τελοῦσα σώματι, οὐ μὴν παρὰ τοῦτο καὶ τὰ ἀχώριστα τῶν εἰδῶν, οὕτω τῇ ὕλῃ ὑποβρύχιος γίγνεται, ὡς ταύτης οὐδ' ἰδίας ἀμοιρεῖν ὑποστάσεως, διασκεψαμένοις τὴν τῆς λογικῆς ψυχῆς πρὸς τὰ λοιπὰ εἴδη διαφοράν. Τὰ μὲν γὰρ, εἰ καὶ οὐσιώδη καλεῖται, ὡς ἄρα συστατικὰ τῆς τοῦ συνθέτου οὐσίας γινόμενα, ἀλλ' οὐχὶ καὶ οὐσίαι αὐθύπαρκτοι εἰσὶν, (§. ρμδ΄.), καὶ αὐτόσχημα ὄντα, τρόποι δέ τινες, καὶ διαθέσεις, καὶ δυνάμεις τὴν ὕλην χαρακτηρίζουσαι, καὶ διορίζουσαι. (§. χα΄. χβ΄.) Ἡ δὲ ὄντι ἐστὶ, καὶ οὐσία αὐθύπαρκτος (§. ψλδ΄. ψλε΄.)

ψλέ.) Καὶ τὰ μὲν τῷ κατ' αὐτὰ οὐσιώδει λόγῳ τὴν ὕλην εἰδοποιεῖ, καθ' αὑτὴν οὖσαν ἀνείδεον· ἡ δὲ σωματικῶς ἤδη μεμορφωμένην, οὐ τῇ οὐσίᾳ τῇ ἑαυτῆς, ταῖς δ' ἐνεργείαις, ἐπιγινομένη τελειοῖ, ζωοῦσά τε αὐτήν, καὶ αἰσθήσεως, καὶ νοῦ δεκτικήν, ἐπακτὸν ἀποφαίνουσα. Ἄριστα τὸν λόγον τῆς διαφορᾶς ὁ Φιλόπονος ἡμῖν ὑποτίθησιν. „Ἡ γὰρ ἐντελέχεια, φησί, λέγεται, καὶ ἐπὶ τοῦ εἴδους τοῦ ἀχωρίστου τοῦ σώματος, καὶ ἐπὶ τοῦ χωριστοῦ. Ἔστι γὰρ τελειότης, καὶ ὁ Κυβερνήτης τοῦ πλοίου, καὶ τὸ τῆς σαρκὸς εἶδος, τοῦ τῆς σαρκὸς σώματος. Ἀλλ' ὁ μὲν χωριστὸς ὢν τοῦ πλοίου, μόνην τὴν ἑαυτοῦ ἐνέργειαν, τελειωτικὴν ἔχει τοῦ πλοίου· τὸ δὲ τῆς σαρκὸς εἶδος, καὶ καθόλου τὰ ἔνυλα εἴδη αὐτῇ τῇ οὐσίᾳ ἑαυτῶν (τῷ οὐσιώδει δηλ. λόγῳ) τελειωτικά ἐστι τῶν ὑποκειμένων. Οὕτως οὖν καὶ ἐπὶ τῶν ψυχῶν, ἡ μὲν ἄλογος ψυχή, καὶ ἡ φυτικὴ ἀχώριστον ἔχουσα τὴν οὐσίαν τοῦ ὑποκειμένου, καὶ μηδὲ ἐνεργῆσαι χωρὶς τοῦ ὑποκειμένου δυναμένη, αὐτὴν τὴν οὐσίαν ἔχει τελειωτικὴν αὐτοῦ· ἡ μέντοι λογικὴ ψυχή, οὐ τῇ οὐσίᾳ, ἀλλὰ τῇ ἐνεργείᾳ μόνῃ τελειοῖ τὸ ζῶον· τῇ βουλήσει γὰρ ἑαυτῆς κινεῖ αὐτὸ πιῶς δέ, ἢ πιῶς δέ, ὡς ὀργάνῳ τῇ ἀλόγῳ ψυχῇ χρωμένη.

## Θεώρημα Κ'.

§. ψλζ'. „Τῶν τὰ Ἀριστοτέλους ἀκριβῶν, οἱ τοῖς ἰδίοις αὐτῶν ὑπομνήμασι, πρόθεσιν ποιουμένων, οἱ τοῦτον ὡς ἐντελέχειαν ἀχώριστον τὴν λογικὴν ψυχὴν ὑπειληφότα διερμηνεύοντες, ἢ ὅτι πορρωτάτω τῆς διανοίας τοῦ ἀνδρὸς βάλλουσιν, ἢ ἐπίτηδες διαβάλλουσιν· ὧν τὸ μὲν ἀηθείας, τὸ δὲ κακοηθείας ἐπίσημον τῆς ἐσχάτης.

Δείκνυται δὴ ἐξ αὐτῶν αὐτοῦ τῶν ῥημάτων ὧδε.

Α'. Ἐν τῷ Λ τῆς Μεταφυσικῆς, τὰ ἔνυλα τῶν εἰδῶν ἀχώριστα τῆς ὕλης εἶναι ἀποφαινόμενος, τὴν λογικὴν ψυχὴν σαφῶς τῶν ἄλλων ὑπεξαιρεῖ. Φησὶ γάρ „τὰ δ' ὡς ὁ λόγος, (ἤτοι τὰ εἰδικά.) ἅμα· ὅτε γὰρ ὑγιαίνει ὁ ἄνθρωπος, τότε καὶ ἡ ὑγίεια ἔστι. Καὶ τὸ σχῆμα τῆς χαλκῆς



σφαίρας ἅμα, καὶ ἡ χαλκῆ σφαῖρα. Εἰ δὲ καὶ ὕστερόν τι ὑπομένει σκεπτέον· ἐπ' ἐνίων γὰρ οὐδὲν κωλύει, οἷον εἰ ἡ ψυχὴ τοιοῦτον, μὴ πᾶσα, ἀλλ' ὁ νοῦς. Διὰ δὲ τοῦ νοῦ τὴν ἐν ἀνθρώπῳ λογικὴν σημαίνειν ἀεὶ φιλεῖ, ὡς οἱ ἐξηγηταὶ κοινῇ ἐξειλήφασιν. Ἄλλως δέ, καὶ τίνα νοῦν ἄλλον ἐνταῦθα νοεῖν παρέχοιτο, ἢ τὸν ἐν ἡμῖν, ὃν ψυχῆς τι εἶδος καὶ αὐτὸν βούλεται εἶναι „ψυχή, λέγων, μὴ πᾶσα, ἀλλ' ὁ νοῦς. καὶ περὶ οὗ, εἰ ὕστερον ὑπομένει, ὡς ὑπὸ ζήτημα πίπτον, σκεπτέον εἶναι ἠξίωσεν;

Β'. Ἐν Α'. περὶ Ψυχῆς· „ὁ δὲ νοῦς ἔοικεν ἐγγίνεσθαι, φησίν, οὐσία τις οὖσα, καὶ οὐ φθείρεσθαι· ὃ δὴ χωρίον ὁ Σιμπλίκιος, οὕτως ἡρμήνευσε. „Τὴν δὲ ἀνθρωπίνην ψυχήν, ἣν νοῦν καλεῖ, ἐγγίνεσθαι φησὶ τῷ σώματι, ἀλλά ποτε, καὶ ὡς χωριστήν· ὅπερ ἀλλαχοῦ φησὶν ἐπεισιοῦσαν. Καὶ οὐσίαν τινὰ εἶναι ἀποφαίνεται, οὐχ ὅτι μὴ αἱ ἄλλαι ψυχαὶ οὐσίαι (ἤτοι λόγοι οὐσιώδεις)· πᾶσα γὰρ ζωὴ οὐσία, ἀλλ' ὡς ἄϋλον ὑπάρχουσαν, καὶ καθ' αὑτὴν ὑφεστῶσαν. Τὸ δὲ τις πρόσκειται, ἵνα τὴν πρὸς τὰς ἀεὶ μενούσας, ἐν ἑαυταῖς ὕφεσιν αὐτῆς δηλώσῃ. Οὕτω γὰρ καθ' αὑτὴν ἀσώματος, καὶ ἄϋλος, ὡς ποτέ, καὶ σώματι ἐγγινομένη, καὶ εἰς ὕλην ῥέπουσα, οὐ φθείρεσθαι. Οὕτως οὖν σαφὴς ἡ Ἀριστοτέλους ἐν τούτοις περὶ τῆς ψυχῆς δόξα, ὡς καὶ τὸν Ἀλέξανδρον (ᾗ φησὶν ὁ Φιλόπονος) ἀντιβλέψαι μὴ δυνάμενον πρὸς τὰ προφανῶς ὑπὸ Ἀριστοτέλους λεγόμενα, ὁμολογεῖν μὲν ἑκόντα καὶ ἄκοντα τὸν νοῦν Ἀθάνατον εἶναι, ἐπεὶ μὴ εὗρεν ἄλλην ἐξήγησιν τῷ ῥητῷ ἁρμόζουσαν, σύμφωνον τῷ ἑαυτοῦ σκοπῷ.... ταύτην δὲ μόνην παραμυθίαν εὑράμενον, τὴν ἐκ τοῦ ἑξῆς χωρίου, ἔνθα Ἀριστοτέλης περὶ τοῦ αὐτοῦ Νοῦ λέγων „ὁ δὲ νοῦς ἴσως, φησίν, θεῖόν τε καὶ ἀπαθές ἐστι, ταύτης δράξασθαι ἀμφοῖν, ὡς αὐτῷ τὸ θνητόψυχον κατασκευαζούσης, καὶ εἰπεῖν ὅτι περὶ τοῦ θείου Νοῦ, τουτέστι τοῦ Θεοῦ αὐτοῦ, ὁ λόγος ἐστίν. Ὅσῳ δὲ ψυχρά, καὶ ὅσῳ ἀπῳδά, τοῦτε Ἀριστοτέλους αὐτοῦ, καὶ τῆς ἀληθείας, ταῦτα τὰ τοῦ Ἀφροδισιέως ἐστίν, οὐ χαλεπὸν συνιδεῖν ἐντεῦθεν ἐπισκεψαμένοις. „Α'. γὰρ εἰ τὸν νοῦν Ἀριστοτέλης τοῦτον φησὶν ἐγγίνεσθαι, πῶς περὶ Θεοῦ τις λέγειν ἐκεῖνον ὑποτοπήσειεν, τοῦ μὴ πεφυκότος ἐγγ-

γίνεσθαι σώματι; Καὶ ἀεὶ μὲν ὄντος, ὅπερ ἐστὶ, μηδέποτε δὲ μηδέ ποτε γινομένης; Β΄. „ἐπεὶ δὲ προσέθετο, ὅτι καὶ οὐσία „τις, καὶ ὅτι οὐκ ἔοικε φθείρεσθαι. τίνα εἶχεν ὑπονοίας λόγον τοῦ ὑφειμένως οὕτω περὶ τῆς θείας ὑπερουσιότητος εἰπεῖν, καὶ μεθ' ὑποδοιασμοῦ περὶ τοῦ ἐν τῷ ἀκροτάτῳ, καὶ ἀπειροτελείῳ ἀφθάρτου διαλεχθῆναι; Γ΄. τί δὲ καὶ τὸ τοῦ Νοῦ ὄνομα εἰς τὸ τῆς ψυχῆς μετέλαβε μετὰ μικρὸν, προσθεὶς „ὅτι τὸ γῆρας, οὐ τῷ τὴν ψυχὴν πεπονθέναι τι, κτ. ἢ οὐχὶ αὔτικρυς ἑρμηνεύων αὐτὸς τὰ αὐτοῦ, κατάδηλος γίνεται, ὡς περὶ τοῦ κατὰ τὴν λογικὴν ψυχὴν νοῦ, (ἤτοι τῆς κατ' αὐτὴν διανοητικῆς δυνάμεως) φιλοσοφεῖ, ἐκθειάζων τε αὐτὴν, καὶ πάθους παντὸς κρείττονα ἀποφαίνων, καὶ τῶν ἄλλων τῆς ψυχῆς εἰδῶν ἀντιδιαστέλλων, τῶν συμπασχόντων σαφῶς καὶ συνδιαπιπτόντων τοῖς σώμασιν; Δ΄. κατασκευάζων δὲ ὁ Ἀριστοτέλης τὸ προτεθὲν αὐτῷ, τοῦτο δὲ ἦν, τὸν νοῦν μὴ φθείρεσθαι, καὶ τεκμήριον παραθέμενος τὸ „μὴ φθοράν „τινα πάσχειν αὐτὸν ἐκ τῆς κατὰ τὸ γῆρας ἀμαυρώσεως, πῶς οὐκ ἂν εὐήθης εἴη, καὶ τῷ ὄντι παγγέλοιος, εἰ ἐντεῦθεν πρυτανεύειν τῷ ὑπερτάτῳ Θεῷ τὴν ἀφθαρσίαν ἐνόμισεν; Ἀλλὰ γὰρ σαφὲς οἶμαι (καθὰ καὶ ὁ Φιλόπονος φησὶν) „ὅτι συκοφαντοῦσι τὸν Ἀριστοτέλην, ὅσοι θνητὴν „λέγειν αὐτὸν τὴν ψυχὴν ὑπονοοῦσι.

Γ΄. „Ὁ δὲ νοῦς ἴσως (φησὶ) θειότερόν τι, καὶ ἀπα„θές ἐστιν. Ἔνθα ὁ Φιλόπονος „οὐχ ὡς ἀμφισβητῶν τὸ „ἴσως προσέθηκεν, ἀλλ' ὡς μήπως τελείως ἀποδείξας... „μάταιοι ἄρα οἱ ὑπονοήσαντες αὐτὸν θνητὴν αὐτὴν δο„ξάζειν. Ἐν οἷς ἔτι καὶ τόδε τις ἐπιστήσας εἴποι, ὡς πολλῷ εὐλογώτερον, τὸ περὶ τῆς ψυχῆς φαίνεται ὑποδιστάζειν, εἰ ἀπαθὴς οὖσα ἐστὶν, ἢ περὶ τοῦ Θεοῦ, τὸ μὲν γὰρ ἦν τοῦ πᾶσαν ἄλλην ψυχὴν εἰδότος ὑπὸ πάθεσιν οὖσαν, καὶ πῶς εἰς φθορὰν ἀποκλίνουσαν· τὸ δὲ μόνου ἂν εἴη, τοῦ ἅμα ταῖς κοιναῖς ἐννοίαις συνεξεπτυκότος καὶ τὸν ἐγκέφαλον.

„Δ΄. Εὐλογώτατον γὰρ εἶναι τοῦτο, φησὶ, (περὶ τοῦ νοῦ „λέγων.) πρεσβύτατον καὶ κύριον κατὰ φύσιν. Εἰ γοῦν πρεσβύτατον τοῦ σώματος καὶ ἀρχικὸν, πῶς οὐ χωριστὸν, καὶ μηδόλως ἐκείνου τὸ εἶναι ἐξηρτημένον; τὸ γὰρ ἀχώριστον, οὐδὲ

προ-



πρότερον, οὐδ' ὕστερον, ἅμα δὲ, ὡς αὐτὸς ἐν τοῖς Μεταφυσικοῖς περὶ τῶν εἰδῶν σαφῶς ἀποφαίνεται. Ἔνθα μοι πάλιν σκόπει, μηδένα λόγον γίνεσθαι περὶ τοῦ Θεοῦ οὐδ' ἐνταῦθα. (ὡς αὖτις φαίη, τὸν τοῦ Φιλοσόφου νοῦν διαστρέφειν πειρώμενος.) Τὸ γὰρ τῇ ὕλῃ τε καὶ τοῖς ἐνύλοις τῶν παθῶν παρεντιθέντα, τῆς πρεσβυγενείας ἀξιοῦν ἐθέλειν τὸ θεῖον, ὕβρεις αὔτικρυς οὖσα, κομιδῇ ἀθέου τε καὶ ἀλόγου ἂν εἴη φρονήματος ἔλεγχος.

Ε΄. Ὅτι μὲν οὖν οὐκ ἔστιν ἡ ψυχὴ χωριστὴ τοῦ σώματος, „ἢ μέρη τινὰ αὐτῆς, εἰ μεριστὴ πέφυκεν, οὐκ ἄδηλον. Μέρη τοίνυν ψυχῆς ἐνταῦθα τίνα ποτὲ ἄλλα ἐκδεξόμεθα, ἢ ἃ μόρια ἐν ἄλλοις κατονομάζει; μόρια δὲ ψυχῆς, ὡς ἐξ αὐτοῦ εἰσβάλλειν ἐστὶν, αἱ δυνάμεις. Αὗται δὲ εἰσὶν ἡ θρεπτικὴ, ἡ αὐξητικὴ, ἡ αἰσθητικὴ, ἡ διανοητικὴ, ἡ βουλητική. Τὸ γοῦν τινὰ τῶν μορίων μὴ εἶναι χωριστὰ, οὐκ ἄδηλον ἔχει, ἀλλ' ὡς ἔοικε τῶν προδηλοτάτων. Τὸ ἄρα τινὰ μὴ ἀχώριστα εἶναι, ἐξ ὧν ὑπολαμβάνειν δοκεῖ, ἄδηλον. Λέγει γὰρ καὶ ἐχομένως „οὐ μὴν ἀλλ' ἔνιά γε χωρι„στὰ εἶναι οὐδὲν κωλύει. Τίνα δ' ἂν εἴη ταῦτα; εἰ μὴ τὸ μόριον τοῦ νοῦ φαίημεν, καὶ αὐτὴν τὴν λογικήν; Ὁ δ' αὐτὸς, καὶ ἐπὶ παραδείγματος τὸ αὐτὸ ἐπαναλαβὼν φησὶν „ἔ„τι δὲ ἄδηλον λέγων, εἰ οὕτως ἐντελέχεια τοῦ σώματος ἡ „ψυχὴ, ὥσπερ πλωτὴρ πλοίου. Καὶ Ἀλέξανδρος μὲν αὖθις κἀνταῦθα, ἁρπάσας τὸ ἄδηλον, προδήλως ἐφίετο ψυχοκτονεῖν, ὑπενδοιάζειν λέγων τὸν Ἀριστοτέλην, καὶ μὴ μετὰ πληροφορίας ἀποφαίνεσθαι. Ἀλλ' ἐπιστῆσαι ὤφειλεν, ὅτι ἄδηλον εἶπεν, ὡς μήπω περὶ τῶν λογικῶν τῆς ψυχῆς δυνάμεων καθ' αὐτὸ διειλεγμένος, ὡς μήπω κατασκευάσαι τὸ προκείμενον φθάσας. Ἐπεὶ μικρὸν προελθὼν, καὶ περὶ τῶν τιμιωτέρων τῆς ψυχῆς μορίων πραγματευόμενος, καὶ τούτων „ἔνια κατασκευάσας ἀχώριστα ἀλλήλων εἶναι τῷ τόπῳ, „περὶ τοῦ νοῦ, καὶ τῆς θεωρητικῆς δυνάμεως, φησὶν, οὐδέ„πω φανερόν. Τὸ δὲ πρὸ τῆς ἀκριβοῦς δείξεως, ἐνδοιάζοντι ἐοικέναι ἐπιεικῶς φιλόσοφον.

„ς΄. Ἀλλ' ἔοικε, φησὶ, ψυχῆς γένος ἕτερον εἶναι, καὶ „τοῦτο μόνον ἐνδέχεται χωρίζεσθαι, καθάπερ τὸ ἀΐδιον τοῦ „φθαρτοῦ. (τί τούτου ἐναργέστερον;) Τὰ δὲ λοιπὰ μόρια



„τῆς

„ τῆς ψυχῆς, φανερὸν ἐκ τούτων, ὅτι οὐκ ἔστι χωριστά, κα-
„ θάπερ φασί τινες.

„ Ζ'. Περὶ δὲ τοῦ θεωρητικοῦ νοῦ ἕτερος λόγος. Οὐδ' ἐν-
ταῦθα ὑγιές τι ὁ ἐξ Ἀφροδισιάδος φησί, αὐτὶ τοῦ θείου
νοῦ, τὸν θεωρητικὸν ἐκδεχόμενος· τὸν γὰρ θεωρητικὸν τοῦ
ἐν ἡμῖν πρακτικοῦ, τῷ μὲν ὑποκειμένῳ ὁ Φιλόσοφος ταυτί-
ζων, ταῖς δ' ἐνεργείαις διαστέλλων, ἐν ἡμῖν τε εἶναι αὐτὸν,
καὶ ἡμέτερον ἀποδείκνυσιν. „ Ἕτερος δὲ φησὶ περὶ τούτου λό-
„ γος· ὡς γὰρ ὁ αὐτὸς ἐν τῷ Ε. τῆς Μεταφυσικῆς φυσικοῦ
„ μὲν ἐστὶ τὸ διαλεχθῆναι περὶ ψυχῆς οὐ πάσης, ἀλλ' ὅ-
„ ση μὴ ἄνευ τῆς ὕλης, τοῦ γὰρ Θεολόγου τὸ περὶ τῶν χω-
„ ριστῶν εἰδῶν διαλέγεσθαι. Ἐξ ὧν συναγαγεῖν ἔνι ὀρθώ-
τατα, ὡς οὐ πᾶσα ψυχὴ τῶν οὐκ ἄνευ τῆς ὕλης ἐστὶν, ἀλ-
λ' ἔστι καί τις, καθ' ἑαυτὴν ἀμιγὴς, ἧς ἰδιάζουσα τοῖς Θεο-
λογοῦσιν ἡ σκέψις, ὧν ἐστὶ τὸ περὶ τῶν χωριστῶν εἰδῶν δια-
λέγεσθαι.

Η'. Ἐν τῷ Γ'. τῶν περὶ ψυχῆς προθέμενος περὶ τούτου
ζητῆσαι μάλιστα, „ καὶ τὴν ἀπορίαν στήσας περὶ τοῦ μο-
„ ρίου τῆς ψυχῆς, ᾧ γινώσκει τε ἡ ψυχὴ καὶ φρονεῖ, πότε-
ρον χωριστὸν ὂν αὐτὸ τυγχάνει, εἴτε καὶ μή; ἐπιφέρει ὡς
ἐπαναγκες „ ἐπεὶ πάντα νοεῖ, ἀμιγῆ εἶναι· ὥσπερ φη-
„ σὶν Ἀναξαγόρας ἵνα κρατῇ, τοῦτο δ' ἐστὶν ἵνα γνωρίζῃ.
Φανερὸν δὲ ὅτι Ἀναξαγόρας χωριστὸν παντὴ τὸν νοῦν τῆς
σωματοειδοῦς φύσεως ὑπετίθετο, οὐσία ἄϋλον εἶναι τιθέ-
μενος. Ἄρα κτ. Προσεμπεδοῖ δὲ τὴν περὶ τούτου δόξαν ἣν
ἔχει Ἀριστοτέλης, καὶ κατωτέρω ἐπαγαγὼν περὶ τοῦ αὐτοῦ
„ νοῦ, ὡς οὐδὲ μεμίχθαι αὐτὸν εὔλογον τῷ σώματι, ὅπερ
„ ἰσοδυνάμον ἐστὶ τῷ κατ' Ἀναξαγόραν, ἀμιγῆ εἶναι τοῦ
„ σώματος.

„ Θ'. Καὶ αὐτὸς ὁ νοῦς χωριστὸς, φησὶ, καὶ ἀμιγής. ( ἢ
οὐχὶ τοῦτο σύμφωνον τῷ μικρὸν ἀνωτέρω, ὅτι οὐδὲ μεμίχθαι
εὔλογον αὐτὸν τῷ σώματι; ) „ Καὶ χωρισθεὶς δὲ ἐστὶ μό-
„ νον τοῦθ' ὅπερ ἐστί..... Καὶ τοῦτο μόνον ἀΐδιον καὶ ἀθά-
„ νατον.

Ι'. Τελευταῖον δὲ, ὅτι τὸ τῆς Ἀθανασίας πρεσβεῖόν τῇ
λογικῇ ψυχῇ Ἀριστοτέλης οὐκ ἀπεστέρησεν, αὐτὸς ἐξ ὧν ἐν Α'.
τῶν Ἠθικ. Κεφ. ιβ'. λαμπρότατα μαρτυρεῖ· ζητῶν γὰρ ἐν
ἐκεί-



ἐκείνοις περὶ τῶν ἤδη ἀναλυσάντων, εἰ τῶν ἐπὶ γῆς φίλων
μεμνημένοι εἰσὶ, καὶ τοῖς τούτων πράγμασιν, εὖ, ἢ ἄλλως
πως ἔχουσιν, ἐφηδόμενοι, ἢ ἐπαχθόμενοι διατελοῦσιν, οὐδὲν
οἶμαι τοῦ λοιποῦ οὐδ' ἴχνος ὑπονοίας ἐᾷ, τοῦ μὴ ὁμολογόν τε
καὶ ἀναμφήριστον ἐγνωκέναι τῆς ψυχῆς τὸ ἀσώματον, καὶ ἀ-
θάνατον.

## Θεώρημα ΚΑ'.

§. ψλη'. „ Ἡ λογικὴ ψυχὴ τῶν οὐσιωδῶς ἐστὶν ἁπλῶν.
Τοιοῦτο γὰρ, οὗ γνώρισμα οὐσιῶδες ἡ αὐλία, τὸ νοερὸν,
καὶ καθ' αὑτὸ τῆς ὕλης ἀπηλλαγμένον. ( §. υιζ'. ) Ἀλ-
λαμὴν ἡ λογικὴ ψυχὴ τοιαύτη οὖσα διὰ πολλῶν ἐδείχθη.
( §. ψκς'. ψκζ'. ψκη'. ψκθ'. ψλ'. ψλγ'. ψλζ'. )
Ἄρα κτ.

## Θεώρημα ΚΒ'.

§. ψλθ'. „ Ἡ λογικὴ ψυχὴ φυσικῇ γενέσει, φύσιν οὐκ
„ ἔχει παράγεσθαι.
Οὐσία γὰρ ἐστὶν ( §. ψλε'. ) ἀσώματος ( §. ψκς'. )
καὶ οὐσιωδῶς τῆς ἁπλότητος εὐμοιροῦσα ( §. ψλη'. ), ὥστε ἐκ
προϋφεστῶτος, ὡς ἐξ ὑποκειμένου οὐκ ἂν σχοίη τὴν γένεσιν.
( §. υκα'. υκβ'. ) Τὸ δὲ φυσικῇ γενέσει παραγόμενον, ἐκ
προϋφεστῶτος ἐστὶ, φύσει γὰρ μεταβάλλοντι ( §. φπε'. )
διοσυάτινες ἐξ ἀνάγκης ἔνεισιν ἀρχαὶ ( §. φπϛ'. ) ἡ
μὲν ὡς ὕλη προϋποκειμένη, ἡ δὲ ὡς εἶδος. ( §. φϥ'. ) Ἡ
ἄρα λογικὴ ψυχὴ, φυσικῇ γενέσει, κτ.

## Θεώρημα ΚΓ'.

§. ψμ'. „ Ἡ λογικὴ ψυχὴ φυσικῇ φθορᾷ οὐ διόλλυται.
Καὶ γὰρ καὶ η κατὰ φύσιν φθορὰ μεταβολή τις ἐστὶ καὶ αὐ-
τὴ φυσική. ( §. φπε'. ) Παντὶ δὲ τῷ οὕτω μεταβάλλοντι

 ἔνε-

ὑφέστιν ὕλη καὶ εἶδος (§. φπθ'. φψ'.)· ψυχῆς δὲ τῆς λογικῆς οὐσιωδῶς ἁπλῆς οὔσης (§. ψλη'.) γνώρισμα ἡ ἀϋλία. (§. υιζ'.) Ἄρα κτ.

## Σχόλιον.

§. ψμα'. Τῶν κατὰ φύσιν γενέσεών τε καὶ φθορῶν, ἐπάναγκες τὴν λογικὴν ψυχὴν ὑπερτέραν εἶναι καὶ κρείττονα, οὔτε ἐκ μερῶν συγκροτουμένην, (§. ψθ'.) οὔτε ἀλλοίωσιν οὐδεμίαν ὑφισταμένην, τῶν σωματικῶν. (§. ψιζ'. ψιη'.) οἵαν πρὸ τῶν ὁλοτελῶν ἐκείνων μεταβολῶν ἡγεῖσθαι, τῇ καθ' ἡμέραν πείρᾳ καταμανθάνομεν. Ἄλλως τε καὶ εἰ φθοραῖς ὑπείκουσα ἐστὶ καὶ αὐτὴ, καὶ διαλύσεσιν, εἴτε ἀφ' ἑαυτῆς εἶχεν ἂν τὸ οὕτω μεταβάλλειν, ἢ τοῦτο πεφύκοι ἂν ὑπὸ τῶν περιστοιχούντων αὐτὴν σωμάτων ἐπηρεαζομένη, καὶ πάσχουσα· ὑπὸ τίνος δ' ἂν, ἢ τοῦ ὥσπερ ἐνδέδυκε, μᾶλλον εἰκὸς, μεθ' οὗ καὶ τῆς ἀμέσου συμπαθείας ἔτυχεν; Ἀλλὰ τῶν ἕκαστον ἑαυτοῦ σωστικὸν, καὶ πρὸς ἁρμονίαν τὴν ἰδίαν ῥέπον ὅλαις δυνάμεσι· ψυχὴ δὲ ἀσώματος οὖσα, τίνα ποτ' ἂν ὑπὸ τῶν σωματικῶν πάθοι ἐπήρειαν, τῶν κινήσεσί τε καὶ προσβολαῖς ἐπιδρᾶν πρὸς ἄλληλα οἵων ὄντων, ταῖς πρὸς αὐτὰ περατουμέναις τὰ σώματα; ὑπὸ γὰρ τοῦ εἰδοποιουμένου αὐτῇ καὶ κινουμένου, οὐδὲν μᾶλλον παθεῖν δυνήσεται, ἢ ὑφ' ἑαυτῆς πρὸς τὸν ἴδιον αὐτῆς ἐπείγεσθαι ὄλεθρον. Αὐτὸς οὖν τοῖς πράγμασιν αὐτοῖς τὸν νοῦν ἐνερείδων, καὶ λογισμοῖς ἀγόμενος τοῖς δικαιοτάτοις, οὕτω μοι δοκῶ ὅλος τοῦ δόγματος γίγνεσθαι, τοῦ τὴν ἀθανασίαν τῇ ψυχῇ πρυτανεύοντος, ὥς γε μονονουχὶ φωνὴν ἀφιέναι ἀκούειν, συνηγοροῦσαν ἑαυτῇ τὸ ἀνώλεθρον. Καί πως τοῖς ὑπὸ φθορᾷ συγκατατάξαι πειρώμενος, εἰς σῶμα εἶδα αὐτὴν μεταποιῶν, καὶ ὧν ἔχει δυνάμεών τε καὶ ἐνεργειῶν ἀποφαίνων ἥττονα· τοὐναντίον δὲ μηδεμιᾶς, ὧν οὐ μοιρεῖν αὐτὴν οἶδα, καὶ πέπεισμαι ἀποστερῶν, νοερὰν δέ τινα φύσιν οὖσαν ἐπιγινώσκων, ἀσώματον, ἀμιγῆ, καὶ ἀπαθῆ ἐκ τοῦ ἀκολούθου, καὶ φθορᾶς οἱασοῦν ἀνευρίσκω κρείττονα· ποῦ γὰρ (ὡς καὶ Πρόκλος συνῆγε
„ (1) τὸ ὁπωσοῦν διαλύεσθαι, καὶ ἀπόλλυσθαι δυνάμενον, ἢ
„ σωματικόν ἐστι, καὶ σύνθετον, ἢ ἐν ὑποκειμένῳ τινὶ ὑπό-
„ στασιν ἔλαχε. Καὶ τὸ μὲν, διαλυόμενον, ὡς ἐκ πολλῶν
„ ὑπάρχον φθείρεται· τὸ δὲ ἐν ἑτέρῳ εἶναι πεφυκὸς, τοῦ
„ ὑποκειμένου χωριζόμενον ἀφανίζεται εἰς τὸ μὴ ὄν. Ἀλ-
„ λὰ μὴν ἡ ψυχὴ καὶ ἀσώματός ἐστι, καὶ ἔξω παντὸς ὑπο-
„ κειμένου ἐν ἑαυτῇ οὖσα, καὶ πρὸς ἑαυτὴν ἐπιστρέφουσα
„ (§. ψκζ'. Ἀριθμ. ΙΒ'.), ἀνώλεθρος ἐστὶν ἄρα, καὶ ἄφ-
„ θαρτος. Εἰσὶ μὲν οὖν καὶ ἄλλοι παρὰ τὸν προτεθέντα λόγον, (ὃς καὶ κράτιστος εἶναι μοι δοκεῖ) οἷς ἄλλος ἄλλῃ τὴν ἀθανασίαν τῇ ψυχῇ, δεῖξαι προσοῦσαν πεφιλοτίμηται, ὡς ἥδιστα ἑκάστου τὸν παρ' ἑαυτοῦ οἷον ἔρανον συνεισενεγκόντος, ἅτε δὴ περὶ δόγματος λίαν αὐτῶν διαφέροντος.



Καὶ γάρ τοι Δ'. καὶ ἐκ τῆς σωματικῆς ἄλλης φύσεως, τὰς πίστεις προβάλλονται, καὶ εἰ οὐδὲν φασὶν, οὐδὲ τῶν σωμάτων αὐτῶν, ὧν ἐν διηνεκεῖ ῥοῇ τε καὶ ἀπορροῇ τὸ εἶναι, ἢ σῶμα εἰς τὸ μηδαμῇ μηδαμῶς εἶναι ἐξάπινα οὐδέποτε, οὐδ' ἂν ἐξαπείη· οὐδὲν γὰρ παρὰ τοῦ Δημιουργοῦ γενόμενον παντελῶς θνητὸν (2) τῶν ἐν τῇ φύσει δυνάμεων, οὐδεμιᾶς, οὐδὲ τὸ τυχὸν εἰς τὸ μὴ ὂν, ὥσπερ οὖν οὐδ' ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἀγαγεῖν ἐξισχυούσης, πῶς τοῦτο συμβαίνειν ἔπειτα φήσομεν, οὐσίᾳ τῆς τῶν σωμάτων πολλῷ τιμιωτέρᾳ οὔσῃ, καὶ κρείττονι, ἢ τοσούτῳ τῶν φυσικῶν παθῶν ἀπήλλακται, ὅσῳ τῆς ἐνύλου φύσεως ὑπερίδρυται; τ' ἄλλα μὲν γὰρ, ἅτε δὴ φύσει σύνθετα, εἰ μὴ τὸ εἶναι, τὸ γοῦν μὴν ποιῶς πως ἔχειν τῷ εἴδει, κἂν διαιρέσει καὶ ἀναλύσει μεταβάλλοι ῥεπόμενα· ψυχὴ δὲ, αὐτὸ τοῦτο εἶδος οὖσα ἁπλούστατον, πῶς ἂν μὴ θᾶττον ἢ τοῦ εἴδους, αὐτῆς ἔξω γένοιτο τῆς τοῦ ἁπλῶς εἶναι ἕξεως; Οὔπω δέ τοι ἔχουσα, τίνος οὖν ἂν χείρων τῶν σωμάτων, ἐφ' ὧν καὶ τοῦ ὧδέ πως εἶναι κινουμένου, τὸ ἁπλῶς εἶναι ἀκίνητον; Ἄριστα τῷ λόγῳ τῷδε ὁ Σω-

---

(1) Ἐν Θεολογικ. Στοιχειώσ. Κεφ. ρπς'.
(2) Ἀξίθεος ἐν Διαλόγῳ Αἰνείου Γαζαίου, ὃς ἐπιγράφεται Θεόφραστος.

ὁ Σωκράτης πρὸς Κέβητα, καὶ Σιμμίαν ἐχρήσατο. (1) „Ἆρ᾽ οὐχὶ σώματι μὲν ταχὺ διαλύεσθαι προσήκει, ψυχῇ δὲ αὖ τὸ παράπαν ἀδιαλύτῳ εἶναι, ἢ ἐγγύς τι τούτου; πῶς γὰρ οὔ; ἐννοεῖς οὖν ἔφη ὅτι ὅταν ἐπειδὰν ἀποθάνῃ ὁ ἄνθρωπος, τὸ μὲν ὁρατὸν αὐτοῦ σῶμα, καὶ ἐν ὁρατῷ κείμενον, ὃ δὴ νεκρὸν καλοῦμεν, ᾧ προσήκει διαλύεσθαι, καὶ διαπίπτειν, καὶ διαπνεῖσθαι, οὐκ εὐθὺς τούτων οὐδὲν πέπονθεν, ἀλλ᾽ ἐπιεικῶς συχνὸν ἐπιμένει χρόνον, ἐὰν μέν τις, καὶ χαριέντως ἔχων τὸ σῶμα τελευτήσῃ, καὶ ἐν τοιαύτῃ ὥρᾳ, καὶ πάνυ μάλα. Συμπεσὸν γὰρ τὸ σῶμα, καὶ ταριχευθὲν, ὥσπερ οἱ ἐν Αἰγύπτῳ ταριχευθέντες, ὀλίγου ὅλον μένει ἀμήχανον ὅσον χρόνον. Ἔνια δὲ μέρη τοῦ σώματος, καὶ ἐὰν σαπῇ, ὀστᾶ τε, καὶ νεῦρα, καὶ τὰ τοιαῦτα πάντα, ὅμως ὡς ἔπος εἰπεῖν, ἀθάνατά ἐστιν, ἢ οὔ; ναί. Ἡ δὲ ψυχὴ ἄρα τὸ ἀειδὲς, τὸ εἰς τοιοῦτον τόπον ἕτερον οἰχόμενον, γενναῖον, καὶ καθαρὸν, καὶ ἀειδῆ, εἰς ᾅδου ὡς ἀληθῶς παρὰ τὸν ἀγαθὸν καὶ φρόνιμον Θεὸν, οἷ, ἂν Θεὸς ἐθέλῃ, αὐτίκα καὶ τῇ ἐμῇ ψυχῇ ἰτέον. Αὕτη δὲ δὴ ἡμῖν ἡ τοιαύτη, καὶ οὕτω πεφυκεῖα ἀπαλλαττομένη τοῦ σώματος εὐθὺς διαπεφύσηται, καὶ ἀπόλωλεν, ὥς φασιν οἱ πολλοὶ ἄνθρωποι; πολλοῦ γε δὴ ὦ φίλε Κέβης τε, καὶ Σιμμία.

Β'. Τὸ δὲ καὶ τὴν ψυχὴν τῷ σώματι μὴ συνεκλείπειν ἐκλείποντι, καὶ ταῖς ἡλικίαις μαραινομένῳ μηδαμῶς συμμαραίνεσθαι, πτηνὴν δέ τινα οὖσαν ἐλευθεριάζειν, καὶ μᾶλλον ὅσῳπερ ὑπὸ γήρως ἐκεῖνο πιεζόμενον καταπίπτει, πολλοῖς τε ἄλλοις, καὶ τῷ Ἀριστοτέλει, τοῦ Ἀθάνατόν τι εἶναι καὶ θεῖον τὸν ἐν ἡμῖν νοῦν, ὡς οὐ φαῦλη τις ἐλήφθη ἀπόδειξις.

Γ'. Καὶ μὴν καὶ αἱ τῆς ψυχῆς ἐνέργειαι, περὶ τὰ ἀεὶ ὡσαύτως ἔχοντα στρεφόμεναι, καὶ ἐξ ἀρχῶν ἀϊδίων, γνώσεις ἄλλας, καὶ ταύτας ἀσφαλεστάτας συνάγουσαι, καὶ οὐδὲ μόνα τὰ ἐν τῷ ἐνεστῶτι ὄντα, ἀλλὰ καὶ τὰ πάλαι ποτὲ

γε-

(1) Πλάτ. ἐν Φαίδωνι.



γεγονότα, καὶ τὰ ἐσόμενα μετὰ πολὺ μετιοῦσαι, πᾶσαί τε ἐν αὐτῇ δυνάμεις, καὶ οὐσίαν ἐκ τοῦ ἀκολούθου τὴν κατ᾽ αὐτὴν τεκμαίρεσθαι παρέχονται τοιαύτην, οἵαν τῶν τοῦ χρόνου μέτρων ὑπεριπταμένην, ἐπέκεινα γίγνεσθαι· τὰ γὰρ ἄλλα, ὅσα τῆς τοῦ χρόνου φορᾶς ἐστὶ πρὸς τὸ παρὸν πέφυκε δρᾶν, καὶ οὐδ᾽ ἐπὶ βραχὺ ὑπὲρ τὸ ἐνεστηκὸς ἅλλεσθαι.

Δ'. Καὶ μέντοι καὶ ἡ τῆς ἀθανασίας ἀνθρώποις ἐνοῦσα ἔφεσις, ἣν οὐδεὶς ἂν μὴ οὐχὶ ἑαυτῷ συνειδέναι ἔξαρνος γένοιτο, (§. χπθ'.) λαμπρόν τι ἔοικεν εἶναι τοῦ πράγματος μαρτύριον, τοῖς μὴ τὴν φύσιν μάτην, οὐδὲ εἰκῇ δρᾶν πεπιστευκόσιν, οὐδὲ τὸν Δημιουργὸν κακίζειν ἑτοίμως ἔχουσιν, ὡς ἵμερον ἐνιέντα τηνάλλως ἀγαθοῦ τοσούτου, τοῖς μηδέποτε καταλήψεσθαι μέλλουσιν. Ἤτοι γὰρ μὴ δυνάμενος, ἢ μὴ βουλόμενος ἐκ πολλοῦ τοῦ περιόντος ὀφθήσεται παίζων τὰ καθ᾽ ἡμᾶς, ἐπὶ τὰ ὑπὲρ ἡμᾶς ἀποφαίνων διακενῆς χαίνοντας.

Ε'. Ἢ οὐχὶ τοῦτο καὶ τοῖς λόγοις τῆς προνοίας ἐστὶ μάλιστα συνῳδὸν, τὸ ἄλλην εἶναι ἀποκειμένην λῆξιν μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν, ἐν ᾗ τὸ κατ᾽ ἀξίαν ἑκάστῳ ἀποδοθὲν, τὴν ἐν τῷ παρόντι βίῳ ἀνωμαλίαν ἡ δίκη εἰς ἰσότητα καταστήσειεν;

Ϛ'. Ἀλλὰ γὰρ, καὶ ἡ τοσούτων Ἐθνῶν σύμφωνός τε καὶ εἰς ταὐτὸ συμπνέουσα δόξα, τῶν ἐν μέρει Θρησκείας, τὰς εἰς ᾅδου ἀποκειμένας εὐθύνας, ἀεὶ θεμένων, ἃ δὴ πάντα μονονουχὶ, δαιμοσί τισι βασανισταῖς τὰς τῶν μὴ καλῶς βεβιωκότων ψυχὰς, διατριβῇ δέ τινι μακαριωτάτῃ, τὰς τῶν ὁσίως ἐκδεδημηκότων, παρέδωκαν φέροντα, φωνὴ οἶμαι καὶ αὕτη τις ἐστὶν ἱερὰ, παρὰ δικασταῖς ἐχέφροσιν, ἡ μὴ τοῦτον ὅρον ζωῆς ἡμῖν περιγράφουσα, τὴν τοῦ συνθέτου ἀνάλυσιν.

## Θεώρημα ΚΔ'.

§. ψμβ'. „Ἡ τῶν λογικῶν ψυχῶν προΰπαρξις, ὅτι μὲν οὐκ ἀδυνάτως ἔχει δώσομεν· ὅτι δὲ καὶ αὐτὸ τοῦτο, ἐνεργείᾳ ἐστὶ προΰπαρξις αὐτῶν, ὡς πλάσμα ἄντικρυς διαπτύσομεν.

Τὸ

Τὸ ὑπάρχον, πρὶν ἢ ὑπάρξαι, δυνατὸν ἐστὶ τῆς ὑπάρξεως τυχεῖν. (§. ρνβ΄.) Ὑπάρχει δὲ ἡ ψυχὴ συμμεμιγμένη ἤδη τῷ σώματι, ἀλλ' οὐκ ἀχωρίστως. (§. ψλγ΄. ψλς΄.) Δυνατὸν ἄρα ἦν αὐτὴν ὑπάρχειν, καὶ πρὶν, καὶ ἄνευ τοῦ σώματος· τὸ δὲ προΰπαρξις ἂν εἴη. Οὐκ ἄρα ἀδυνάτως ἔχει, κτ. Θ. Η. τὸ Α΄.

Πλάσμα δ' ἂν εἴη, τὸ ἄνευ λόγου, ὅς ἂν ἀποχρήσειε πεῖσαι, ὡς οὕτως ἔχει, προτιθέμενον. (§. λζ΄. λθ΄.) Προσδεῖ γὰρ ἐπὶ παντὸς πρὸς τῷ δυνατὸν εἶναι, καὶ ἄλλων ἔτι λόγων, οἷς ἂν πιστωθείη, ἔχειν αὐτὸ ἤδη, καὶ τὸ ὑπάρχειν. (§. μζ΄. μη΄.) Λόγος δὲ φέρεται τῷ ὄντι οὐδεὶς ὁ κατασκευάζων τὰς ἐν ἀνθρώποις ψυχὰς περιεῖναι, πρὶν ἂν ἐνοικισθῶσι τοῖς σώμασιν. Ἄρα καὶ τὸ Β΄.

## Σχόλιον.

§. ψμγ΄. Τὰς ψυχὰς ἁπάσας ἀπ' οὐρανόθεν ὑπὸ Θεοῦ εἰς γῆν κατενεχθῆναι, Πυθαγόρας μὲν ἐν Ἕλλησι πρῶτος, κἀκτεῦθεν οἱ περὶ Πλάτωνα, καὶ Ὠριγένης ὁ Ἀλεξανδρεὺς ὕστερον (1) ὁ κακῶς πλατωνίσας, ἐτόπησαν. Ὅρος δὲ αὐταῖς τῆς εἴτε ἀποικίαν ταύτην, εἴτε καὶ ὑπερορίαν χρὴ λέγειν, οὐχ ὁ βραχὺς ἔτος τοῦ ζῆν ἀνθρώπῳ ἑκάστῳ ἀφωρισμένος χρόνος, ἄλλῃ δὲ ἄλλος, ὡς ἂν ἤτοι δι' ἀρετῆς καθαιρομέναις, ἢ μοχθηρίας περιουσίᾳ εἰς τὸ χεῖρον διατεθείσαις, κατὰ τὸ μᾶλλον καὶ ἧττον, τὰ τῶν περιόδων συμβαίνοι σφίσι παρατείνεσθαι πλαζομέναις. Ἔνθεν τοι τῇ προϋπάρξει, παρὰ πόδας τὸ μηδὲν ἧττον τὴν ἀτοπίαν, εἰ μὴ καὶ χεῖρον δόγμα τῆς μετεμψυχώσεως προσετέθη. Καὶ αἱ ψυχαὶ τοῦ λοιποῦ ὡς ἐκεῖνοι, ἄλλο ἐξ ἄλλου σῶμα ἀμείβουσαι, καὶ ἀνδρὸς ἐκ γυναικὸς, καὶ ἀνάπαλιν, καὶ μὴν δία ἐξ ἀνθρωπείων κτηνώδεις, καὶ τοὐναντίον, ὅποτε τῆς ἄλλης ἀπολήγουσιν, ἕως οὗ καιροὶ, οὕτω φάναι, καθάρσεως αὐταῖς

(1) Ἱερωνύμ. Τόμ. ς΄. Σελίδ. 642.



ταῖς πληρωθῶσιν. Ἔστι δὲ οὐ πρώτου Πυθαγόρου τὸ ἐπινόημα, ἀρχαιότερον δὲ ἐκείνου, εἰς πολὺ πάνυ καὶ χρόνου μῆκος, καὶ χώρας εὖρος ἐκνικῆσαν τε καὶ διαδοθέν. Καὶ γὰρ καὶ παρ' Ἰνδοῖς Ξηκιάχλω τινὰ, φιλοσοφεῖν ἐπαγγελλόμενον φέρουσιν, ἔτεσί που χιλιοστῷ πρὸ τῆς Οἰκονομίας γενόμενον, τῆς ἀτόπου καθηγήσασθαι δοξασίας. Καὶ τοῦτον παρὰ Σινοῖς τοῖς παρηκολουθηκόσι τῷ δόγματι, ὀκτάκις μὲν χιλιάκις γεννηθέντα, τοσάκις δὲ τὸ ζῆν ἐπὶ γῆς αὐτῆς μεταμείψαντα, εἰς ἐλέφαντα τὸ ἔσχατον, λευκὸν ἀκριβῶς τὴν χροιὰν ἀναβεβιωκέναι. (1) Ἐντεῦθεν οὖν καὶ Χαλδαίοις ἐπιπολάσαι τὸ δόγμα, καὶ Πέρσαις, καὶ Ἑβραίοις, καὶ Αἰγυπτίοις, καὶ Ἕλλησιν αὐτοῖς, καὶ παρὰ πολὺ κρατυνθὲν, τοῖς πλείστοις ἔτι γε καὶ καθ' ἡμᾶς, τῶν πρὸς ἥλιον ἀνίσχοντα τετραμμένων Ἐθνῶν, ἐν μέρει θρησκείας πρεσβεύεται. Καίτοι οὐδὲ βραχέος γοῦν, ὅσον εἰπεῖν ὑποφαίνοντος λόγου, οὐκ αἰσθήσεως μαρτυρούσης, οὐ συνειδήσεως πειθούσης, οὐκ εἰκασίας τινὸς τὸ παράπαν ἐναγούσης εἰς τοῦτο, μᾶλλον δὲ καὶ τῶν ὀρθῶν λογισμῶν προσισταμένων. Α΄. „ γὰρ ἀργῆτις ἦν
„ πρὶν καταβῆναι, καὶ περιττὴ χρόνον τοσοῦτον ἡ ψυχὴ, καὶ
„ οὐκ ἔδειξεν ἐνεργείᾳ τὴν δύναμιν· οὐδὲ ἔγνω ὅπερ εἶ-
„ χε· ταῦτα γὰρ κατιοῦσα κερδαίνει. Ἀργοτέρα δὲ μᾶλ-
„ λον ἡ ἀείστη.... Εἰ δ' αὖθις διωρισμένη αὐτὴ προειρ-
„ γάζετο, ὕστερον ἐπειδὴ κατέβη, κενὴν, καὶ ἔρημον, καὶ ἐν
„ ἀργείᾳ τὴν ἑαυτῆς χώραν καταλέλοιπεν. Αἱ μὲν γὰρ
„ ἄλλαι δυνάμεις ἅμα τε προῆλθον, καὶ ἐπάχθησαν, οὐ δεῖ
„ ἑκάστην, καὶ ὅ,τι χρὴ λειτουργεῖν, καὶ διακονεῖν, καὶ ὑπηρε-
„ τεῖν, καὶ φυλάττειν, τὴν δὲ ἀνθρωπίνην ψυχὴν μακρόν-
„ τινα χρόνον ἐν ἀργίᾳ καθίσαντες, ὀψέποτε δεσμῶτιν,
„ εἰς σῆμα τὸ σῶμα πέμπουσιν· καίτοι τὴν γῆν αὐτῇ
„ διακοσμεῖν προστέτακται. Ἐπεὶ οὐδὲ ἀνθρώπου εἴη, κἂν
„ παύσῃ τὰ τοῦ Θεοῦ κηρύττειν ὄργια, ὡς μηδένα τόπον
„ ἄθεον παρεωρᾶσθαι. (2) Β΄. τίς δ' ἂν ἀναπείσειε λόγος ποτὲ,

(1) Ὅρα Αὔγες. Καλμέτ. ἐν Λέξ. τῆς Ἱερᾶς Γραφ. ἐν λέξει Μετεμψυχ.

(2) Αἰνείας Γαζαῖος ἐν Διαλόγ. ὁ ἐπιγρ. Θεόφρ.

ποτὲ, φύσεις νοερᾶς τε καὶ λογικὰς οὔσας, τῆς κατὰ τὰς σφαίρας, ἢ ἄλλῃ πη φερομένης αὐταῖς διατριβῆς, οὐδὲν τὸ παράπαν, οὐδὲ τὸ τυχὸν αὐτὰς φέρειν ἴχνος, καὶ ὧν ἐκεῖσε περιοῦσαι ἔδρασαν, ὧν τε ἐνενόησαν (εἰ μή τις αὐτὰς τὸν πάντα ἐκεῖνον χρόνον ὑπὸ νυκτὸς αἰώνης, ἀεργηλοῖο θ᾽ ὕπνου κατεχομένας, οὐδὲ ζῆν ὅλως θήσειε, πολλῷ ἂν οὖν κακοδαιμονεστέρας, ἢ κατὰ τὴν ἐνταῦθα ὑπερορίαν, ἐκεῖ γενομένας πάντῃ ἐπιληθῆναι; Ἀλλ᾽ ὃ περὶ μόνα τὰ μαθήματα συμβαίνει αὐταῖς, ἐκ μικρᾶς ἀφορμῆς, ἀναμιμνήσκεσθαι, μὴ τοῦτο καὶ περὶ τὴν διατριβὴν αὐτῶν, τὴν κατὰ τὸν νοερὸν κόσμον γίνεσθαι, ἀλλὰ περὶ ἐκείνην μόνην τέλεον ἀμνημονεῖν; Γ. Κἂν ταῖς μετεμψυχώσεσιν, ἔτι ἀλογώτερον ἔοικε τὸ πάθος· „ τῶν γὰρ ἐκεῖσε, εἰ μηδὲν ἄλλο, τοῦ μήτοι δημιουργοῦ, καὶ τοῦ νοητοῦ κάλλους ἀναμιμνήσκεται, ὅθεν „ μακρόν τινα χρόνον ἀπέστη· τοῦ δὲ προτέρου βίου, καὶ ἐπιτηδευμάτων, καὶ παθημάτων, καὶ πατρίδος, καὶ γονέων, „ πῶς παντελῶς ἐπιλέλησται, ὅθεν χθὲς μετῳκίζετο; (1) Δ. τί δὲ καὶ ὁ Θεὸς, ὁ τὰ ἔσχατα, ταῖς ὑπερορίοις ταύταις ψυχαῖς ἐπιτίμια διορίζων, οὐκ ἐκδιδάσκει τοὺς πά„ σχοντας ἐφ᾽ οἷς τὰ ἐπιτίμια, ἀλλ᾽ ἀφαιρεῖται τῶν ἁμαρ„ τημάτων τὴν μνήμην, ἀμβλῆ τὴν αἴσθησιν τῆς τιμω„ ρίας ἐπάγων; τί οὖν ὠφέλησε τιμωρία, τὴν ἁμαρτίαν „ ἀποκρύπτουσα; τοὐναντίον μὲν οὖν καὶ παροξύνει, καὶ εἰς „ ἀπόνοιαν ἐπαίρει· ῥᾳδίως δὲ καὶ δικαίως κακίζει τὸν δι„ καστὴν ἐκεῖνος, εἰ φαῦλον μηδὲν αὐτὸς αὑτῷ συνειδὼς, „ ὑπομένει τὴν τιμωρίαν. (2) Ε. τίς δὲ καὶ ἡ τῶν ἐν ᾅδου δικαστηρίων ὄνησις αὐτοῖς, καὶ τίς ἡ χρῆσις, καὶ τῶν ἐπὶ γῆς ἤδη ταῖς συχναῖς περιόδοις, καὶ τοῖς ἀλλεπαλλήλοις μεταγγισμοῖς, (ὡς ὁ ἱερὸς Ἐπιφάνιος ἣν ἀποκαλῶν) πάντα τέως ῥύπον, καὶ πᾶσαν βδελυγμίαν ἀποθεμένων; Ϛ. πῶς δ᾽ ἀνεκτὸν καὶ τὰ ἄλογα τῶν ζώων, καὶ ἀτελέστατα, ἐπίσης ἀνθρώπῳ λέγειν ζώῳ ἡγεμονικῷ καὶ ἀρχικωτάτῳ, τῆς

(1) Αἰνείας Γαζ. ἐνθ. ἀνωτ.
(2) Αὐτ. Αὐτ.



τῆς ἰσοτίμου ψυχῆς ἐμμοιρεῖν δυνάμεως καὶ οὐσίας; οὐ γὰρ ἂν τὸν λόγον εἴποιεν μετατίθεσθαι εἰς ἀλογίαν. „ Οὐ γὰρ „ τὸ λογικὸν τῇ ψυχῇ συμβεβηκὸς, ὡς μεταχωρεῖν, ἀλ„ λ᾽ οὐσίας διαφορὰ βεβαίως ἱδρυμένη· (1) Θαυμάζειν οὖν ἔπεισιν ὅτι Πυθαγόραι καὶ Πλάτωνες οὕτω τῶν Αἰγυπτίων λήρων ὤφθησαν ἥττονες, ὥστε καὶ ὡς ἐπὶ ἰδίοις ἐπινοήμασιν ἐπ᾽ αὐτοῖς ἐγκομβώσασθαι. (2) Ἢ οὐχὶ λῆροι σαφεῖς, αἱ ἐξ ἀνθρώπων εἰς τὰ τῶν ὄνων γένη, καὶ λύκων, καὶ ἱεράκων, καὶ ἰκτίνων, καὶ μελιττῶν, καὶ σφηκῶν, καὶ μυρμήκων, κἀκ τούτων αὖ εἰς ἀνθρώπους τῶν ψυχῶν μετασκηνώσεις, καὶ παρενδύσεις (3). Καὶ αἱ μετὰ μακρὰς περιόδους πτερώσεις αὐτῶν, καὶ ἐπικληρώσεις, καὶ αἱρέσεις δευτέρων βίων (4). Καὶ ἡ μὲν Ὀρφέος ποτὲ γενομένη κύκνου βίον αἱρουμένη, ἡ δὲ Θαμύρου ἀηδόνος, λέοντος δὲ ἡ τοῦ Αἴαντος, ἀετοῦ δὲ ἡ τοῦ Ἀγαμέμνονος, πιθήκου δὲ ἡ τοῦ Θερσίτου (5), καὶ ὅσα ἄλλα Πλάτων αἰγυπτιάζων οὐ μωσαΐζων, καὶ παίζων ἢ φιλοσοφῶν τοῖς βιβλίοις αὐτοῦ παρενέσπειρεν; „ Οἷς καὶ πι„ στεύειν ἡμᾶς παρακαλεῖ (6) ἄνευ τινὸς ἀποδείξεως. Καὶ ἅπερ (ᾗ φησὶν Εὐσέβειος (7) „ οὐδὲ καιρὸς ἀπελέγχειν, „ ὅτι μηδὲ αὐτὸς δι᾽ ἀποδείξεων ἐνεχείρησε τῷ προβλήμα„ τι. Καὶ περὶ ἃ οὐδ᾽ αὐτοὶ οἱ τοῦ Πλάτωνος μυσταγωγοὶ, ἔχουσί τι φάναι σαφὲς οὐδὲ σύμφωνον, τῶν μὲν (οἷοι Πλωτῖνος, καὶ Ἀρποκρατίων, καὶ Βόηθος, καὶ Νουμήνιος) τὸν λύκον λύκον, καὶ ὄνον τὸν ὄνον, ἐπὶ λέξεως παραλαβόντων, τῶν δὲ μετ᾽ αὐτοὺς (οἷοι Πορφύριός τε καὶ Ἰάμβλιχος) τὸν μὲν ὄνον εἰς ὀνώδη τρόπον, καὶ τὸν λύκον εἰς τὸν λυκώδη, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, μεταλαβόντων· τῶν δὲ τέως (οἷοι Συριανός τε καὶ Πρόκλος) τὴν ἀνθρωπείαν ψυχὴν ἐπὶ τίσει τῶν

(1) Αἰνείας Γαζ. Διαλόγ. Θεόφρ.
(2) Ἡρόδ. Βιβλίῳ Β'. Διόδωρ. Σικελιώτ. Βιβλ'. Ε'.
(3) Ἐν Φαίδωνι.
(4) Ἐν Φαίδρῳ.
(5) Ἐν Πολιτ.
(6) Παρ᾽ Εὐσεβ. Εὐαγγελ. Προπαρασκ. Βιβλ. ιγ'. Κεφ. ιϛ'.
(7) Αὐτ. Αὐτ.

τῶν πεπλημμελημένων, ἐνίτινι τῶν κτηνῶν συνδεδέσθαι καὶ παραμένειν, τοῖς μὲν τετράποσιν εἰ τύχοι συμβαδίζουσαν, καὶ συνενεμομένην, συννηχομένην δὲ τοῖς νηκτοῖς, συνιπταμένην δὲ τοῖς πτηνοῖς, καὶ τῷ μὲν μύρμηκι συνοικονομοῦσαν, συμβομβοῦσαν δὲ τῇ μελίσσῃ, ἢ τῇ σφηκὶ, τῷ δὲ βατράχῳ συμβρεκεκεκίζουσαν. Ἀλλὰ γὰρ πρὸς ταῦτα οὔγε τοῦτο ἐπειπὼν παύσομαι, ὡς παναληθέστατον εἰρῆσθαι δοκοῦν, ὅτι Πλάτων οὕτω περὶ ψυχῆς φιλοσοφεῖ ἀμέτρως τι„ μῶντε αὐτὴν, καὶ βλασφημῶν. (1) τὸ μὲν Θεῷ δηλονότι ἀποφαίνων ὁμοίαν, τὸ δὲ οὐκ ἔστιν ὅτῳ τῶν ἀτιμοτάτων ζώων μὴ παρατιθέμενος. Νεμεσίῳ δὲ αὖθις ἐκεῖνο αὖτις νεμεσήσειε κἀνταῦθα πάνυ εἰκότως, ὅτι καὶ Χριστιανὸς ὢν, καὶ τοῖς ἔσωθεν λογίοις, οὐδὲν ἧττον, ἢ τῇ θύραθεν παιδείᾳ ἐντεθραμμένος, οὕτω προθύμως μετὰ Ὠριγένην τοῦ πλατωνικοῦ κρατῆρος ἐσπάσατο, τὴν τῶν ψυχῶν προΰπαρξιν ἄδην καταπιὼν, ὡς καὶ Εὐνομίῳ ἐπεγκαλεῖν „ οὐσίαν τὴν ψυχὴν „ ἀποδεδωκότι ἀσώματον ἐν σώματι κτιζομένην. (2) Ἀσύμβατα ἀμέλει τοι ταῦτα εὑρίσκων, ὡς τὸ μὲν σύμφωνον ὂν τῷ πλατωνικῷ δόγματι, τὸ ἀσώματον, τὸ δὲ τῇ Ἀριστοτέλους δόξῃ, τοῦ ἐντελέχειαν ἀχώριστον τὴν ψυχὴν (ἤπερ αὐτῷ δοκεῖ.) ὑπειληφότος, τὸ κτιζομένην ἐν σώματι. Α΄. γὰρ ὃ συνάγει τὴν ἐν σώματι κτίσιν τῆς ψυχῆς, ἔλεγχον λέγων εἶναι τῆς γενέσεως τῆς κατὰ τὰ σώματα, οὐδὲν ὑγιὲς, τῶν κατὰ φύσιν γενέσεων τῆς ἐκ τοῦ μηδενὸς δημιουργίας, καθ' ἣν εἰς τὸ εἶναι ἡ ψυχὴ ἀνακαλεῖσθαι λέγεται, πλέον ἢ ὅλοις παρασάγγαις φασὶν, ἀπεχούσης. Β΄. οὐδὲ τὰ Μωσέως αὐτῷ (ἤπερ ὑπείληφε) τὸ τῆς προϋπάρξεως δόγμα συνίστησιν, εἰ μὴ καὶ τέλεον παρατρέπει. Μετὰ γὰρ τὴν τοῦ σώματος διάπλασιν, οὐχ ἁπλῶς τὴν ψυχὴν ἐμβεβλῆσθαι γέγραπται, ὡς προοῦσαν μὲν, τότε δὲ πρῶτον εἰσοικιζομένην, ἀλλ' ἐμπεφυσῆσθαι ὑπὸ τοῦ Θεοῦ πνοὴν ζωῆς τῷ ἀνθρώπῳ. Θεοῦ δὲ ἐμφύσημα τί ἄλλο γένοι-

νοι-

(1) Χρυσοσ. Ὁμιλ. α΄. εἰς Ἰωάννην.
(2) Ἐν τῷ Περὶ Ἀνθρώπου Κεφ. β΄. Περὶ Ψυχ.



νοιτο ἂν, ἢ αὐτὴ δὴ ἡ τῆς ἀΰλου ψυχῆς, ὑπὸ τοῦ Δημιουργοῦ κτίσις τε καὶ οὐσίωσις; Γ΄. δὲ οὐδ' ὃ προστίθησιν, ὡς οὔπως οὔπω πλήρης ὁ Κόσμος, ἀλλ' ἡμιτελὴς ἔτι καὶ νῦν, προσθήκης ἀεὶ δεόμενος, πεντάκις μυρίων γοῦν τὸ ἐλάχιστον, καθ' ἑκάστην ἡμέραν οὐσιῶν νοητῶν προσγινομένων αὐτῷ, καὶ (ὃ χαλεπώτατον αὐτῷ δοκεῖ) παιδιᾷ αὔτικρυς παίδων νηπίων ἐν ψάμμῳ, ὅτι ὅταν πληρωθῇ τότε μέλλει διαφθείρεσθαι τὸν Κόσμον, οὐδὲ ταῦτα λόγου τινὸς ἐχόμενα ἐστί. Κόσμου γὰρ πλήρωσις, ἡ ἐξ ἁπασῶν οὐσιῶν, ἐξ ὧν καλλύνεσθαι καὶ κοσμεῖσθαι πέφυκε, συγκρότησις· οὐ γὰρ δὴ καὶ ἡ ἐξ ἁπάντων ἀτόμων, κατὰ τὸ αὐτὸ οὕτω φάναι συνύπαρξις. Κόσμου δὲ φθορὰ κυρίως εἰπεῖν οὐδεμία ἔσται, ὡς τῇ ἐν ψάμμῳ παιδιᾷ τῶν νηπίων, τὸ κατὰ τὴν συντέλειαν πρᾶγμα εἰκάσαι, ἀλλ' ἐπὶ τὸ κρεῖττον εἶναι, τῶν ὄντων ἔσται παραλλαγή· ἤδη γὰρ μάλιστα κρατεῖ ἡ φθορὰ, τόδε δὲ ἀντεισενεχθήσεται ἡ ἀφθαρσία. Καὶ νῦν μᾶλλον τὰ γινόμενα τοῖς ἐπὶ ψάμμου ἔοικε γραφομένοις, ἐν βραχεῖ χρόνῳ χεζζόμενά τε καὶ συγχεόμενα· κατ' ἐκεῖνο δὲ πῆξιν ἅπαντα ἕξει, καὶ στάσιν ἑδραίαν τε καὶ ἀκίνητον, καὶ αὐτῆς τῆς ἐπικήρου φύσεως εἰς ἀφθαρσίαν μεταστοιχειωθησομένης. (1)

## Θεώρημα ΚΕ΄.

§. ψμδ΄. „ Ἡ λογικὴ ψυχὴ οὐκ ἔστι τι αἰώνιον.

Τρεπτὸν γὰρ ἡ ψυχὴ ἡ ἀνθρώπου, ὡς δι' ὅλου τοῦ Α΄. Κεφαλαίου καταφανές. (§. ψζ΄.) Καὶ οὐδὲ ἀπειροτέλειον, ἤπου δῆλον, καὶ τοῖς πᾶσιν ὁμόλογον. Τὸ δὲ αἰώνιον, ἅτε δὴ τῆς κατὰ φύσιν λεγομένης διαδοχῆς ὑπεριδρυμένον, (§. φιζ΄. φιή.)

(1) Τὸν γὰρ αἰσθητὸν ὅλον κόσμον ἐπὶ τὸ ἀθάνατον ὁ Δημιουργὸς „ μεταλλάξει, ὥστε συνᾴδειν τῇ τῶν ἀνθρώπων ἀθανασίᾳ, καὶ πάλιν οἰ„ κεῖον γενέσθαι τὸν τόπον τῇ τῶν οἰκούντων εὐδαιμονίᾳ. Ἔδει γὰρ θνη„ τῷ κόσμῳ θνητὸν ζῶον ἐνδιαιτᾶσθαι, ἀθανάτῳ δὲ τὸ ἀθάνατον. Αἰ„ νείας Γαζαῖ. ἐν Διαλόγ. ᾧ ἐπιγρ. Θεόφρ.

φνή.) οὐδὲ ζεπτὸν (§. σιζ΄.) καὶ ἀπειροτέλειον. (§. σιη΄. σιθ΄.) Ἄρα ἡ λογικὴ ψυχή, κτ.

## Πόρισμα.

§. ψμε΄. Οὔκουν ἄρα οὐδὲ Θεὸς αὐτὸς ἡ ψυχή, οὐδὲ τῆς ὑπερουσίου οὐσίας, οὔθ᾽ ὡς μέρος, οὔθ᾽ ὡς πάθος. (§. σνς΄.)

## Σχόλιον.

§. ψμϛ΄. Ἐξ ἑνὸς τοῦδε τοῦ Θεωρήματος, πλεῖστα ὅσα κακῶς κατὰ Θεοῦ ἀνοιγόμενα ἐπιρραπίζεται στόματα. Στωϊκοί τε γὰρ κατασιγῶνται, καὶ οἱ συμμανέντες τῷ Μανιχαίῳ, καὶ τῷ Μαρκίωνι, καὶ ἡ τῶν Πρισκιλλιανιστῶν φάλαγξ (1) φιμοῦται, καὶ ψυχὴ ἡ πηγαία τοῦ παντὸς, σὺν αὐτῷ τῷ Πλατωνικῷ κρατῆρι (2), οὐδὲν ὅ,τι μὴ φλυαρίαν, καὶ λήρους ἀθύρματα νάκσα ἐξελέγχεται. (3) Καὶ ὅσοι ἄλλοι ἀπορρῶγας οἷον τινὰς ἀπὸ τῆς ἀκτίστου καὶ αἰωνίου ὑπερουσιότητος ἀποτετμημένας, καὶ εἰς αὐτὴν πάλιν ἐπανιούσας, τὰς ἐν ἡμῖν οὐχ ὅπως, ἀλλὰ καὶ τὰς ὅπῃ δήποτε ζωῆς ἀμυδρᾶς φαντασίαν ὑποφαινούσας ψυχὰς ὑπειλήφασιν, Ἀρχαῖοί τε καὶ Νεώτεροι, ἐν οἷς σημαιοφόρον οἷον τακτέον τὸν πολὺν τὴν ἀθείαν Σπινόζαν· (§. χκθ΄.) (οὐδὲ γὰρ παρέργου ἂν εἴη ἀνδρῶν λήρων ἐπὶ λεπτοῦ διεξιέναι κατάλογον, ἀπειροκάλου κενοσπουδείας, ἢ ὀνησίμου θεωρίας, διατριβὴν εἰρημένους.) ἅπαντες οἷον σκηπτῷ κατενεχθέντι, κατὰ τοὺς ἐν τοῖς μύθοις Τιτᾶνας, τῷ Θεωρήματι καταπεπλήγαται, ἀδικίαν τοσαύτην εἰς τὸ ὕψος λαλήσαντες.

Θεώ-

(1) Ἱερώνυμ. Τόμ. Β΄. Σελ. 642.
(2) Ἐν Τιμαίῳ.
(3) Ὅρα Θεοδώρ. Θεραπευτ. Ἑλληνικ. Παθημ. Λόγ. Ε΄. Καὶ Κλήμεντα τὸν Ἀλεξανδρ. Βιβλ. Ε΄. τῶν Στρωμ.



## Θεώρημα Κϛ΄.

§. ψμζ΄. „ Ἡ λογικὴ ψυχὴ ἐκ τοῦ μηδενὸς ἐστὶ δημιουργητή.

Ἐπειδὴ γὰρ οὐκ αἰώνιον (§. ψμδ΄.) οὐδ᾽ ἀναγκαῖον καθ᾽ ὕπαρξιν (§. σβ΄.) ἐνδεχόμενον δὲ (§. σγ΄.) καὶ ἐξωτερικῶς ἄλλου ἐξηρτημένον ἐστι (§. αὐτ.), ὑφ᾽ οὗ δηλονότι ἂν ὑποσταίη. Ἀλλὰ μὴν γενέσει ἡ ψυχὴ φυσικῇ οὐκ ἂν λάβοι τὸ εἶναι, ὥσπερ τὰ ἐν τῇ φύσει γινόμενα. (§. ψλθ΄.) Ἄρα ἐκ τοῦ μηδενὸς μὲν, ὑπὸ μηδενὸς δ᾽ οὐχί. (§. σνθ΄.) Αὕτη δ᾽ ἐστὶν ἡ κατὰ δημιουργίαν παραγωγή, ((§. σξ΄.) ἣν μόνῃ τῇ τῆς ὑπερουσίου οὐσίας δυνάμει (§. σξα΄. σξβ΄.) ὁ λόγος φέρων ἀνέθετο. Ἄρα κτ.

## Σχόλιον.

§. ψμη΄. Ἐκ δὲ δὴ τούτων καὶ ἡ Τερτυλλιανοῦ, et maximæ partis occidentalium, καὶ ἡ τῶν πλειόνων ἐν δυτικοῖς (1), καὶ ἡ Ἀπολλιναρίου (2) καθαιρεῖται δόξα, τῶν ἐκ διαδοχῆς τε καὶ κοινωνίας τῆς ἐξ ἀλλήλων, τὰς ψυχὰς γίνεσθαι ἡγησαμένων. „ Εἰ γὰρ ἐξ ἀλληλογονίας, καὶ φθαρταί εἰσι „ καθάπερ τὰ ἄλλα τὰ ἐκ διαδοχῆς γονῆς γινόμενα. Εἰ „ δὲ ἐξ οὐκ ὄντων παράγεται κτίσις ἐστὶ τὸ γιγνόμενον. „ (3) Τὸν μὲν οὖν Αὐγουστῖνον, ἄνδρα ἄλλως καὶ πολὺν ἐν λόγοις, καὶ ἐπίσημον τὴν εὐσέβειαν, τοιοῦτό τι περὶ τῆς λογικῆς ψυχῆς ὑπονενοηκέναι, (4) θαυμάζειν ἔπεισι. Τοῦτο γὰρ ἐπιεικῶς ἐξ αὐτῶν ῥιζῶν, τὸ ἐκείνης ἀσώματον, καὶ ἁπλοῦν, καὶ ἀμερὲς, ἀναιρεῖ τε καὶ περιτρέπει, ὡς παντὶ τῷ ἐπι-

(1) Ἱερώνυμ. ἔνθα ἀνωτ.
(2) Παρὰ Νεμεσ. Περὶ Ἀνθρώπου Κεφ. Β΄. Περὶ Ψυχῆς.
(3) Νεμέσ. Αὐτ.
(4) Αὐγουσ. Περὶ Ἀρχ. τῆς Ψυχ., καὶ περὶ Αὐτεξουσ.

ἐπιστήσαντι τὴν διάνοιαν, ἐπὶ τῆς εἰρημένης ἀλληλογονίας κατάδηλον γίγνεται. ( ὅρα §. σνθ'. σξ'. )

## Θεώρημα ΚΖ'.

§. ψμθ'. „ Τὴν λογικὴν ψυχὴν εἰς τὸ μὴ ὂν ἁπλῶς „ δυνατὸν ἐξαπλῶσαι.

Εἰ γὰρ αἰώνιος οὐκ ἔστιν ( §. ψμδ'. ) οὐδὲ τὴν ὕπαρξιν ἐξ ἀνάγκης ἔχουσα ( §. σβ'. ) ἐνδεχομένην δὲ (§. σγ'.) δυνατὴ αὐτῆς ἡ ἀνυπαρξία. ( §. αὐτ. ) Φθορᾷ δὲ φυσικῇ τοῦτο οὐκ ἂν πάθοι. ( §. ψμ'. ψμα'. ) Εἰς τὸ μὴ ὂν ἄρα δυνήσεται ἐξαπλῶσαι. Ὅρα ( §. σξγ'. σξδ'. σξέ. )

## Σχόλιον

§. ψν'. Ἐντεῦθεν καὶ τὴν θρυλλουμένην ἀπορίαν ῥαδίως ἐπιλυσόμεθα. Ἣν γὰρ ἀθάνατον αὐτοὶ ἀποδεικνύουσι λόγοις ἀνωτέρω ( §. ψμ'. ψμα'. ) ἐδείκνυμεν πολλοὶ τῶν παρ' ἡμῖν θεοφορήτων ἀνδρῶν, τὸ γέρας τῆς Ἀθανασίας ἀποστερεῖν ἔδοξεν· τί δὲ οὖν ἕκαστον λέγειν χρή, ὅπου γε καὶ ὅλη Σύνοδος ἡ Γ'. μὲν τῶν Κωνσταντινουπόλει, ς'. δὲ τῶν Οἰκουμενικῶν, ἐν Πράξ. ια'., οὐχ ὅσον τὴν λογικὴν ψυχὴν, ἀλλὰ καὶ πᾶσαν ἁπλῶς τὴν ἀσώματον καὶ νοερὰν δημιουργητὴν φύσιν, μηδαμῶς πλουτεῖν τὸ ἀθάνατον ἀπεφήνατο, τὴν περὶ τούτου ἀνενεχθεῖσαν Ἐπιστολὴν τοῦ Ἱεροσολύμων Σωφρονίου ἀποδεξάμενοί τε, καὶ δοκιμάσαντες, ὡς ἄρα τῷ ὑπὸ τοῦ Ἀποστόλου εἰρημένῳ (1) „ τὸν Θεὸν μόνον ἔχειν ἀθανα„σίαν, συνᾴδουσαν; ταῦτ' οὖν ῥᾳδίαν, φημὶ, ἐπιδέχεται τὴν ἀπάντησιν. Τὸ μὲν γὰρ φύσει ἀθάνατον, ὅπερ ἐστὶ τοῦ οὐσιώδη τε καὶ ἀναγκαίαν ( ὡς εἰπεῖν φιλοσοφικώτερον ) τὴν ὕπαρξιν ἔχοντος, μόνῳ τῷ ὑπερουσίῳ καὶ ἀεὶ ὄντι ἀναθετέον, παρ' ᾧ οὔτε παραλλαγή τις ἐστὶν, οὔτε τι τροπῆς ἀποσκίασμα. Τὴν δὲ ψυχὴν εἰς τὸ ἐκτε τοῦ μὴ ὄντος ἐπὶ τὸ εἶναι, ( §. ψμζ'. ) καὶ ἀνάπαλιν οὖσαν, ἐπὶ τὸ μηδαμῇ μηδαμῶς εἶναι μεταβαίνειν ( §. ψμθ'. ) Θεοῦ τοῦ πανσθενοῦς τῷ νεύματι προσηρτημένην ὑποληπτέον. Τὸ δὲ δὴ μετουσίᾳ τε καὶ χάριτι ἀθάνατον, ὡς ἀπὸ τοῦ παραγαγόντος ἀσώματον αὐτὴν (§. ψκς'. ψκζ'. κξ'. ) καὶ ἁπλῆν ( §. ψλή. ) καὶ ἐπὶ τὸ εἶναι συνέχοντος, καὶ αὐτῇ ταύτῃ, οἷα δὴ καὶ πάσῃ νοητῇ φύσει ἀποδοτέον. Τὸ δὲ δόγμα τόδε τὸ τῆς παρ' ἡμῖν θεοσδότου Σοφίας, οὐδὲ ἡ ἔξω σοφία ἠγνόησεν. Τὸ γὰρ πᾶν τὸ γενόμενον πάντως εἶναι θνητὸν, καὶ φθείρεσθαι, καὶ διαλύεσθαι, καὶ Πλάτωνι δοκεῖ; παρ' ᾧ ὁ ὑπέρτατος Θεὸς τοῖς ἐξ αὐτοῦ οὐσιωθεῖσιν οὕτως εἰσάγεται δημηγορῶν. „ Θεοὶ Θεῶν, ὧν ἐγὼ Πατήρ τε καὶ Δη„μιουργὸς, ἀθάνατοι μὲν πάμπαν οὐκ ἐστὲ, ἐπείπερ ἐγέ„νεσθε· οὔτι γε μὴν λυθήσεσθαι, τῆς ἐμῆς βουλήσεως κρείτ„τονος θανάτου λαχόντες. Ἐν τούτοις γὰρ πάνυ σαφῶς, τὰ ἀντιπίπτειν δοκοῦντα, οὐ πάμπαν δὲ ἀσυμφώνως ἔχοντα, „ ἀμφότερα ἅμα συνάγει καὶ πεποίηται, καὶ μὴ δια„λύεσθαι, καὶ γενέσθαι, καὶ τοῦ θανάτου κρείττους γίνεσθαι. „ Τοιαύτη προῆλθε καὶ ἡ τοῦ ἀνθρώπου ψυχὴ, οὐσία λογι„κὴ, ἀεικίνητος, καὶ αὐτεξούσιος, ζωὴν ἐξ αὐτῆς ἔχουσα „ καὶ σώματι χορηγεῖν δυναμένη, ἃ θνητὸν οὐδὲν ἔλαχεν· „ ἀλλὰ πάντα ταῦτα τῆς ἀθανασίας ἀτεχνῶς γνωρίσματα.

(1) Α. Πρὸς Τιμόθ. Κεφ. ς'.

## Θεώρημα ΚΗ'.

§. ψνα'. „ Ἡ μὲν οὐσία τις ἀσώματος, καθ' ἑαυτὴν ἡ „ ψυχὴ, καὶ ὑπόστασιν ἰδίᾳ κεκλήρωται· ἡ δὲ ψυχή τε, καὶ „ εἶδος, καὶ ἐντελέχεια, οὐδαμῶς.

Τὸ Α'. μέρος ἐκ τῶν §. §. ψλγ'. ψλδ'. ψλέ. ψλς'. δείκνυται.

Τὸ Β'. δὲ ἐκ τῶν §. §. ρμγ'. ρμδ'.

## Σχόλιον.

§. ψνβ'. Ψυχὴ μὲν γὰρ λέγεται, ἡ τὸ ὀργανικὸν ἐμψυ-
χοῦσα σῶμα, καὶ ζῶν ἀποφαίνουσα. Εἶδος δέ, ἡ τοῦτο συ-
νιστῶσα, καὶ χαρακτηρίζουσα. Ἐντελέχεια δὲ ἡ τελειοῦσα τε
καὶ συνέχουσα. Καθ' αὐτὴν δ' ἂν ἔχοι τούτων οὐδέν, οὔθ' ὅπερ
ἂν ἐμψυχώσειεν, οὔθ' ὃ συστήσειεν, οὔθ' ὃ τελειώσειεν· ὥ-
στε οὔθ' ἡ ψυχή, οὔθ' ἡ εἶδος, οὔθ' ἡ ἐντελέχεια ἰδιαζούσης
ἔλαχεν ἡ ψυχὴ ὑποστάσεως. Ταῦτα γὰρ ἐκ τῆς πρὸς τὸ
σῶμα ἔχουσα σχέσεως, τῇ μετ' αὐτοῦ συναφείᾳ συναποτί-
θεται. Διὰ τοῦτο γὰρ δὴ καὶ οἱ Σχολαστικοὶ τὸ καθ' ὑπόστα-
σιν αὐτοτελὲς τῇ ψυχῇ τοῦ σώματος ἀναλυθείσῃ προσνέ-
μοντες, ἀφαιροῦνται συνούσης ἐκείνῳ. „ Ὅ, τε θεῖος Δαμα-
„ σκηνός, (1) οὔτε ἡ ψυχὴ μόνη λέγεται ὑπόστασις, ἔφη,
„ οὔτε τὸ σῶμα, ἀλλ' ἐνυπόστατα. τὸ δὲ ἐξ ἀμφοτέρων
„ ἀποτελούμενον ὑπόστασις ἀμφοτέρων. ὑπόστασις γὰρ κυρίως
τὸ καθ' ἑαυτὸ ἰδιοσυστάτως ὑφιστάμενον. ψυχὴ δὲ πάντως
ἰδιοσυστάτως οὐκ ἂν ὑποσταίη τὸν λόγον τοῦ ψυχὴν εἶναι καὶ
καθ' ἑαυτὴν διασώζουσα. Ἔστωντοι τρόπον τινὰ φησὶν ὁ
„ Φιλόπονος (2) καὶ τὴν λογικὴν ψυχὴν ἐντελέχειαν ἀ-
„ χώριστον εἶναι, ὁμολογητέον· ἀμέλει τοι καθ' ὃ τοῦτο αὐτὸ
„ ἐστὶν ἐντελέχεια. Τὰς γὰρ ἐνεργείας καθ' ἃς τελειοῖ τὸ
„ ζῶον κοσμοῦσα αὐτὸ ποιῶς, ἢ ποιῶς, ἀχωρίστως ἔχει τοῦ
„ σώματος. Ἐξελθοῦσα γὰρ αὐτοῦ οὐκέτι ταύτας ἐνεργήσει·
„ ἴσχει γὰρ αὐτὰς ἐκ τῆς σχέσεως τῆς πρὸς τὸ σῶμα· ὥ-
„ στε ταύτῃ καθὸ ἐντελέχεια ἐστί· λέγω δὴ κατὰ τάσδε τὰς
„ ἐνεργείας ἀχώριστος ἂν εἴη τοῦ σώματος· ὥσπερ καὶ τοῦ
„ κυβερνήτου ἕως κυβερνᾷ, αἱ ἐνέργειαι τοῦ πλοίου εἰσὶν ἀ-
„ χώριστοι. Καὶ χωρίζεται μὲν ὡς ἄνθρωπος, ὡς μέν τοι
„ κυβερνήτης ὢν ἐνεργείᾳ, ἅμα κεχώρισται τῆς νεώς, καὶ
„ ἐφθαρμένας ἔχει τὰς τοιαύτας ἐνεργείας. Οὕτω τοι καὶ ἡ
„ λο-

(1) Περὶ τῆς Ἐνυποστάτου Κεφ. κδ'.
(2) Φιλόπον. ἐν β'. Περὶ Ψυχ. Ἀριστοτέλους Ὑπομν.



„ λογικὴ ψυχή, ὡς μὲν χωριστὴν ἔχουσα οὐσίαν, οὐκ ἔστιν
„ ἐντελέχεια σώματος· ὡς μέν τοι τοιάνδε σχέσιν ἀναλαμ-
„ βάνουσα πρὸς τὸ σῶμα, καθ' ὃ καὶ τὸ ψυχὴ λέγεσθαι ἔ-
„ χει ( ἡ γὰρ ψυχὴ πρὸς τὸ σῶμα λέγεται· ) ἐντελέ-
„ χειά τε ἐστὶ τοῦ σώματος, καὶ ἀχώριστος αὐτοῦ· χωρισθεῖ-
„ σα γὰρ αὐτοῦ ἀπολύει ταύτας τὰς ἐνεργείας, ἃς ἐκ τῆς
„ πρὸς αὐτὸ σχέσεως ἀνειλήφει· οἷον τὸ ζωοποιεῖν, τὸ κοι-
„ νωνεῖν αὐτῷ πάσας τὰς φυσικὰς κινήσεις, καὶ εἴ τι τοιοῦ-
„ τον ἄλλο. Τί γὰρ φυσικῶς κινήσει, ἢ ζωοποιήσει, παν-
„ τὸς οὖσα ἔξω τοῦ σώματος;

## Θεώρημα ΚΘ'.

§. ψνγ'. „ Ψυχὴν λογικὴν τῶν ἀριθμῷ μίαν, διαφόρα
„ σώματα ὀργανικὰ κατὰ τὸ αὐτὸ εἰδοποιεῖν ἀδύνατον.

Συνέστησαν γὰρ ἄν, εἴπερ δυνατὸν ἦν, ἄνθρωποι δύο
αὐτόψυχοι· ἐπεὶ δὲ τούτων ἑκάτερος ἄνθρωπος εἶναι ἀνω-
μολόγηται, νοῦ μετέχων, νοήσαι ἂν κατὰ τὸ αὐτὸ ὁ μὲν θά-
τερον τῶν ἀντιφασκόντων, ὁ δὲ θάτερον ἀληθεύειν πεπεισ-
μένος· οἷον ὁ μὲν ὅτι ἥλιος φέρε κινεῖται, ὃ δὲ ὅτι οὔ.
Καὶ νοῦς ἔπως ὁ αὐτὸς τῶν ἀντιφασκόντων ἀντιληφθείη ἅ-
μα. Ὅπερ ἀδύνατον. ( §. λδ'. ) Εἰ δὲ ἄτερος μὴ δύναι-
το θάτερον αὐτὸ τοῦτο οὐκ ἂν εἴη, ὅπερ ὑποτίθεται, ἄν-
θρωπος. Τὸ δὲ ἐπίσης τῶν ἀδυνάτων ( §. λ'. ). Ἀλλα-
μὴν καὶ ἤτοι ὅ,τι ἂν ὁ ἕτερος προέλοιτο, καὶ τῷ ἑτέρῳ οὐ κατὰ
θυμὸν εἴη, καὶ ἡ αὐτὴ προαιρετικὴ δύναμις ἔχοι τ' ἂν τῶν
ἀντιφασκόντων, πρὸς τὰ ὑπ' ἀλλήλων ἀναιρούμενα ἅμα ῥέ-
πουσα, ἢ μὴ προελέσθαι αὐτὸ καὶ ὁ ἕτερος οὐκ ἂν ἔχοι, καὶ
εἴη πάντως τὸ προαιρετικόν, ἀπροαίρετον· βίαιον γάρ, καὶ
κατηναγκασμένον· ὃ τῆς ἴσης ἔχεται ἀτοπίας. (§.λ'.λδ'.)
Ἄρα κτ.

Ἄλλως. Καὶ ἤτοι ὅλη ἐνείη ἑκατέρῳ, ἢ μέρος. Τὸ δέ-
τοι μέρος οὐκ ἔνι λέγειν· ἀμερὴς γὰρ ἡ λογικὴ ψυχή.
( §. ψθ'. ) Ἀλλ' οὐδ' ἐκεῖνο. Πότερον γάρ ποτε, κἂν τοῖς
μεταξύ; ἀλλ' ἔσαι δήπως λογικὰ τὴν φύσιν καὶ τὰ μεταξύ,


καὶ

καί τοι μὴ τοῦτο τυγχάνοντα. Εἰ δὲ μὴ, τὸ ἓν ἄρα δύω. (§. σηβʹ.) Ἄρα κτ.

## Πόρισμα.

§. ψνδʹ. Πολλῷ δὲ μᾶλλον ἄρα τῶν ἀδυνάτων, τοὺς ἀνθρώπους μιᾷ χρῆσθαι κοινῇ ψυχῇ ἅπαξ ἅπαντας.

## Σχόλιον.

§. ψνεʹ. Λαμπρᾶς ἄρα μαινομένων ἀνδρῶν ἂν εἴη, καὶ τὸν ἐγκέφαλον αὐτὸν ἐξεπτυκότων τὸ τῶν Μανιχαίων δόγμα, τῶν ἐκ μιᾶς τῷ ἀριθμῷ ψυχῆς ἅπαντας εἰδοποιεῖσθαι ἀνθρώπους, καὶ πάντα σώματα, εἰς ἅπαντα κατακερματιζομένης τε καὶ κατατεμνομένης ἔμψυχά τε καὶ ἄψυχα, τῶν μὲν πλείονος αὐτῆς μετεχόντων, τῶν δὲ ἐλάσσονος, πλείονος μὲν τῶν ἐμψύχων, ἐλάττονος δὲ τῶν ἀψύχων, πολλῷ δὲ πλείονος τῶν οὐρανίων· ὡς τῆς καθόλου ψυχῆς μέρη εἶναι τὰς καθόλου ψυχὰς, ἢ παρὰ τοῦ Νεμεσίου (1) μαθεῖν ἔστιν. Πρεσβεύουσι δὲ τὴν ἄτοπον δοξασίαν, καὶ πολλοὶ τῶν Ἀράβων, καὶ Ἀβερρόης. „Ἀλλ' εἰ μὲν ἀμερίστως μερίζεσθαι ταύτην ἔφασκον, ὡς τὴν φωνὴν ἐν τοῖς ἀκούουσι, μέτριον ἂν ἦν τὸ κακόν· νῦν δὲ τὴν οὐσίαν αὐτὴν τῆς ψυχῆς καταμερίζεσθαι λέγουσι, καὶ τὸ πάντων χαλεπώτατον, ἔτι κυρίως αὐτὴν ἐν τοῖς στοιχείοις εἶναι βούλονται, καὶ συμμερίζεσθαι τούτοις ἐν τῇ τῶν σωμάτων γενέσει, καὶ πάλιν εἰς ταὐτὸ συνιέναι διαλυομένων τῶν σωμάτων, ὡς ὕδωρ μεριζόμενον, καὶ πάλιν συναγόμενον, καὶ μιγνύμενον· καὶ τὰς μὲν καθαρὰς ψυχὰς χωρεῖν εἰς τὸ φῶς, φῶς οὔσας, τὰς δὲ μεμολυσμένας ὑπὸ τῆς ὕλης χωρεῖν εἰς τὰ στοιχεῖα, καὶ πάλιν ἀπὸ τῶν στοιχείων εἰς τὰ φυτὰ καὶ τὰ

„ζῶα,

(1) Περὶ Ἀνθρώπου Κεφ. Βʹ. Περὶ Ψυχ.



„ζῶα, καὶ οὕτω τὴν οὐσίαν αὐτῆς κατατέμνοντες, καὶ σωματικὴν ἀποφαίνοντες, καὶ πάθεσιν ὑποβάλλοντες ἀθάνατον εἶναί φασιν. (1) Αὐτοὶ μέντοι καὶ ἐν αὐτῷ μόνῳ τῷ ἀνθρώπου εἴδει (κἂν τις τὰ ἄλλα παρείη) τὴν μονοψυχίαν ταύτην περισκοποῦντες, οὐ μόνον ἐκ τοῦ ἀμερίστου τῆς ἀσωμάτου φύσεως, ἀλλὰ καὶ ἐξ αὐτῶν τῶν δυνάμεων, τῆς τε διανοητικῆς λέγω, καὶ τῆς βουλητικῆς, αἷς ἡ οὐσία ἡ τῆς ψυχῆς συγκεκρότηται, τῆς δόξης τὸ ἄλογον ἐλέγχομεν καὶ ἀδύνατον. Ὅσα γὰρ τὰ ὑπὸ μιᾷ ψυχῇ ὑπὸ τούτων συμφορούμενα ἄτομα, τοσαῦτα μοι δοκεῖ τὰ τῇ κατ' αὐτοὺς ὑπολήψει ἑπόμενα ἄτοπα. Πάντες γὰρ ἂν οὕτω εἰς ταὐτὸ παιδείας, ἢ ἀπαιδευσίας ἥκοντες, καὶ πάντα, καὶ τὰ τῶν πάντων ᾔδεσαν. Καὶ ταὐτὰ ἅπασιν ἂν δόξειαν, καὶ ἀληθεύοντα καὶ μὴ, καὶ διωκτέα καὶ μὴ, κατά γε τὴν συνείδησιν τῆς ψυχῆς (ᾗ πέφυκεν) ἐφ' ἑαυτὴν ἐπιστρεφούσης τε καὶ ἐμφιλοχωρούσης, καὶ μυρίοις ὅσοις κατὰ τὸ αὐτὸ προσδιατριβούσης, μᾶλλον δὲ εἰς μυρία ὅσα καὶ γνωστικῶς καταμεριζομένης, καὶ διασκιδναμένης, καὶ μηδέποτε ἑαυτῇ ὁμολογούσης. Οὐδὲ γὰρ, ὅπερ, ἐπὶ τοῦ ἐν πολλοῖς αὐλοῖς ἐμπνεομένου, συμβαίνει ἀέρος, τοῦ πρὸς τὸ μέγεθος καὶ τὴν διαφορὰν τῶν δεκτικῶν, τοὺς μὲν τῶν ἤχων ὀξυτέρους, τοὺς δὲ βαρυτέρους ἀποδιδόντος, οὐδ' ὅπερ ἐπὶ τῶν ὀργανικῶν ἄλλων σωμάτων ὁρῶμεν, διὰ μιᾶς καὶ τῆς αὐτῆς ἐνεργείας, τοῖς ἑτεροίως ἔχουσι πρὸς ὑποδοχὴν, συμποικιλλομένην τὴν πάθην, καὶ συμμεταβάλλουσαν, τοῦτο ἤδη εἰκὸς ἂν εἴη, καὶ ἐπὶ τῆς λογικῆς αὐτῆς ψυχῆς συμβαίνειν ἡγεῖσθαι. Ἐκεῖνα καὶ γὰρ τῶν μεριστῶν φύσει ὄντα, οὐδὲν ἀπεικὸς κατὰ τὰ δεκτικὰ καὶ ταῖς ἐνεργείαις μερίζεσθαι· ἡ δὲ δὴ λογικὴ ψυχὴ, ἁπλουστάτη οὖσα ἐδείχθη (§. ψλή.) καὶ πάντῃ ἀμέριστος, καὶ ἀδύνατον αὐτὴν, τὸ μὲν τῇδε τρέπεσθαι, τὸ δὲ τῇδε. Καὶ τὰ μὲν σωματικὰ ὄντα πρὸς ἑαυτὰ τυγχάνει καὶ ἀνεπίστροφα (§. ψκζʹ. Ἀριθμ. ΙΒʹ.) οὐδέν τε δέος, μὴ τὸ ὀξεῖαν ὑπηχῆσαν τοῦ πνεύματος μέρος, ἐπ' αὐτὸ τὸ τὴν βαρεῖαν ἐπι-

πι-

(1) Αὐτ. Αὐτ.

πιστραφεῖσα καὶ τυπωθεῖσα, βαρεῖαν κατὰ τὸ αὐτὸ, τὴν αὐτὴν ὀξεῖαν ἠχήσειεν. Τῆς δὲ πρὸς ἑαυτὴν, ἅτε δὴ νοερᾶς οὐσίας, ἐπιστρέφειν πεφυκυίας (§. αὐτ.) ἅμα τε καὶ τὰς ἐπιστροφὰς μὴ συνειδέναι οὐκ ἐχούσης (§. χξή.) πολλὰ ἂν εἴη τῶν ἐνεργημάτων ἀντίφθογγα, μᾶλλον δὲ τὰ πάντα, καὶ σύμφωνον οὐδέν. Καὶ περιστήσαι ἂν τὸ πρᾶγμα εἰς τοσαύτην ἀνωμαλίαν, ἀκριβῶς σκοπούμενον, ὥστε μηδὲ νοεῖν ὅλως τὴν ψυχὴν οὕτω δύνασθαι, καὶ πάντα νοεῖν· ὃ τίς ἂν, οὔπω μὲν φρενῶν φιλοσόφων, ἀνθρωπείων δὲ λέγω μετειληφὼς, ἐννοήσειεν;

## Θεώρημα Λ΄.

§. ψνς΄. „Αἱ λογικαὶ ψυχαὶ ἀριθμῷ μὲν ἀλλήλων „ἕτεραι εἰσὶν, εἴδει δὲ, καὶ φύσει αἱ αὐταί.

Ἀδύνατον γὰρ μίαν εἶναι τῷ ἀριθμῷ δισσὰ σώματα κατὰ τὸ αὐτὸ εἰδοποιοῦσαν. (§. ψνγ΄.) Πολλῷ δέ τοι καὶ μᾶλλον, τὴν αὐτὴν εἶναι ἐν ἅπασιν. (§. ψνδ΄. ψνέ.) Ἀλλ' ἐν μὲν ἑνότητι ἡ ταυτότης, ἐν διαιρέσει δὲ ἡ ἑτερότης κειμένη ἐτέθη. (§. τιά.) Ἄρα τὸ Α΄.

Εἴδει δὲ ἕτερα, ὧν οἱ λόγοι τοῦ τί ἦν εἶναι πλείονες. (§. σπβ΄.) Ταὐτὸν εἰπεῖν τὰ ἀθροίσματα τῶν οὐσιωδῶν γνωρισμάτων. (§. ρλγ΄.) Ταῦτα δὲ ἐπὶ τῶν λογικῶν ψυχῶν εἰσὶ τὰ αὐτά. Ἐπεὶ πάσαις καὶ τοῖς νοητοῖς προσέχειν ἐστὶ παραπλησίως, καὶ ἀποφαίνεσθαι, καὶ διανοεῖσθαι, καὶ προαιρεῖσθαι, κτ. (Κεφ. Α΄.). Οὐδ' ἂν ἔχοι τις οὔτι μηδὲν ἐπαγαγεῖν, ὃ τῇδε μὲν κατ' οὐσίαν προσῆκον ἂν ᾖ, τῇδε δ' ἀλλότριον· εἰ μέλλοι μὴ πᾶν ὅ,τι κεν ἐπ' ἀκαιρίμαν γλῶτταν ἔπος ἔλθῃ λέγειν, τὰ δὲ ὄντα ὁμολογεῖν. Ἄρα καὶ τὸ Β΄.

Ἀλλὰ γὰρ ἀεὶ τὰ ἡγουμένως ταὐτὰ καὶ ἑπομένως. (§. τιβ΄.) Αἱ αὐταὶ δὲ τῷ εἴδει (διὰ τὸ Β΄.). Ἄρα καὶ τῇ φύσει. Ο. Η. τὸ Γ΄.

Θεώ-



## Θεώρημα ΛΑ΄.

§. ψνζ΄. „Τῶν ἐν ὀργανικῷ σώματι λογικῶν ψυχῶν, „ἄλλην ἄλλης μεταφυσικῶς εἶναι τελειοτέραν οὐ συγχωρήσομεν. Φυσικῶς δὲ, καὶ ἠθικῶς, καὶ ἄλλην ἄλλης, καὶ τὴν „αὐτὴν ἑαυτῆς, ἄλλοτε ἄλλως ἐχούσαν, καὶ μάλα.

Παντὸς γὰρ ἡ μεταφυσικῶς νοουμένη τελειότης ἐν τοῖς συστατικοῖς αὐτοῦ τῆς οὐσίας κεῖται γνωρίσμασι (§. υλγ΄.) ταὐτὸν εἰπεῖν ἐν αὐτῷ τῷ εἴδει. (§. ρλγ΄.) Εἴδει δὲ αἱ λογικαὶ ψυχαὶ ἀλλήλων οὐ διαφέρουσιν (§. ψνς΄.)· οὐδ' ἄρα μεταφυσικῶς ἄλλη ἄλλης τελεωτέρα ἐστίν. Ο. Η. τὸ Α΄.

Ἄλλως δὲ, καὶ ἅπαν ὂν, καὶ μεταφυσικῶς ἐστὶ τέλειον ἐξ ἀνάγκης, τῶν πρὸς οὐσίαν τὴν ἑαυτοῦ τεινόντων εὐμοιροῦν. (§. υλέ.) Εἰ δὲ τῶν ψυχῶν οὕτως ἄλλη ἄλλης τελεωτέρα ἦν, εἶχον ἂν αἱ ὑποβαίνουσαι τὸ ἀτελὲς εἶναι, πρὸς τὰς ὑπερβεβηκείας, κατὰ παράθεσιν. (υλδ΄.) Καὶ ἦν ἂν ἄρα τι μεταφυσικῶς μὴ τέλειον, ὅπερ οὐκ ἔστιν. (§. υλέ.) Ἄρα τὸ Α΄.

Τὸ δὲ φυσικῶς τέλειον ἐστὶ, τὸ τὰς δυνάμεις ἐν ἀκροτάτῃ εὐεξίᾳ τε καὶ ἀκμῇ θάλλειν. (§. υλγ΄.) Ὑφίεσθαι δὲ τῆς ἀκμῆς, καὶ ὑποχαλᾶσθαι τὸν τοιόνδε τόνον συμβαίνει· (§. υλέ.) ἀφ' ὧν ἥκιστα ἀπαραπόδιστοι ὑπὸ τῶν ἀντιπιπτόντων προΐενται αἱ ἐνέργειαι. Αἱ γοῦν τῶν σώματι ἐγκαθειργμένων ψυχῶν δυνάμεις, πολύ τι τῆς κατὰ τὸ σῶμα ἕξεως ἤρτηνται, εἰς ἐπίτασίν τε καὶ ὕφεσιν, ὁτὲ μὲν τὴν πρὸς τὸ ἐνεργεῖν ἴξιν ἐκείναις τοῦ σώματος δωμαρείζοντος, ὁτὲ δὲ προσισαμένου τε καὶ κολούοντος. (Κεφ. Α΄.) ὅπως ποτ' ἂν ἔχοι δηλονότι συμμετρίας τε καὶ κράσεως, ὧν οὐ μικρὸν μὲν ἐν πολλοῖς, ἐπίδηλον δὲ παρὰ τὰς ἐπισυμβαινούσας ἀλλοιώσεις καὶ ἐπὶ τοῦ αὐτοῦ ἀνθρώπου, γίνεται τὸ διάφορον. Φυσικῶς ἄρα καὶ ἄλλην ἄλλης, καὶ τὴν αὐτὴν ἑαυτῆς ψυχὴν, ἐνδέχεται πολλάκις τελεωτέραν εἶναι, καὶ κρείττονα. Ο. Η. τὸ Β΄.

Ἡ δὲ ἠθικὴ τελειότης ἐπίκτητος οὖσα (§. ψλγ΄.) ἐξ αὐτῆς τὴν ἀρχὴν ἴσχει τῆς προαιρέσεως, τῆς διὰ πόνου πολλοῦ,

λου, καὶ μελέτης, καὶ ἀσκήσεως, ἐπ' αὐτὰς ἀποδούσης τῶν ἕξεων τὰς ἀκρότητας. Ἡ δὲ δὴ προαιρετικὴ δύναμις αὕτη ἐπ' ἄλλων ἄλλως, καὶ μὲν δὴ καὶ ἐπὶ τοῦ αὐτοῦ ἀνθρώπου, οὐκ ἀεὶ ὡσαύτως, οὐδ' ἐπὶ τὰ αὐτὰ νένευκεν, αὐτοδιόριστος οὖσα, καὶ αὐτοκίνητος. ( Κεφ. Α'. ) Ἄρα καὶ τὸ Γ'.

## Σχόλιον.

§. φνη'. Ἰσοδύναμοι τοίνυν ἅπασαι, καὶ ὁμοούσιοι ἐν ἀνθρώποις αἱ ψυχαὶ, τῶν αὐτῶν δηλονότι οὐσιωδῶς συμμοιροῦσαι δυνάμεων, καὶ τελειοτήτων. Εἰ δέ τις ἐνορᾶται τοῖς ἀνθρώποις τρόπων τε καὶ ἠθῶν ἀνομοιότης, καὶ αἱρέσεων διαφορὰ, καὶ κλίσεων, καὶ τινὲς μὲν ἐπὶ τὸ ἐνεργεῖν, ἢ παθαίνεσθαι ὁπωσοῦν δεξιῶς ἔχουσι, καὶ εὐκινήτως, οἱ δὲ τοὐναντίον δυσπαθεῖς πως εἰσὶ, καὶ δυσκίνητοι, περὶ ἅττ' ἂν τύχοι· ταῦτα ἐπὶ μὲν τῶν φυσικῶν, τῇ κατὰ τὸ σῶμα κράσει τε καὶ συστάσει ἀποδοτέον· ἐπὶ δὲ τῶν ἠθικῶν τῇ βουλήσει μάλιστα, καθ' ἣν ἡ ψυχὴ αὐτοκίνητος οὖσα, ἐλευθέρως τε καὶ αὐτεξουσίως, τὴν ἐπὶ τὰ κρείττω, ἢ χείρω τῶν ἐπιτηδευμάτων ῥοπὴν ἐπιδείκνυται· ἣ δὴ ἐθελήσασα καὶ αὐτῆς, ἐπὶ πάνυ πολλῶν τῆς κράσεως ἔχει περιγίνεσθαι τοῦ σώματος, ὥσπερ ἵππου, χαλινοῦσα τὸ δυσπειθὲς καὶ δυσήνιον, καὶ τὸ τῆς κράσεως ἐκμελὲς, ὥσπερ λύρας ἀπεκτάσης χορδὰς, ῥυθμίζουσα καὶ ἁρμόζουσα. „ Καὶ γὰρ εἰσὶ μέν τινες (1)
„ φυσικαὶ οἷον κακίαι καὶ ἀρεταὶ, ἐκ τῆς τοῦ σώματος κρά-
„ σεως, τοῖς ἀνθρώποις ἑπόμεναι· ὡς γὰρ φυσικῶς οἱ
„ ὑγιεινοὶ καὶ νοσώδεις εἰσὶν ἐκ τῆς κράσεως, οὕτω τινὲς
„ φυσικῶς πικρόχολοι ὄντες ὀργίλοι εἰσὶν, ἄλλοι δειλοὶ,
„ ἄλλοι καταφερεῖς. Ἀλλ' ἔνιοι κρατοῦσι καὶ περιγίνονται...
„ ὄργανον γὰρ τὸ σῶμα τῆς ψυχῆς, ἐὰν μὲν ἐπιτηδείως
„ κατασκευασθῇ, συνεργεῖ τῇ ψυχῇ, καὶ αὐτὸ ἔχει ἐπιτη-
„ δείως· ἐὰν δὲ ἀνεπιτηδείως, ἐμποδίζει· καὶ τότε χρεία
„ τῇ

(1) Νεμέσ. Περὶ Ἀνθρώπου Κεφ. Β'. Περὶ Ψυχ.



„ τῇ ψυχῇ πραγμάτων, ἀπομαχομένη πρὸς τὴν ἀνεπιτη-
„ δειότητα τοῦ ὀργάνου. Καὶ ἐὰν μὴ σφόδρα νήψῃ, καὶ συν-
„ διαστρέφηται αὐτῷ, καθάπερ μουσικὸς συνεξαμαρτάνει
„ τῇ τῆς λύρας διαστροφῇ, ἐὰν μὴ πρότερον αὐτὴν κατα-
„ στήσῃ καλῶς. Διὸ καὶ χρεία τῇ ψυχῇ τῆς ἐπιμελείας τοῦ
„ σώματος, ἵνα καταστήσῃ αὐτὸ ὄργανον ἐπιτήδειον ἑαυτῇ.
„ Τοῦτο δὲ ποιεῖ διά τε τοῦ λόγου, καὶ τῶν ἠθῶν, ὡς ἐν ἁρ-
„ μονίᾳ τὰ μὲν χαλῶσα, τὰ δ' ἐπιτείνουσα, ἵνα ἁρμόδιον
„ αὐτὸ ἑαυτῇ κατασκευάσῃ, καὶ χρήσηται ἐπιτηδείῳ ὀργά-
„ νῳ. Ἐὰν μὴ καὶ αὐτὴ συνδιαστραφῇ αὐτῷ· συμβαίνει γὰρ
„ καὶ τοῦτο.

## Θεώρημα ΛΒ'.

§. φνθ'. „ Ἡ κατὰ τὴν γνῶσιν ἐνέργεια, ἀεὶ παροῦσα
„ ἐστὶ τῇ λογικῇ ψυχῇ, καὶ ἀνέκλειπτος.

Α'. Περιοῦσα γὰρ ἡ ψυχὴ ζῇ· δι' ἣν γὰρ τὸ ζῶν τοιοῦτον, ἐκείνη μᾶλλον· ζῶσα δὲ, ἐν διηνεκεῖ καὶ ἀπαύστῳ ἐνεργείᾳ ἐστί. Πᾶσα γὰρ ζωὴ, κίνησίς τις ἐστὶν (§. φκζ'. Ἀξιωμ. Ε'.) ψυχῆς δὲ κίνησις κυριωτάτη ( §. φζ'. φη'. ) καὶ ἐνέργεια ( Κεφ. Α'. ) ἡ κατὰ γνῶσιν ἐστίν. Ἡ ἄρα κατὰ γνῶσιν ἐνέργεια, τῇ λογικῇ ψυχῇ ἀεὶ παροῦσα ἐστὶν ἀδιαλείπτως.

Β'. Ἡ τοῦ γινώσκειν δύναμις ἐστὶ τῇ ψυχῇ οὐσιώδης, ἀσωμάτου δὲ δύναμις οὖσα, ἐστιν ἀπαραβίαστος· ( §. φκ'. )
„ ἐπεὶ ποῖαι βίαιοι τῆς ψυχῆς κινήσεις, οὐδὲ πλάττειν
„ βουλομένοις ῥάδιον ἀποδοῦναι, ὡς Ἀριστοτέλης φησίν (1).
Ἀλλὰ γὰρ πᾶσα δύναμις ἀπαραποδίστως ἔχουσα, ἐνεργὸς ἀεὶ ἐστὶ καὶ δραστήριος. ( §. σξθ'. ) Ἄρα ἡ κατὰ τὴν γνωστικὴν δύναμιν ἐνέργεια, κτ.

Γ'. Μὴ κατὰ γνῶσιν ἐνεργοῦσα ποτὲ ἡ λογικὴ ψυχὴ, ἔχοι ἂν οὕτως ἀργῶς τε καὶ ἀκινήτως, ἢ ὅτι οὐ δύναται κατ' ἐκεῖνο νοεῖν, ἢ ὅτι οὐ βούλεται. Ἀλλ' εἰ τὸ πρῶτον, τῆς
ἄρα

(1) Ἀριστ. Περὶ Ψυχ.

ἄρα νοητικῆς δυνάμεως ἀμοιροῦσα τότε, οὐδ' ἂν ψυχὴ εἴη. Εἰ δὲ τὸ β'., καὶ μὴ βουλομένη γνώσεται. (Οὐ γὰρ ἡ βούλησις πέφυκεν εἶναι γνώσεως αἰτία. (§. χπά.) Καὶ προφανὴς ἡ ἀντίφασις. Ἄρα κτ.

Δ'. Ἐν ᾧ τὸ σῶμα εἰδοποιεῖ ἡ ψυχή, ἐπειδὴ αὐτῷ ζωῆς παραίτιος γίνεται, ἐνεργεῖ δήπου περὶ αὐτό. Καὶ πάντως ἀδιαλείπτως, εἰμὴ ἐκ διαλειμμάτων τις τοῦ ζώου τὸ ζῆν εἶναι φήσειε. Εἰ δὲ τὰς ζωτικὰς ἐνεργείας, ὧν κατὰ τὴν πρὸς τὸ σῶμα ἔλαχε σχέσιν, ἀδιαλείπτως κεκλήρωται, αἳ καὶ ποτὲ μετὰ τὴν ἀνάλυσιν αὐτῇ ἐκλείψουσιν σὺν αὐταῖς ταῖς πρὸς αὐτὰς δυνάμεσι, πολλῷ δὴ μᾶλλον ἀεννάων εἰκὸς εὐμοιρεῖν αὐτὴν τῶν γνωστικῶν, ὧν ἡ δύναμις οὐσιώδης αὐτῇ τυγχάνει καὶ ἀναφαίρετος.

Ε'. Ἤτοι αἱ καθ' ἃς κινεῖ ζωτικῶς τὸ σῶμα ἡ ψυχὴ ἐνέργειαι, τῆς κατ' αὐτὴν ζωῆς γνωρίσματά εἰσι, καὶ οἷον εἰπεῖν ζωτικοὶ χαρακτῆρες, καὶ τούτων μετὰ τὴν ἀνάλυσιν ἀμοιροῦσα (§. ψνά. ψνβ'.) οὐδὲ ἐπιζήσεται ὅλως τῷ σώματι· καὶ μάτην ἐπ' αὐτῆς ἄρα τεθρύλληται τὸ ἀθάνατον. Ἢ γοῦν (ὃ καὶ ἀληθές.) ἄλλαι παρ' ἐκείνας (ἐκεῖναι γὰρ τῆς τοῦ ζωοποιουμένου ζωῆς, οὐχὶ δὲ τῆς τοῦ ζωοποιοῦντος εἰσὶ συστατικαί. Ἐπεὶ εἴπερ αἱ αὐταὶ ἑκατέρου, τῆς ἴσης ἂν εἴη τυχόντα ζωῆς ἑκάτερον, τὸ ζωοποιοῦν ἀμέλει, καὶ τὸ ζωοποιούμενον) κινήσεις, ἃς ἔχει καθ' ἑαυτὴν ἡ ψυχή, καὶ ἀεὶ ἔχει, τὸ ζῆν αὐτῇ γνωρίζουσι καὶ συνιστῶσιν. Ἐνεργείας δὲ παρὰ τὰς κατὰ γνῶσιν, καθ' αὑτὸ τῇ ψυχῇ προσηκούσας ἄλλας, οὐδεὶς ἂν ἔχοι εἰπεῖν, κἂν φιλοτιμοῖτο ψεύδεσθαι. Ἄρα κατ' αὐτὰς ζῶσα, καὶ ἀεὶ ἔχει, μηδέ ποτε ἐκλειπούσας, ὡς ἂν μὴ ταύταις αὐτῇ καὶ τὸ ζῆν συνεκλίποι. Ἄρα κτ.

ς'. Ὁσάκις ἂν διὰ ἐπιστρόφων ἐνεργειῶν αὐτῶν τῇ ψυχῇ ἐπιστήσωμεν, (§. χξή.) ἀεί τι περί τι γνωστικῶς ἀναστρεφομένην ταύτην καταλαμβάνομεν· ὃ δὴ τεκμήριον ἐστὶν τὴν ψυχὴν ἀδιαλείπτως τοῖς νοητοῖς ἐνδιατρίβειν. Ἄρα κτ.





## Σχόλιον.

§. ψξ'. Τῆς τοίνυν δόξης καὶ οἱ περὶ Πλάτωνα προεστᾶναι δοκοῦσι, τὴν ψυχὴν αὐτοκίνητον εἶναι διδάσκοντες, καὶ τοῦτον αὐτῆς λόγον οὐσιώδη ἀποδιδόντες. „Τὸ γὰρ ἑαυτὸ κινεῖν, „ φῄς, λόγον ἔχειν τὴν αὐτὴν οὐσίαν (1) ἥνπερ τοὔνομα, „ ὃ δὴ πάντες ψυχὴν προσαγορεύομεν; φημί γε. Κινήσεων δὲ ψυχῆς εἴδη ἐκ τοῦ αὐτοῦ Πλάτωνος (2) τάδε· „βούλεσθαι, „ σκοπεῖσθαι, ἐπιμελεῖσθαι, βουλεύεσθαι, δοξάζειν ὀρθῶς, „ ἐψευσμένως, χαίρουσαν, λυπουμένην, θαρροῦσαν, φοβουμένην, μισοῦσαν, στέργουσαν, καὶ ὅσαι τούτων ξυγγενεῖς, ἢ „ πρωτουργοὶ κινήσεις, τὰς δευτερουργοὺς αὖ παραλαμβάνουσαι κινήσεις σωμάτων, ἄγουσι πάντα εἰς αὔξησιν, καὶ „ φθίσιν, καὶ διάκρισιν, καὶ σύγκρισιν· καὶ τούτοις ἑπομένας „ θερμότητας, ψύξεις, βαρύτητας, κουφότητας, σκληρὸν, καὶ „ μαλακὸν, λευκὸν καὶ μέλαν, αὐστηρὸν, καὶ γλυκὺ, καὶ πικρὸν, καὶ πᾶσιν οἷς ψυχὴ χρωμένη, νοῦν μὲν προσλαμβάνουσα ἀεὶ Θεὸν, Θεὸς οὖσα, ὀρθὰ καὶ εὐδαίμονα παιδαγωγεῖ πάντα, ἀνοίᾳ δὲ ξυγγενομένη πάντα αὖ τούτοις „ τἀναντία ἀπεργάζεται. Ἀλλὰ γὰρ, ὡς ὁ αὐτὸς φησί (3)· „ Μῶν ἄρα ζῆν αὐτὸ προσεροῦμεν, ὅταν αὐτὸ αὑτὸ κινῇ; „ ναὶ ζῆν. Ἔξεστιν ἄρα οὕτως ἐκ τούτων κειμένων εἰσβαλεῖν, ὡς ἐπεὶ ἡ κινεῖ ἑαυτὴν ζῇ. Ἀεὶ δὲ ζῇ περιιοῦσα. ἀεὶ ἄρα κινεῖ ἑαυτήν. Οὐ μόνας τὰς ζωτικὰς ἐνεργείας, κατὰ γὰρ ταύτας κινεῖ τὸ σῶμα, οὐχ ἑαυτήν· τὰς ἄρα γνωστικὰς ἀεὶ κινεῖται. Εἶτα καὶ τί δήποτε ἄρα τὸ ἀεικίνητον τῆς ψυχῆς, οἱ Πλατωνικοὶ ὑπειλήφασιν, ἢ τοῦτο αὐτὸ τὸ μηδέποτε ἀτρεμεῖν, διηνεκεῖς καὶ ἀπαύστους τὰς κατ' οὐσίαν τὴν ἑαυτῆς, προβαλλομένην κινήσεις; Ὁ δὲ Πλατωνικὸς Πρόκλος, καὶ σαφέστερον ἔτι „ ζωὴ φησὶν (4) ἐστὶν ἡ γνῶ„σις,

(1) Ἐν Ι'. τῶν Νόμ. Πλάτων.
(2) Αὐτ. Αὐτ.
(3) Αὐτ. Αὐτ.
(4) Ἐν Θεολογικ. Εἰσηγήσ. Κεφ. ρπζ'.

„ σις, καὶ τὸ γνωστικὸν, ᾗ τοιοῦτο, ζῶν. Ἀλλ᾽ ἀντειπεῖν τις
ἂν ἔχοι πρὸς τοῦτο, ὅτι τὸ γνωστικὸν ἀεὶ πάρεστι τῇ ψυχῇ
κατὰ Πρόκλον, τὸ δὲ, ὥσπερ ἂν αὐτὴ ᾖ, καὶ ἐνεργείᾳ γινώ-
σκουσα, οὐκ ἀεί. Αὐτοὶ δ᾽ ἀπαντήσομεν „ ὅτι καὶ ζωὴ, φη-
„ σὶν, ἡ γνῶσις. Καὶ ἡ μὲν δυνάμει, δυνάμει· ἡ δ᾽ ἐ-
νεργείᾳ, καὶ ἐνεργείᾳ· προσθήσομεν δὲ καὶ ὅτι οὐκ ἐν τῷ δυ-
νάμει ἡ κίνησις· ἡ δὲ ζωὴ κίνησίς τις εἶναι ἐθέλει· ἐν
ἄρα τῷ ἐνεργείᾳ. Ὁ δὲ Πλωτῖνος φανερός ἐστιν ἀπρὶξ τοῦ
δόγματος τούτου ἐχόμενος. „ Καὶ ἀεὶ μὲν φησὶ (1) γινώσκει
„ ὁ νοῦς, εἰ δὲ καὶ μὴ αἰσθανόμεθα, ὅτι ἀεὶ γινώσκει,
„ τοῦτο διὰ τὸν τοῦ σώματος θόρυβον γίνεται. Ὁ γοῦν Φι-
λόπονος οὐ συναινεῖ τῷ ἀνδρὶ (2) ἐκ τῶν τοῦ Πλάτωνος ἐ-
πιλέγων ἐξηπατῆσθαι αὐτὸν, τοῦ μὲν τὸ ἀεικίνητον, ἀντὶ τοῦ
ἀείζωον ποιεῖν τὸ σῶμα λέγοντος, τοῦ δὲ, ἀντὶ τοῦ ἀεὶ γι-
νώσκειν, ἐκλαβόντος. Καί τι συνιδεῖν ὤφειλεν, ὅσον ἄτο-
πον ἐστὶ, τὸ μὲν σῶμα ἀείζωον ὑπὸ τῆς ψυχῆς ἀποδείκνυ-
σθαι, τὴν δὲ ψυχὴν μὴ ἀείζωον εἶναι, καὶ τῶν παρεχομέ-
νων τὸ ζῆν τῷ σώματι ἀδιαλείπτων ἔσω κινήσεων, τὰς
αὐτὴν ζῶσαν ἀποφαινούσας ἐκλείπειν, καὶ ἀπονεκροῦσθαι.
Ἐφ᾽ οἷς, καὶ εἰ αἱ δευτερουργοὶ, κατὰ Πλάτωνα, ἐνέργειαι τῆς
ψυχῆς, ἀεννάως ἐξ αὐτῆς εἰσὶ προβλυστάνουσαι, πολλῷ τοι
μᾶλλον εἰκὸς, ἐκείνης τὰς πρωτουργοὺς ἀπαύστους εἶναι ὑπο-
λαμβάνειν, καὶ δίκαιον. Τῆς αὐτῆς οὖν περὶ τούτου δόξης γε-
γονέναι μοι δοκοῦσι καὶ οἱ παρὰ τῷ Χαιρωνεῖ Πλουτάρχῳ (3)
„ Φιλόσοφοι, οἳ τὴν ψυχὴν, φῶς εἶναι τῇ οὐσίᾳ ἐνόμι-
ζον, ( ὅθεν ἴσως καὶ οἱ Παλαιοὶ τὸν ἄνθρωπον φῶτα, καὶ
„ φῶτα ἐκάλεσαν ) ἄλλοις τε χρώμενοι τεκμηρίοις, καὶ ὅτι
„ τῶν ὄντων μάλιστα τὴν ἄγνοιαν ἡ ψυχὴ δυσανασχετεῖ.
Πρόσεισι γὰρ ἐνδελεχῶς ἐξ αὐτῆς ποιοῦντι ἀειρροά τινα ἀ-
παυγάσματα, ὧν ἄρδην ἀποσβεσθέντων, ὑπὸ νυκτὸς αἰ-
δνῆς, ἀεργηλοῖο θ᾽ ὕπνου καταχεθεῖσα, χαλεπὸν καὶ νοῆσαι,
ὅθεν

(1) Παρὰ Φιλοπόν. Ἐν Γ΄. τῶν Περὶ Ψυχ.
(2) Φιλόπον. Αὐτ.
(3) Πλούταρχ. Ἐν τῷ εἰ καλῶς εἴρηται τὸ λάθε βιώσας.



ὅθεν ἂν αὖθις τύχοι ἐναύσματος. Ὁ μέντοι Ῥωμαῖος Κι-
κέρων οὐ παρέργως Φιλοσοφίας ἠμμένος, οὐδ᾽ ἐνδοιάζειν ὅ-
λως φαίνεται περὶ τούτου, οὐδέ ποτε φάσκων ἐννοίας ἡ ψυ-
χὴ, οὐδὲ κινήσεως ἀμοιρεῖν πέφυκε. Numquam animus
cogitatione, et motu vacuus esse potest. Καὶ Αὐγουστῖ-
νος δὲ ὁ τὰ τοῦ Πλάτωνος ἀκριβῶς ἐκμυηθεὶς (1) ad quid
menti præceptum est, ut se ipsam cognoscat, nisi ut
semper vivat, et semper sit in actu? Τί γὰρ καὶ τῇ ψυχῇ
τὸ ἑαυτὴν γιγνώσκειν νενομοθέτηται, ἢ ἐπὶ τῷ ἀεὶ ζῆν,
καὶ ἀεὶ ἐνεργεῖν; Ἀλλὰ καὶ ὁ Καρτέσιος ἐν Νεωτέροις πολ-
λὰ τῶν Πλατωνικῶν εἰσποιησάμενος, ἐντεῦθεν καὶ τόδε κηρύ-
σατο. Καὶ εἰ μὴ τῇ κατὰ τὸν νοῦν ἐνεργείᾳ προσεδέσμει ἐ-
κεῖνος τὴν ψυχῆς οὐσίαν, ὥσπερ καὶ τῇ ἐκτάσει τὴν τῆς
σωματικῆς φύσεως ( §. φιζ΄. φιη΄. ), ἄμεινον ἂν περὶ
τῶν αὐτοῦ ἐβουλεύσατο, δόγμα κράτιστον μὴ λόγῳ ῥᾳδίως
σαλευομένῳ ἑδράσας. Παρίημι δὴ τοὺς ἄλλους τῶν Νεωτέρων,
καὶ τοὺς παρὰ τοῖς Γερμανοῖς πρὸ πάντων εὐκλεεστάτους, πα-
ρ᾽ οἷς ἡ κἂν ἀκαρεῖ τοῦ νοητικοῦ παῦλα τῆς ψυχῆς αὐτῆς ἄν-
τικρυς ἐστὶν ἀπονέκρωσις. Τί δὲ ὁ Ἀριστοτέλης; ἐμοὶ δὴ
δοκεῖ, ὡς οὐδ᾽ αὐτὸς τῷ δόγματι ἀπαρέσκεται, μᾶλλον δὲ
καὶ σαφῶς ἡμῖν συνεπιψηφίζεται. „ Τὸ γὰρ ἀθάνατον, καὶ
„ ἄπαυστον τοῦ κινεῖσθαι, οἷον ζωήν τινα οὖσαν τοῖς φύσει οἶ-
δε κἀκεῖνος. „ (2) Καὶ τὸ κινεῖσθαι δὲ τὰ θεῖα ἅπαντα
„ συνεχῶς ἀεὶ οὐκ ἂν ἀπαρνοῖτο. Θεῖον δέ τι τῆς ψυ-
„ χῆς εἶναι τὸ μόριον, ᾧ γινώσκει τε καὶ φρονεῖ ἡδέως ὁ-
„ μολογεῖ. Κίνησιν δὲ τὴν κατὰ τόπον, ἢ ἄλλην σω-
ματικὴν αὐτῷ προσεῖναι οὐ δίδωσιν. Οὐκοῦν τίνα δήπο-
τε τρόπον ἄλλον, συνεχῶς ἀεὶ κινεῖσθαι φαίη τουτὶ τὸ
θεῖον, τῶν ἐν ἡμῖν, ἢ συνεχῶς ἀεὶ, ἀπὸ τοῦ δυνάμει ἐ-
πὶ τὸ ἐνεργείᾳ νοεῖν μεταβάλλον, ὅπερ εἶδος ἐστὶ κινήσεως,
ἧς ἂν μόνης ( §. ψζ΄. ψη΄. ) ἡ λογικὴ ψυχὴ διμοιρήσειε;
Οὐδὲ γὰρ οὐδὲ ἐνταῦθά τις εἰκότως συννώσεται, τὸ συνε-
χὲς

(1) Βιβλίῳ Ι΄. Περὶ Τριάδ. Κεφ. Ε΄.
(2) Θ. Φυσικ. Κεφ. Α΄.

χὲς καὶ ἄπαυστον τῆς τοῦ ὀργανικοῦ σώματος εἰδοποιήσεως ἡμῖν ἀντικαταστήσας, οὐδὲ τὸ γέρας τῆς κατὰ τὸν Νοῦν θειότητος ἐν τούτῳ στήσει, ὃ πᾶσι τοῖς εἴδεσι κατ' Ἀριστοτέλην κοινότατόν ἐστιν· ἅπαντα γὰρ εἰδοποιεῖ συνεχῶς, ἐφ' ὅσον ἔνεισι τῇ ὕλῃ, συνιστῶντα τὸ σύνθετον· τὰ δὲ αἰσθητικά, καὶ κινήσεσι ζωτικαῖς παντῇ ἀδιαλείπτοις. Εἰ δὲ τὸν Νοῦν ὑπὲρ τὰ λοιπὰ αὐτοῦ ὁ λόγος ἐξαίρει, καὶ τῆς ὕλης ἀμιγῆ τίθησιν, (§. ψλζ'.) ἀνάγκη τοῖς πρεσβείοις τῆς ἀμιξίας, συναποκληροῦν τῷ Νῷ, καὶ ἐνέργειαν ἰδίαν, καθ' ἣν συνεχῶς τε καὶ ἀεὶ προσοῦσαν αὐτῷ, θεῖόν τι ἀτεχνῶς, καὶ ἀΐδιον, καὶ ἀθάνατον εἶναι χρῆμα κλείζοιτο. Ὁ δ' αὐτὸς
„ διορίζεται λέγων τὸ ἔμψυχον τοῦ ἀψύχου τῷ ζῆν (1), καὶ
„ πλεοναχῶς τὸ ζῆν λέγεσθαι ἐκδιδάσκων, καθ' ὅ,τι τούτων
„ ὑπάρχῃ μόνον φησί, ζῆν λέγομεν αὐτό, οἷον νοῦς, κίνη-
„ σις, κτ. Ἀλλὰ γὰρ ἡ αἴσθησις οὐκ ἂν τὸ ὅλον κατὰ τὸ ὑποκείμενον αὐτῆς ἀκινητήσειεν. Οὐδ' ἄρα ὁ νοῦς. Καὶ ἡ κατὰ τοῦτον ἄρα ζωὴ ἀεικίνητος οὖσα, διηνεκῆ τὴν νόησιν ἀπαιτεῖ, καὶ μηδέποτε παυομένην. Γενοίμεθα δ' αὖ ἐγγίον ἔτι, τῆς Ἀριστοτέλους οἶμαι διανοίας, ἐπὶ τὸν ἐνεργείᾳ προσειρημένον αὐτῷ νοῦν, οὑτωσὶ τὸν νοῦν ἐπιστήσαντες. Διακρίνων γὰρ αὐτὸς τὸν νοῦν τὸν ἐν ἡμῖν, τὸν μὲν οἱονεὶ ὕλην ὄντα τίθησι, καὶ δυνάμει, τὸν δὲ οἷον ἀρχήν, καὶ ποιητικόν, καὶ ἐνεργείᾳ. Βέλτιον δὲ ἴσως αὐτοῦ ἀκοῦσαι ταῦτα διδάσκοντος· „ ἐπεὶ δὲ ὥσπερ ἐν ἁπάσῃ τῇ φύσει, ἐστί τι
„ τὸ μὲν ὕλη ἑκάστῳ γένει, τοῦτο δὲ ὅτι πάντα δυνάμει ἐ-
„ κεῖνα, ἕτερον δὲ τὸ αἴτιον, καὶ ποιητικόν, τῷ ποιεῖν πάν-
„ τα, οἷον ἡ τέχνη πρὸς τὴν ὕλην πέπονθεν, ἀνάγκη καὶ
„ ἐν τῇ ψυχῇ ὑπάρχειν ταύτας τὰς διαφοράς. (2) Προϊὼν δὲ ἐκτίθησι τὰς διαφορὰς ταύτας τὰς ἐν τῇ ψυχῇ, οὕτω.
„ Καὶ ἔστιν ὁ μὲν τοιοῦτος Νοῦς, τῷ πάντα γίγνεσθαι (οὗτος δὲ σαφῶς ὁ κατὰ τὴν ὕλην ἐστί, καὶ δυνάμει.) ὁ δὲ τῷ
„ πάντα ποιεῖν ὡς ἕξις τις, οἷον τὸ φῶς. (οὗτος δὲ ὁ κατὰ τὸ ποιητικόν, καὶ ἐνεργείᾳ.) Τρόπον γάρ τινα καὶ τὸ

„ φῶς

(1) Ἀριστ. Ἐν Β'. Περὶ Ψυχ.

(2) Ἐν Γ'. Περὶ Ψυχ. Κεφ. Ε'.



„ φῶς ποιεῖ τὰ δυνάμει ὄντα χρώματα, ἐνεργείᾳ χρώμα-
„ τα. Ἑξῆς τε τὸν νοῦν λαμπρότερον ἐκθειάζει, καὶ ὁποῖός τις ἐστὶν ἐπισημότερον διαγνωρίζει. „ Οὗτος γὰρ φησὶν ὁ Νοῦς
„ χωριστός, καὶ ἀμιγής, καὶ ἀπαθὴς τῇ οὐσίᾳ ὢν ἐνερ-
„ γείᾳ. Ἀεὶ γὰρ τιμιώτερον τὸ ποιοῦν τοῦ πάσχοντος, καὶ ἡ
„ ἀρχὴ τῆς ὕλης. Τὸ αὐτὸ δέ ἐστιν ἡ κατ' ἐνέργειαν ἐπι-
„ στήμη τῷ πράγματι. Ἡ δὲ κατὰ δύναμιν χρόνῳ προτέρα
„ ἐν τῷ ἑνί. ὅλως δέ, οὐδὲ χρόνῳ. Ἀλλ' οὐχ ὁτὲ μὲν νοεῖ,
„ ὁτὲ δὲ οὐ νοεῖ. χωρισθεὶς δέ, ἐστὶ μόνον τοῦθ' ὅπερ ἐστί.
„ Καὶ τοῦτο μόνον ἀθάνατον, καὶ ἀΐδιον. Οὐ μνημονεύομεν
„ δέ, ὅτι τοῦτο μὲν ἀπαθές, ὁ δὲ παθητικὸς νοῦς φθαρ-
„ τός. Καὶ ἄνευ τούτου οὐδὲν νοεῖ. Καὶ ὁ μὲν Ἀριστοτέλης ταῦτα, οἷα, τ' ἀληθὲς εἰπεῖν, αἰνιγματώδη τινά, καὶ οὐ πάνυ εὐείκαστα. Ταύτῃ τοι καὶ τὸ χωρίον, ἅτε δὴ δυσαντίβλεπτον, εἰς ποικίλας τε καὶ μακρῷ ἀλλήλων διεστηκυίας τὰς ὁδοὺς ἀπήγαγε τοὺς προσεσχηκότας, ἄλλων ἄλλως, ἥπερ ἕκαστος περὶ ψυχῆς δόξης ἔσχεν, ἐπιβιῶσαι πειρασαμένων. Αὐτίκα καὶ γὰρ ὁ ἐξ Ἀφροδισιάδος, ἐνεργείᾳ νοῦν ἐνταῦθα νοεῖσθαι ὑπείληφε τὸ πρῶτον αἴτιον, αὐτὸν τὸν Θεόν. Α'. ὅτι πάντα εἴρηται ὁ Νοῦς οὗτος ποιεῖν. Β'. ὅτι τῇ οὐσίᾳ ὢν ἐνεργείᾳ. Γ'. ὅτι οὐχ ὁτὲ μὲν νοεῖ, ὁτὲ δὲ οὐ νοεῖ. Πρὸς οὖν Ἀλέξανδρον οὕτως ἐξειληφότα τὰ Ἀριστοτέλους παράρρημα ἀπαντητέον. Καὶ Α'. ὡς οὐ πάντα ποιεῖν εἴρηται, τὸ εἶναι τούτοις δωρούμενον, πάντα δὲ νοητὰ καθιστᾶν, τὸ νοεῖσθαι αὐτοῖς παρεχόμενον. Ἀμέλει τοι γάρ, ποιεῖ πάντα, οἷον καὶ τὸ φῶς (φησὶ) τὰ χρώματα, ἐξ ἀφανῶν δηλονότι, εἰς ἔμφασιν προκαλούμενον, καὶ τὰ δυνάμει ὁρατά, εἰς τὸ ἐνεργείᾳ τοιαῦτα εἶναι μεταβιβάζων. Εἰ δὲ τὸ πάντα ποιεῖν, ἐκείνῳ κατά γε τὸ εἶναι διερμηνεύειν, δι' ἴσου αὖ κἀπὶ τοῦ δυνάμει κρίνειν ἔδει, τὸ πάντα γίνεσθαι. Καὶ οὕτως αὖ εἰς τὸν Δία ἤδη ἀποθεωθέντος ἐκείνου, Πρωτεὺς αὖ ἡμῖν ἔσοιτο οὗτος εἰς πάντα παντῇ μεταβαλλόμενος χρήματα. Νοητέον οὖν τὰ τοιαῦτα, οὐκ ἐν τῇ οὐσίᾳ, ἀλλὰ κατ' ἔμφασιν, ὥσπερ εἴρηται, καὶ ὃν τρόπον Ἀριστοτέλης αὐτὸς φησὶν (1) „ τὴν κατ' ἐνέρ-

„ γειαν

(1) Ἀριστ. ἔνθα ἀνωτ.

„ γειαν ἐπιστήμην τὸ αὐτὸ εἶναι τῷ πράγματι. Οὔπω γὰρ καὶ τῶν νόων ἑκάτερος τὰ πράγματα· ὁ μὲν ἐστὶν, ὁ δὲ γίγνεται. Β΄. Εἰ καὶ τῇ οὐσίᾳ εἴρηται ἐνεργείᾳ, οὐκ αὖ ἐντεῦθεν γεμὴν εἰσβάλοιτις, μὴ διὰ μεσιτευούσης αὐτῷ τὸ ἐνεργεῖν εἶναι δυνάμεως. ( οὐδὲ γὰρ ἀναιρεῖ τὸ ἐνεργείᾳ, συνεισάγει δὲ μᾶλλον τὴν δύναμιν ἐν τῇ φύσει. ) Τοῦτο δὲ μόνον ἀποσυνάψειέ τις ἐκ τούτου, ὅτι ἀεργὴς οὐδέποτε αὐτῷ ἡ οὐσία. „ Οὐ γὰρ ( ἢ προσέθηκεν αὐτὸς ἑαυτὸν „ διασαφῶν ὁ Φιλόσοφος ) ὁτὲ μὲν νοεῖ, ὁτὲ δὲ οὐ νοεῖ· ἀεὶ δὲ νοεῖ. Ὥσπερ ἂν εἴτις, καὶ περὶ τοῦ πυρὸς εἴποι, ὅτι τῷ καυστικῷ ἐστὶν ἐνεργείᾳ, παρίστων καὶ γὰρ τῶν περὶ ἃ πέφυκε δρᾷν, οὐχ ὁτὲ μὲν καίει, ὁτὲ δὲ οὐ καίει· ἀεὶ δὲ πέφυκε καίειν. Ἡ περὶ τῶν σφαιρῶν ἑκάστης, ὅτι τῇ κινήσει ἐστὶν ἐνεργείᾳ, οὐ γὰρ ὁτὲ μὲν κινεῖται, ὁτὲ δ' οὐ κινεῖται· ἀεὶ δὲ κινεῖται· ἐξ οὕτω δέ τι σμικρᾶς προφάσεως ἀποδεῖν ἐθέλειν τὸν νοῦν, μὴ καὶ ῥᾳδιουργοῦντος αὖ εἴη πρὸς τὸ δοκοῦν σοὶ, τὰ λεγόμενα; Γ΄. Οὐδὲ γὰρ τοῦτο τὸ ἐς ἀεὶ νοεῖν, διότι γνώρισμα τῇ πρωτίστῃ αἰτίᾳ εἰδοποιόν, ὀρθῶς ὁ Ἀφροδισιεὺς περιάπτει. Ἐκεῖνος καὶ γὰρ ὁ Νοῦς ὁ ἀκρότατος, καὶ ἀεὶ, καὶ πάντα, καὶ ἅμα, καὶ ἀπείρως, καὶ ὑπερπλῶς νοεῖ· ὁ δὲ κατ' ἐνέργειαν νοῦς, περὶ οὗ ὁ λόγος, οὐχ οὕτως. Δ΄. Πῶς δ' ἂν καὶ περὶ τοῦ ὑπερτάτου Νοῦ τῷ Φιλοσόφῳ ἐν τούτοις, ὀρθῶς ἐβαινεν ὁ λόγος, ἔνθα ἡ περὶ ψυχῆς μάλιστα πρόκειται σκέψις; καὶ παρέρριπται δόγμα πάντων, ἡλίκον μόλις τις ἂν πεισθείη, μηδαμῶς κατασκευαζόμενον, ἀλλ' οἷον αὐτόκρους νομοθετούμενον; Ε΄. Πῶς δ' αὖτις ὅλως καὶ περὶ Θεοῦ λέγεσθαι ἐνταῦθα ἀναπεισθείη, τοῦ Ἀριστοτέλους αὐτοῦ „ ἐν τῇ ψυχῇ ὑπάρχειν ταύτας τὰς „ διαφορὰς διαρρήδην ἀποφηναμένου; καὶ τὸν μὲν εἶναι νοῦν τοιοῦτον, τὸν δὲ τοιοῦτον διορισαμένου; ἡ διαφορὰ, καὶ αὕτη οὐσιώδης, οὐσίας ὡς μὲν ὁ ἡμέτερος λόγος ( §. ψμζ΄. ψμη΄. ) δημιουργητῆς ἐκ τοῦ μηδενὸς ἂν εἴη, κατὰ δὲ τὸν Ἀριστοτέλην, πολλῷ τῶν θείων ὑποβεβηκυίας, καὶ ἥττονος, ὁ Νοῦς ἐκεῖνος ὁ ὑπερούσιος; Ϛ΄. Εἰ δὲ καὶ τὸν νοῦν τοῦτον τῷ φωτὶ ἀπεικάζει, καὶ τῇ ἕξει, ὧν ἐξ ἀνάγκης ἑκατέρου τὸ δυνάμει προϋποτίθεται, πῶς οὐκ ἂν εἴη τῇ ἀκράτῳ ἐντελεχείᾳ προσρίβειν ὁ Σταγειρίτης τὰ ὑβριστικώτατα; Ζ΄. Ὁ δυνάμει νοῦς ὑποτίθεται πρότερος ὢν τοῦ ἐνεργείᾳ. „ Ἡ δὲ „ κατὰ δύναμιν, φησὶ, χρόνῳ προτέρα. Θεοῦ δὲ τί ἂν γένοιτο πρότερον; καὶ πῶς πρότερόν τι τῷ χρόνῳ τοῦ ὑπὲρ χρόνον; Η΄. Καὶ οὗτος φησὶν ὁ νοῦς χωριστός ἐστιν. Ὁ δὲ πρωταίτιος Νοῦς, ὡς ἄριστα τῷ Φιλοπόνῳ (1) σεσημείωται „ οὐ χωριστὸς, ἀλλὰ κεχωρισμένος. Θ΄. Καὶ χωρισθεὶς δὲ, „ ἐστὶ ( φησὶν ) ὅπερ ἐστί. Πρόδηλον οὖν ὅτι πρὶν χωρισθῆναι συνεμέμικτο. Καὶ ἐπροϊόντι ἦν, καὶ οὐχ οἷον μετὰ τὸν χωρισμὸν γίνεται. Πῶς δὲ, καὶ τινι ὁ θύραθεν νοῦς συμμιχθείη; τίνα δὲ χωρισμὸν πάθοι, τίνα δὲ τροπὴν, ὁ ἀεὶ ὢν, καὶ ἀεὶ αὐτός; Ι΄. „ Πῶς δὲ καὶ τὸ ῥηθὲν ἐκδε„ κτέον, ὡς τοῦτο μόνον ἀθάνατον ἐστὶ, καὶ ἀΐδιον; ἢ οὐχὶ καὶ τὰ κεχωρισμένα τῶν εἰδῶν, καὶ τὰ οὐράνια, εἰ μηδὲν ἄλλο, κατ' Ἀριστοτέλην αὐτὸν, ἀθανασίας τετύχηκε, καὶ ἀϊδιότητος; ΙΑ΄. „ Καὶ τὸ τοῦτο δὲ μόνον, οὐδετέρως λεχθὲν ( ὡς ὁ Φιλόπονος (2) ) εὐστόχως δοκεῖ ἀναφέρεσθαι, ἐπὶ τὸ ἀνωτέρω ῥηθὲν τῆς ψυχῆς μόριον. Ὁ δὲ Νοῦς ὁ θύραθεν μόριον οὐκ ἐστι. ΙΒ΄. Τελευταῖον προσέθηκεν ὅτι „ οὐ μνη„ μονεύομεν, ὅτι τοῦτο μὲν ἀπαθὲς, ὁ δὲ παθητικὸς νοῦς „ φθαρτὸς, ἐξ ὧν φανερὸν, ὡς τὸν νοῦν ἐκεῖνον ὁ Φιλόσοφος ἐν τούτοις σκοπεῖ, ὃς ἐν ἡμῖν ἐστὶ, καθάπερ καὶ ὁ παθητικὸς, καὶ δι' οὗ πολλῶν ἀντιλαμβανόμεθα, ὧν διὰ τὴν τοῦ παθητικοῦ συνάφειαν, τοῦ φθαρτοῦ ὄντος, ἐπιλανθανόμεθα. Πρὸς μὲν οὖν Ἀλέξανδρον ταῦτα· ὁ δὲ Μαρῖνος ὁ Νεαπολίτης, ὑπὸ τῆς συνήθους τῷ Ἀριστοτέλει ( ὡς ὁ Φιλόπονος φησὶ (3) ) μεγαλονοίας πληγεὶς, εἰς φαντασίαν περιπέπτωκε, νοῦν τινα καὶ οὗτος ἐπακτὸν τῇ ψυχῇ ἐπιστήσας, Δαιμόνιον, ὑποβεβηκότα μὲν τοῦ ὑπερτάτου, ὡς ἄρα κἀξ ἐκείνου, πληρωθέντα γεμὴν ὑπερφυῶς δι' ὑπεροχὴν τῆς παρ' ἐκείνου περιούσης αὐτῷ τελειότητος, ἅπασι οἷς περισεμνύνεται ὁ νοῦς ἐκεῖνος ὁ κατ' ἐνέργειαν. Ἀλλὰ γὰρ, ὡς οὐκ οἰκείως, οὐδ' οὗτος ἀπαντᾷ τῇ προτεθείσῃ λέξει συνιδεῖν ῥάδιον



(1) Φιλόπον. Ἐν Ὑπομνήμ. Αὐτ.
(2) Ἐν Ὑπομν. Αὐτ.
(3) Αὐτ. Αὐτ.

διον ἐκ τῶν εἰρημένων τοῦ Δ', καὶ Ε', καὶ Ζ', καὶ Η', καὶ Θ', καὶ Ι', καὶ ΙΑ', καὶ ΙΒ'. Οἷς δὴ ἔχοι αὐτις προσθεῖναι, ὡς οὐ μόνης ἄρα τῆς Ἀριστοτελικῆς λέξεως ἀλλοτρείῳ ἐστὶν, ἀλλὰ καὶ ταῖς εἰς τόδε προτεθείσαις καὶ ἀποδειχθείσαις διὰ πολλῶν ἡμῖν ἀνωτέρω ἀληθείαις λαμπρῶς ἀπομαχομένῳ ἑκατέρω τὼ δόγματε. Εἴη γὰρ ἂν οὕτω κατὰ τὸν ἐξ Ἀφροδισιάδος ἡ λογικὴ ψυχὴ (τὸ γοῦν μέρος.) αἰώνιόν τι χρῆμα (κατὰ τὰς §. ψμδ'. ψμε', ψμς'.) Καὶ οὔτε ἐκ τοῦ μὴ ὄντος δημιουργηθεῖσα (κατὰ §. ψμζ'. ψμη'.) οὐδ' εἰς τὸ μηδαμῆ μηδαμῶς εἶναι χωρεῖσθαι ἔχουσα· (κατὰ τοῦ §. ψ.μθ', ψν'.) κατὰ δὲ τὸν αὐτὸν αὖ, καὶ τὸν Μαρῖνον, μία ἡ ψυχὴ καὶ ἡ αὐτὴ κατάγε τὸν ἐνεργείᾳ νοῦν, ὃς ὁ τιμιώτερος ἐστὶν, ἐν ἀνθρώποις ἅπασι. (κατὰ τὰς §. ψνγ'. ψνδ'. ψνε'.) Ἐπὶ πᾶσι δὲ οὐδ' ἐκεῖνο τὴν αἰτίαν μικρὸν δοκεῖ, ὅτι ἐκ τοῦ ἀκολούθου πάντας εἰκὸς τοὺς ἀνθρώπους, εἰς ἀκρότητα οὕτω γνώσεων ἁπασῶν ὁμολογεῖν ἥκοντας, ἤτοι τῇ ὑπερθέᾳ αὐτῷ φατὶ, ἢ γοῦν τῷ δαιμονίῳ ἐκείνῳ Νῷ φωταγωγουμένους, καὶ μεγαλόνοας οὕτως εἶναι τινὰς, καὶ μακαρίους, οὐδέ τισι τῶν ἀτόπων, οὐδὲ ψευδῶν ὅλως γινομένοις προσεκτικούς. Εἰ γὰρ ὅ,τι δήποτε ὁ ἐν αὐτοῖς δυνάμει νοῦς γίνεται τοῦτο νοεῖν οἱ πάντες πεφύκασι· γίνεται δ' ὅτι ὁ ἐνεργείᾳ ποιεῖ, πρόδηλον ὡς οὐδὲν οὔτε, τηλικοῦτός γε ὤν, νοεῖν παρέξεται μέτριον, οὐδ' ἀτελὲς, κοῦφον οὐδὲν, οὐδ' ἄλογον, οὐδὲν πλημμελὲς οὐδὲ διημαρτημένον, καὶ ἑαυτοῦ ἥκιστα ἄξιον. Ἀλλὰ γὰρ καὶ πρὸς τούτους ἅλις. Πλούταρχος δὲ ὁ Ἀθηναῖος, καὶ σὺν αὐτῷ ὁ Φιλόπονος, αὐτὸν εἶναι ὑπειλήφασι τὸν ἐνεργείᾳ νοῦν, τὸν ἐν ἡμῖν, καὶ τῆς ἡμᾶς εἰδοποιούσης ψυχῆς τὸ μόριον τὸ τιμιώτατον, ὀρθῶς ἧττον τῷ Ἀριστοτέλει στοιχοῦντες· τοῦτο δέ μοι δοκεῖ οὐ καλῶς αὐτοῖς ἐσκέφθαι, ὅτι οὐκ ἐφ' ἑνὶ ἑκάστῳ τῶν ἀνθρώπων, τὸ διττὸν τοῦ νοῦ χρεὼν εἰσάγειν ᾠήθησαν, οὐδὲ λέγειν ἐπὶ τῆς αὐτῆς ψυχῆς, τὸν μὲν ἐνεργείᾳ νοῦν, εἶναι, τὸν δὲ δυνάμει, ἐπὶ δὲ ἄλλης καὶ ἄλλης, ὡς εἶναι τούτων τὸν συνδυασμὸν λαβεῖν μόνον, ἐπὶ τοῦ τῶν πάντων ἀνθρώπων ἀθροίσματος. „ Οὐ „ γὰρ τὸν ἕνα ἀριθμῷ, φασὶ, (1) νοῦν λέγομεν ἀεὶ νοεῖν, „ ἀλλ' ὅτι ἐν ὅλῳ τῷ Κόσμῳ ἀνθρώπινος νοῦς ἀεὶ νοεῖ. „ Κἂν ἐγὼ μὴ νοῶ, ἀλλ' οὖν ἄλλος νοεῖ. Καὶ τῇ διαδοχῇ „ γίνεται τὸ ἀεὶ, ἵνα μὴ ἐπιλείψῃ ἡ ἔλλαμψις πρὸς ἡ„μᾶς ἡ τοῦ Θεοῦ. Εἰ γὰρ μὴ ἀεὶ νοοῦμεν, ὅτε μὴ νοοῦμεν „ ἐπιλείψει. Εἰ δὲ οὕτω λέγομεν τὸ ἀεὶ νοεῖν, τοῦτο ἐπὶ „ τοῦ ἀνθρωπίνου νοῦ ὑπάρχει. Ἀεὶ γὰρ νοεῖν λέγομεν οὐκ „ ἐπὶ τοῦ ἑνὸς κατὰ ἀριθμὸν, ἀλλ' ἐπὶ πάντων, ὥσπερ καὶ „ ἀεὶ ζῶν λέγομεν ἄνθρωπον, οὐ διὰ Σωκράτην, ἀλλ' ὅτι „ τις ἄνθρωπος ἀεὶ ζῇ· ἢ ὅτι ἀεὶ νοεῖν λέγεται, ἐπειδὴ „ ἀεὶ δύναται νοεῖν· ὁ γὰρ ἔχων τὸν νοῦν ἐν οἱᾳδήποτε „ ὥρᾳ βούλεται, νοεῖ. Ἐκ τούτων οὖν μαθεῖν ἔξεστιν, ὡς οὐδὲν ἄλλο τὸ κινῆσαν τοὺς ἄνδρας οὕτω φρονεῖν, ἢ ὅπως μὴ τὸ ἀεὶ νοεῖν τῇ λογικῇ ψυχῇ ἀποδοῦναι ἀναγκασθεῖεν· λανθάνουσι δὲ τῷ Ἀριστοτέλει αὐτῷ προσκρούοντες, οἱ μόνου τοῦ Πλωτίνου δοκοῦντες ἀπέχεσθαι. Α'. „ Καὶ γὰρ εἰπὼν ἐκεῖνος „ ἐν ἑκάστῃ φύσει, τὸ μὲν ὡς ὕλη, καὶ δυνάμει, τὸ δ' ὡς ποιη„τικὸν, προσθεὶς δὲ ὅτι καὶ τῇ ψυχῇ ἀνάγκη προσεῖναι „ ταύτας τὰς διαφορὰς, ἐπὶ τοῦ αὐτοῦ ταῦτα συνῆψεν ὑποκειμένου, οὐκ ἐπὶ ἄλλου δὲ καὶ ἄλλα ταῦτα διέστησε. Β'. Φωτὶ μὲν τὸν ἐνεργείᾳ νοῦν, τῷ χρωννυμένῳ δὲ τὸν δυνάμει ἀπεικάσας, εἰς τὸ αὐτὸ γινομένους ἄμφω σαφῶς ᾐνίξατο. Γ'. „ Εἰπὼν ὅτι ἡ κατὰ δύναμιν χρόνῳ προτέρα, οὐκ ἔοικεν ἐπὶ πολλῶν ἀνθρώπων ποιεῖν τὴν διάθεσιν, ἐφ' ὧν οὐδὲν ἂν ἧττον ἀληθεύσειε, καὶ τὸ εἶναι ὑστέραν, καὶ τὸ ἅμα· τοῦ γὰρ παντὸς ἀϊδίου ὑποτιθεμένου, ὅμοιον ἂν εἴη κἀνταῦθα τῷ χυδαίῳ ζητήματι, πότερον τὸ ᾠὸν τῆς ὄρνιθος πρότερον, ἢ ἀνάπαλιν; ὃ δὴ καὶ ὁ Φιλόπονος αὐτὸς (οὐδὲ γὰρ ἄλλως τῶν παχυτέρων τις ἐγένετο.) συνοῖδε, διὸ καὶ τὸ ἐν τῷ ἑνὶ ἐπὶ τοῦ αὐτοῦ ἀνθρώπου, καὶ οὐκ ἐπὶ τῶν ἐν ὅλῳ τῷ κόσμῳ ἐξέλαβε. Καίτοι δὲ διὰ τοῦ ἑξῆς, τὴν αὐτοῦ δόξαν παραμυθεῖταί πως „ τὸ ὅλως δὲ, οὐδὲ χρόνῳ ἀντὶ τοῦ καθόλου, πρὸς τὸ δοκοῦν οἱ μεθέλκων καὶ βιαζόμενος, ἀλλὰ φανερὸν ἄλλοθεν τὸ βεβιασμένον τοῦ λόγου, καὶ τὸ τῆς ἐπανορθώσεως σχῆμα οὐκ ἐνδίδωσι πρὸς τὴν ἀπὸ τοῦ ἑνὸς, ἐπὶ πάντας ἀνθρώπους μετάβασιν. Δ'. „ Καὶ χωρισθεὶς „ δὲ, φησὶν, ἐστὶ κτ. τίνος ποτὲ χωρισθείς; ἢ (ὡς καὶ τῷ Φιλοπόνῳ δοκεῖ.) ἀπὸ τοῦ δυνάμει. Οὐκοῦν τούτῳ καὶ συ-

(1) Φιλόπον. Ἐν Γ'. τῶν περὶ Ψυχ. Τμημ.

νημμένος ἐτύγχανε πρὶν χωρισθῆναι. Καὶ μὴν ὁ ἐν ἐμοὶ
γενόμενος ἐνεργείᾳ (ἐρεῖ τις) οὐκ αὖ ποτε χωρισθείη, ὅτι
μηδὲ συνημμένος ποτὲ ἦν, ἀεὶ δὲ κεχωρισμένος. Ε΄. Αὐ-
τοῦ δὲ τοῦ Φιλοπόνου τὴν μαρτυρίαν, τὴν πρὸς τὸν Ἀφροδι-
σιέα, καὶ τὸν Μαρῖνον, λέγοντος, ὡς Ἀριστοτέλης περὶ
αὐτοῦ φησὶν „ ὅτι τῷ μὲν ὑποκειμένῳ ὁ αὐτός ἐστι, τῷ δὲ
„ χρόνῳ διάφορος, (1) κἀντεῦθεν ἐπιφέροντος, οὐκ ὂν νοητέον
εἶναι νοῦν ἐνεργείᾳ ἐνταῦθα, τὸν θύραθεν, εἴτις ἐπ' αὐτὸν
τοῦτον ἀντιστρέψειε διατεινάμενος, ἔστιν ὅπως οὐκ αὐτὸν τοῖς
αὐτοῦ ἁλώσιμον ἀναδείξειεν; ς΄. Ὁ κατ' ἐνέργειαν νοῦς τῷ
Ἀριστοτέλει ἀρχὴ καὶ ποιητικὸν εἶναι τίθεται, ὁ δὲ δυνά-
μει ὡς ἡ ὕλη καὶ τὸ γινόμενον· „ ὁ μὲν γὰρ, φησὶ, πάντα
„ ποιεῖ, ὁ δὲ πάντα γίνεται· καὶ ποιεῖν μὲν λέγεται ὁ
„ ἐνεργείᾳ νοῦς, διὰ τὸ πάντων τοὺς τύπους καταγράφειν ἐν
„ τῷ δυνάμει νῷ, διὸ καὶ Πλάτων γραφεῖ τοῦτον εἰκάζει,
„ Ἀριστοτέλης δὲ αὐτόθεν γραφέα αὐτὸν ὑποτίθεται. (2)
Τί οὖν; ἢ τὸν ἐν τῷ Σωσίᾳ νοῦν, τὸν γραφέα εἶναι ῥητέον
τῶν νοημάτων, τῶν ἐν τῷ νῷ, ὡς ἐν πίνακι γραφομένων τοῦ
Κλέωνος; Ἀλλὰ γελοῖον τοῦτό γε. Ζ΄. Τί δὲ εἴπερ εἷς ἐν
τῷ παντὶ καὶ μόνος, ὑποτεθείη ἄνθρωπος; τί δ' εἰ πάντες
νοοῦντες τύχωσι; τί δ' εἰ τῶν πάντων μηδείς; (οὐδὲ γὰρ ἀ-
δύνατα ταῦτα.) οὐκ ἂν κενὴ εἴη, καὶ φρούδη, καὶ τὸ ὅλον ἄ-
τοπος, καὶ διεψευσμένη ἡ περὶ τὸν διττὸν νοῦν ὑπόθεσις
τοῦ Φιλοσόφου; Καὶ μὴν οὕτως „ ἀνάγκη ταύτας τὰς δια-
„ φορὰς ἐν τῇ ψυχῇ ὑπάρχειν βοᾷ. Εἰ δὲ ἀνάγκη, κἂν
μία, καὶ μόνη τύχοι ὑφεστηκυῖα ψυχὴ, τὸ προσῆκον ἐξ ἀ-
νάγκης ἑαυτῆς τῇ φύσει οὐκ ἀφαιρεθήσεται, ἀλλ' ἕξει ἀνα-
φαιρέτως· ὅ,τι γὰρ ἀναγκαίως τῷ εἴδει πρόσεστι, καὶ ἑνὶ
ἑκάστῳ τῶν ὑπ' αὐτὸ πάντως προσέσται. Η΄. Παρίημι λέ-
γειν, ὅσα τὰ ἐν τῇ ἐκθέσει τῆς δόξης ἄτοπα οἷον τὸ,
„ κἂν ἐγὼ μὴ νοῶ, ἄλλος τις νοεῖ, ἵνα μὴ ἐπιλείψῃ ἡ
„ πρὸς ἡμᾶς τοῦ Θεοῦ ἔλλαμψις, καὶ τὸ, ὥσπερ ἀεὶ ζῆν
„ λέ-

(1) Φιλόπον. Ἐν Ὑπομνήμ. Αὐτ.
(2) Αὐτ. Αὐτ.



„ λεγόμενον ἄνθρωπον, οὐ διὰ Σωκράτην. Καὶ τὸ ἀεὶ νοεῖν
„ λέγεται, ἐπειδὴ ἀεὶ δύναται νοεῖν, ἐν οἷς μάλιστα τὸ
ἐνεργείᾳ τῷ δυνάμει ἐκ προθέσεως ἀντιδιαστέλλεται· ταῦ-
τα γὰρ ἐπιεικῶς ἀφελῆ, καὶ ψυχρὰ, καὶ οὐδὲ κομιδῇ πρὸς ἀ-
λήθειαν εὔεδρα, οὐθ' ὑπὸ Φιλοσοφίας πρὸς ἀκρίβειαν ἀπε-
ξεσμένα. Ἀλλὰ καὶ πρὸς τὴν τοῦ Φιλοπόνου δόξαν τούτων ἀ-
ποχρώντως εἰρημένων, τρίτην τακτέον τὴν κατὰ Σιμπλίκιον.
Οὗτος οὖν οὔτε τοῦ μετεχομένου ὑπὸ τῆς ψυχῆς νοῦ, οἷος ἂν
εἴη ὁ κατὰ Μαρῖνον, οὐδ' ἔτι μᾶλλον περὶ τοῦ ἀμεθέκτου, οἷος
ὁ κατὰ τὸν Ἀφροδισιέα, ἐν τούτοις τὸν Ἀριστοτέλην πραγμα-
τεύεσθαι διατεινόμενος „ πῶς γάρ; εἰ περὶ ψυχῆς (φησὶν)
„ ἡ πραγματεία; Περὶ τῆς λογικῆς ψυχῆς τὴν ὅλην θεω-
ρίαν κυριώτατα εἶναι ἐξέλαβε. „ Καὶ διττὸν μὲν εἶναι
„ (φησὶ) τὴν πρώτην τὸν τῆς ψυχῆς λόγον, τὸν μὲν
„ χωριστὸν, καὶ πλήρη ἀφ' ἑαυτοῦ τῶν οἰκείων γνωστῶν, κα-
„ θ' ὃν ἡ εἰς ἑαυτὴν τῆς ψυχῆς ἐπιστροφὴ, καὶ πρὸς τὰ
„ κρείττω συνάφεια· τὸν δὲ, καθ' ὃν ἐξισταμένη τῆς ἐν αὐ-
τῇ μονῆς, ὅλη πρὸς τὰ δεύτερα ἀποτείνεται. (1) κἀκεῖνον
μὲν ἐνεργείᾳ νοῦν ἀποκαλεῖ, καὶ τέλειον εἶναι λέγει· τὸν δέ-
πως ὑποβεβηκότα, καὶ δυνάμει, καὶ τελειούμενον. Ἐκ γοῦν
τῶν ἀντικειμένων, ἅπερ ἐστὶ τὰ νοητὰ, τὸ διττὸν τοῦ νοῦ
ποριζόμενος, οὐ πάνυ μοι δοκεῖ τῷ Ἀριστοτέλει οὐδ' οὗτος συ-
σπένδεσθαι. Α΄. Καὶ γὰρ ὡς μὲν ἐκεῖνος, τοῦ μὲν κατ' ἐνέρ-
γειαν ἐστὶ τὸ πάντα ποιεῖν, τοῦ δὲ δυνάμει τὸ πάντα γί-
νεσθαι· ὡς δ' οὗτος ἔοικε δόξης ἔχειν, ὁ μὲν γίνεται τὰ κρείτ-
τω, τῶν χειρόνων ἀπεχόμενος, ὁ δ' ἀνάπαλιν τὰ χείρω
ποιεῖ τῶν κρειττόνων ἀφιστάμενος, καὶ παρὰ τὸ μηδέτερον αὐτῶν
περὶ πάντα ἔχειν, καὶ θάτερος θατέρου τὸ ἔργον οἰκειοῦται
τὸ μηδὲν οἱ προσῆκον περιποιούμενος· γίνεται γὰρ ὁ ἐνερ-
γείᾳ, καίτοι ποιεῖν πεφυκὼς, ποιεῖ δ' ὁ δυνάμει, ὁ μόνον
γίνεσθαι τεταγμένος· τὰ μὲν γὰρ κρείττω ὁ ἐνεργείᾳ καὶ
ποιῶν ἐστὶν αὐτὸς ἑαυτὸν, καὶ γινόμενος· τὰ δὲ χείρω ὁ δυ-
νάμει, ἑαυτόν τε αὐτὸς ποιεῖ, καὶ ὑφ' ἑαυτοῦ γίνεται. Ὡς
εἴγε

(1) Σιμπλίκ. Ἐν Ὑπομν. Αὐτ.

εἴγε ὑπὸ τοῦ ὑπερβεβηκότος ὁ ὑποβεβηκὼς οὗτος νοῦς γίνεται, ἅττα καὶ γίνεται, ἔσται μὲν ἐκεῖνος αὖθις τῶν πάντων ποιητικὸς, τὰ μὲν ἑαυτῷ ποιῶν, τὰ δὲ τῷ ἑτέρῳ, ἔσται δὲ οὗτος τὰ ἑαυτοῦ μόνα, καὶ οὐχὶ πάντα ὑπ' ἐκείνου γινόμενος. Α. Πῶς αὖτις ἔχοι τῷ πάντα λέγοντι λόγῳ δεῖξαι συνᾴδοντα; Β'. „Τῷ Ἀριστοτέλει δοκεῖ ὅτι δυνάμει πως ἐστὶ τὰ „νοητὰ ὁ νοῦς, ἀλλ' ἐντελεχείᾳ οὐδὲν πρὶν ἂν μὴ νοῇ. Ἀλλὰ μὴν καὶ αὐτὸς νοητός ἐστιν, ὥσπερ τὰ ἄλλα. Ἆρα καὶ πρὸς ἑαυτὸν ἐπιστρέφων, καὶ πρὸς τὰ ἄλλα, πρὶν ἂν μὴ νοῇ, δυνάμει ἔσται· νοῶν δὲ ὅ,τι δήποτε ἐπίσης ἔσται ἐντελεχείᾳ. Οὐκ ὀρθῶς ἄρα φιλοσοφοῦντός ἐστι κατὰ τὸ Ἀριστοτέλει δοκοῦν, ἐκ τῆς τῶν νοουμένων διαφορᾶς, τὴν διαφορὰν τῶν νόων ἐκδέχεσθαι. Γ'. „Εἰ δὲ ὁ ἐνεργείᾳ νοῦς τῷ μὲν ὑποκειμένῳ „ὁ αὐτός ἐστι, τῷ δὲ χρόνῳ διάφορος, παρὰ τὸ δυνάμει, „καὶ τὸ ἐνεργείᾳ· πρότερον γὰρ ὢν δυνάμει, ὕστερον „ἐνεργείᾳ γέγονεν. (1) Ἐναντιωτάτη ἂν εἴη τὸ πρᾶγμα κατὰ Σιμπλίκιον· οἷς γὰρ αὐτὸς ὑπείληφε, δεύτερον τὸν δυνάμει θετέον. Ἡ γὰρ πρὸς τὰ δεύτερα τῆς ψυχῆς ἀπόπτωσις, τὴν ἐν ἑαυτῇ μονὴν, ἀφ' ἧς πως ἐξίσταται ὡς ὅρον ἀφ' οὗ ἐξ ἀνάγκης προϋποτίθησιν. Τελευταῖον δὲ τοῖς αὐτοῖς, ἢ καὶ παραπλησίοις τῶν λόγων καὶ ἡ τοῦ Ἄραβος Ἀβερρόου, ἡ αὐτὴ οὖσα τῇ κατὰ Μάρινον, καὶ ἡ τοῦ Θεμιστίου αὐτοῦ ἐλεγχθήσεται, ὅστις ψυχικὸν μὲν ὑπετίθετο τὸν ποιητικὸν νοῦν, καὶ οὐχὶ θύραθεν, ὅλως δ' ἀνθρώπινον, ἕνα γε μὴν τοῖς πᾶσι κοινότατον ὄντα τοῦτον ἐτίθετο, τῆς ἐν ἑκάστῳ ψυχῆς, τὸ τελειωτικὸν εἶδος τελοῦντα, τὸ ἔσχατον. Ὃ δὴ δόγμα πρὸς τοῖς ἄλλοις, εἰ καὶ τῇ κατὰ τὴν λογικὴν ψυχὴν οὐσιώδει τε καὶ ὑποστατικῇ τελειότητι σύμφωνον ἐστὶν, ἄλλοι κρινόντων. Ἡμῖν οὖν τοῦ κατὰ τὰς τῶν ἄλλων ἑρμηνείας Ἀριστοτελικοῦ λόγου, ἀσυστάτου οὕτως ἔχειν δοκοῦντος ἑαυτῷ, καὶ τῇ τῆς ψυχῆς οὐσίᾳ ἥκιστα ἑπομένου, θετέον ἤδη τὸ δοκοῦν ὧδε. Περὶ τῆς λογικῆς ψυχῆς ὁ Ἀριστοτέλης ἐνταῦθα δῆλος ἐστὶ πραγματεύεσθαι, ἣν δὴ μόριον εἰκότως, ἐν τῷ πρὸ

(1) Φιλόπον. Ἐν Ὑπομν. Αὐτ.



πρὸ τοῦ (1) Κεφαλαίῳ ἐκάλεσεν, ὡς δύναμίν τινα, τῆς θρεπτικῆς, καὶ αἰσθητικῆς ἀντιδιαστείλας. Ταύτης δὲ τὰς ἐνεργείας κατὰ γνῶσιν, καὶ φρόνησιν εἶναι φησί. Τοῦτο δὲ ἐστὶ τὸ εἴτε θεωρητικῶς, εἴτε καὶ πρακτικῶς νοεῖν. Καὶ δὴ τὸ νοεῖν αὐτὸ, κατὰ παράθεσιν πρὸς τὴν αἴσθησιν πολυπραγμονήσας (χωρεῖ γὰρ ἐπιστημόνως ἀπὸ τῆς τῶν ἐνεργειῶν, ἐπ' αὐτὴν τῆς δυνάμεως τὴν γνῶσιν χειραγωγούμενος) ἀδιαφόρως ἔχειν, ὥσπερ τὴν αἴσθησιν πρὸς τὰ αἰσθητὰ, οὕτω τοι καὶ τὸν νοῦν αὐτὸν πρὸς τὰ νοητὰ κατείληφεν. Ἑκατέραν τε δύναμιν, τῶν οἷς διαμορφοῦται εἰδῶν δεκτικὴν, καίτοι τὰ ἄλλα ἐπισήμως διαφερούσας. Ἡ μὲν γὰρ ὑπὸ τῶν ὑπερβολῶν, καὶ τῶν ἐλλείψεων διαφθείρεται, ἡ δὲ ὑπὸ τῶν κρειττόνων μᾶλλον τελειοῦται. Ἡ τοίνυν δεκτικὸν τὸν νοῦν ὄντα τῶν νοητῶν, καὶ διὰ τὸ πρὸς αὐτὰ ἀδιάφορον, καὶ ὅτι ἀφ' ἑτέρου πέφυκε μεταβαίνειν εἰς ἕτερον, οὐδὲν αὐτὴν „ἐνεργείᾳ τῶν ὄντων, „πρὶν ἕκαστον νοεῖν, πάντα δὲ δυνάμει εἶναι προσείρηκεν. Ἀλλὰ δὴ τὸν αὐτὸν τοῦτον, καὶ νοῦν ἅμα ἐνεργείᾳ ἀποκαλεῖν ἀξιοῖ, ὡς ἑαυτὸν ἐπὶ τὸ νοεῖν διορίζοντα, καὶ ἀφ' ἑτέρου εἰς ἕτερον γνωστικῶς μεταβιβάζοντα, καὶ καθ' ἑαυτὸν αὐτουργεῖν τὰς νοήσεις τὰς ἑαυτοῦ δύναμιν ἔχοντα· ἔνθα γὰρ μεταβολή τις ἐστὶ τελουμένη, ἐκεῖσε πάντως, τό, τε μεταβάλλον ὑπόκειται, καὶ τὸ ὑφ' οὗ ἡ μεταβολὴ, ὡς ὑπὸ ποιητικοῦ ἤρτηται. Τοῦτο δὲ φανερὸν ἐν ὅλῃ τῇ φύσει, ἐν οἷς αἱ μεταβολαὶ, καθ' ἃς τὸ μὲν μεταβάλλον τῇ ὕλῃ ἀναλογεῖ, τὸ δὲ ὑφ' οὗ, κατ' ἐνέργειαν τὴν ἑαυτοῦ, ποιητικὸν τῆς μεταβολῆς, καὶ παραίτιον ἐστίν. „Φησὶν οὖν ὥσπερ ἐν „ἁπάσῃ τῇ φύσει, ἔστι τι, τὸ μὲν ὕλη ἑκάστῳ γένει (τουτέστιν ἐφ' οἵας οὖν τάξεως μεταβολῶν.) τοῦτο δὲ (ὡς ὕλη „δηλ.) ὅτι πάντα δυνάμει ἐκεῖνα. Ἕτερον δὲ τὸ αἴτιον, „καὶ ποιητικὸν, τῷ ποιεῖν πάντα. (τὰ ἐν τῷ τοιῷδε γένει γινόμενα νοητέον.) „οἷον ἡ τέχνη πρὸς τὴν ὕλην πέπον„θεν. Οὕτω τοι ἀνάγκη καὶ ἐν τῇ ψυχῇ (τὴν λογικὴν ἐκδέχομαι λέγοντα. Περὶ γὰρ ταύτης ἐνταῦθα λόγος.) „ὑπάρ-

(1) Ἀρις. Ἐν Γ'. Περὶ Ψυχ. Κεφ Δ'.

„ ὑπάρχειν ταύτας τὰς διαφοράς. Προσεκτέον γε μὴν, τὰ
τοιαῦτα κατ᾽ ἀναλογίαν τινὰ καὶ καθ᾽ ὁμοίωσιν ἐκλαμβάνειν,
ἥπερ ἐνδέχεται, καὶ συγχωρεῖ τοῦ, περὶ οὗ ὁ λόγος, γέ-
νους ἡ φύσις· „ ὥσπερ γάρ φησι, καὶ ἐν ἑκάστῳ δὲ φύσει
προσέθηκε, τὸ κατὰ τὴν προκειμένην φύσιν εἰκὸς διασώζειν
δεῖν „ οἷον ὑποτιθέμενος. Καὶ γὰρ καὶ τὸ οἷον ἡ τέχνη
πρὸς τὴν ὕλην αὐτὸ τοῦτο παρίστησι, τὸ μέχρι τινὸς τού-
τοις τὴν ψυχὴν ἀπεικάζεσθαι. Ἄλλως τε γὰρ οὐ καθ᾽ ὕλην κυ-
ρίως τὴν ψυχὴν ἔχειν, ἀληθές, οὐδέ τι ἐπίκτητον ἐστὶν αὐ-
τῇ τὸ ποιητικὸν τῆς δυνάμεως, ὡς τῇ τέχνῃ τῷ παντὶ ἀ-
φομοιοῦσθαι. Ἐφ᾽ οἷς καὶ τῇ μὲν ὕλῃ συμβέβηκεν ὑποκεῖσθαι
τῇ τέχνῃ, τοῦ τε ὑποκειμένου τῇ ἕξει. „ Ἐπὶ δὲ τῆς ψυ-
„ χῆς, ἀνάγκη φησὶ ταύτας εἶναι τὰς διαφοράς. Οὐδ᾽ ἂν
εἴη αὐτῇ κατὰ συμβεβηκὸς, τὸ εἰς νόησιν ἀναγκαῖον, οὐσίᾳ
διανοητικῇ οὔσῃ· ὡς ἐπ᾽ αὐτῆς οὔτε τὸ δυνάμει, πράγματι
καὶ οὐσίᾳ διΐστασθαι τοῦ ἐνεργείᾳ, οὔτ᾽ αὖ ἀνάπαλιν· μία γὰρ
ἡ δύναμις, τῷ μὲν ὑποκειμένῳ ἡ αὐτὴ, λόγῳ δὲ διαφέρου-
σα. „ Καὶ ὁ μὲν τοιοῦτος ἐστὶ νοῦς τῷ πάντα γίνεσθαι, ὁ
„ δὲ τῷ πάντα ποιεῖν, τῇ οὐσίᾳ εἷς, τῷ λόγῳ διαφέρων.
Αὐτὴ γὰρ ἀφ᾽ ἑαυτῆς ἡ λογικὴ ψυχὴ αὐτοδιόριστός τε οὖσα,
καὶ αὐτοκίνητος, πρὸς μὲν ἃ οὔπω διώρισται τὸ δυνάμει ἔ-
χουσα, πρὸς ἃ δὲ ἤδη τὸ ἐνεργείᾳ, ἑκάτερον εἶναι θεωρεῖ-
ται καὶ λέγεται. „ Ὡς ἕξις τις. (ὁμοιωτικῶς δηλ. κἀνταῦ-
θα.) Ὥσπερ γὰρ ἡ ἕξις πρὸς ἅπαντα τὰ ἐκτὰ, καὶ τὸ
δυνάμει πλουτεῖ, καὶ τὸ ἐνεργείᾳ, τὸ μὲν, ἅτε πάντα δυ-
ναμένη, τὸ δὲ, ὡς περὶ πάντα κατὰ μετάβασιν, τὴν ἀφ᾽ ἑ-
τέρου εἰς ἕτερον ἐνεργοῦσα, οὕτωσὶ καὶ ἡ ψυχή. „ Οἷον τὸ
„ φῶς. (καὶ τοῦτο ὁμοιωτικῶς.) Τρόπον γάρ τινα, φησὶ,
„ καὶ τὸ φῶς ποιεῖ τὰ δυνάμει ὄντα χρώματα ἐνεργείᾳ ὄν-
„ τα χρώματα. Καὶ οὕτως οὖν ὁ νοῦς, ὁ πάντα καὶ ποιῶν καὶ
γινόμενος, τὸ μὲν ἐνεργείᾳ, τὸ δὲ δυνάμει προσειρημέ-
νος „ τουτὶ δηλ. τὸ μόριον, ὡς ἐξ ἀρχῆς ἐλέγετο, ᾧ πάν-
„ τα φρονεῖ, καὶ γινώσκει ἡ ψυχὴ, χωριστός ἐστιν, (ὡς
καθ᾽ ἑαυτὸν ὑποστῆναι δυνάμενος) καὶ ἀμιγὴς „ (ἀνάγκη
„ γὰρ ὡς ἀνωτέρω ἐλέγετο, ἐπεὶ πάντα νοεῖ, ἀμιγῆ εἶναι,
„ ὥσπερ φησὶν Ἀναξαγόρας κτ.) καὶ ἀπαθὴς (μηδὲν ὑ-
πὸ τῶν νοητῶν δηλονότι, καθάπερ ἡ αἴσθησις ὑπὸ τῶν αἰ-
θη-



θητῶν ὡς εἴρηται, παθαινόμενος.) „ τῇ οὐσίᾳ ὢν ἐνερ-
„ γείᾳ. Ἐπεὶ γὰρ ὁ αὐτὸς καὶ δυνάμει ὑπετέθη ὢν, καὶ
ἐνεργείᾳ, καὶ ἄμφω ταύτας τὰς διαφορὰς ἐξ ἀνάγκης ἔχων
ἐστὶν, ἐκ τοῦ ἐνεργείᾳ εἰκότως τὴν οὐσίαν γνωρίζεται· τῆς
τιμιωτέρας δηλονότι τῶν διαφορῶν, ἀντὶ συστατικοῦ παραλη-
φθείσης. Διὸ προστίθησιν, αἰτιολογῶν· „ ἀεὶ γὰρ τιμιώ-
„ τερον τὸ ποιοῦν τοῦ πάσχοντος, καὶ ἡ ἀρχὴ τῆς ὕλης. Ἀ-
μέλει τοι γὰρ καὶ ἐν ἀρχῇ τοῦ Δ΄. Κεφαλαίου ὑπογραφὴν τινα,
τοῦ περὶ οὗ ὁ λόγος μορίου ἀποδιδοὺς „ ᾧ γινώσκει τε ἔφη
„ καὶ φρονεῖ ἡ ψυχὴ, οὐχ ᾧ δύναται γινώσκειν τε, καὶ φρο-
νεῖν, τῇ ἐνεργείᾳ κἀκεῖσε, οὐ τῇ δυνάμει, τὸν ψυχικὸν
νοῦν γνωρίσας. Καὶ μικρὸν κατωτέρω, ὡσαύτως „ λέγω
„ δὲ νοῦν, ᾧ διανοεῖται καὶ ὑπολαμβάνει ἡ ψυχὴ, καί τοι
„ οὐδὲν εἶναι ἐνεργείᾳ τῶν ὄντων πρὶν νοεῖν, προστίθησιν.
Οὕτως οὖν ἀπὸ τοῦ τιμιωτέρου, ὅπερ ἐστὶ τὸ ἐνεργείᾳ νοεῖν,
τὸν νοῦν περισεμνύνας, προστίθησιν ὅτι „ τὸ αὐτό ἐστιν ἡ
„ κατ᾽ ἐνέργειαν ἐπιστήμη τῷ πράγματι. Διδάσκει δὲ διὰ
τούτου σαφῶς, ὅτι νοῶν ἐνεργείᾳ ὁ νοῦς, αὐτὸ τὸ νοητόν πως
ἐστίν. „ ὥσπερ καὶ μὴ νοῶν, δυνάμει δὲ ἔχων, δυνάμει
„ πως εἶναι τὰ νοητὰ ἀνωτέρω ἐλέγετο. Εἴπερ οὖν ἡ κα-
τ᾽ ἐνέργειαν νόησις (ἣν τῇ κατ᾽ ἐνέργειαν ἐπιστήμῃ προσεί-
κασεν.) αὐτὸ τὸ νοητὸν, ἡ δὲ κατὰ δύναμιν αὐτὸ τοῦτο δυ-
νάμει, σαφὲς ὅτι ἐν ἑνὶ καὶ τοῦ αὐτοῦ νοητοῦ παραβαλλομέ-
νων, προτέρα αὕτη ἐκείνης. Ὃ γὰρ ἤδη νοεῖ, πρὶν νοῆ-
„ σαι πάντως ἠδύνατο· λέγει τοίνυν, ὡς ἡ κατὰ δύναμιν
„ χρόνῳ προτέρα ἐν τῷ ἑνί. Ἐὰν δὲ οὐκ ἐπὶ ἑνός τινος τῶν
νοητῶν, κατὰ γένος δὲ τὸ νοητὸν ἐκλάβῃς, οὐδὲ τοῦτο ἀληθὲς
ὅτι χρόνῳ προτέρα, ἀλλ᾽ ἅμα, κατὰ τὸ αὐτὸ γὰρ τὸ μὲν νοεῖ,
τὸ δὲ δύναται πάντως. Διὸ παρασυνῆψεν· „ ὅλως δὲ οὐ-
„ δὲ χρόνῳ. Καὶ οὕτω σαφὴς γίνεται ἡ ἐπιδιόρθωσις. Εἰ-
πὼν γὰρ ὅτι προτερεύει χρόνῳ ἐπὶ τοῦ ψυχικοῦ νοῦ, ὁ δυ-
νάμει τοῦ ἐνεργείᾳ, ἐπὶ ὡρισμένου τινὸς, ἵνα μή τις ὑπολά-
βῃ, ὅτι ἠργησέ ποτε, ἢ ἀργεῖ ἁπλῶς δυνάμει μένων, καὶ
μηδὲν ἐνεργείᾳ νοῶν, ὁ νοῦς ὁ ἀνθρώπου, πάνυ γοργῶς ἐ-
πήγαγεν „ ὅλως δὲ, (ἤτοι πάντῃ κατὰ τὸ μηδὲν μηδαμῶς
„ νοεῖν) οὐδὲ χρόνῳ προτέρα. Διατί; ἰδοὺ σοι τὸ αἴτιον
παρὰ πόδας ἀποδιδόμενον. Καί τοι γὰρ ἐκεῖνο πρὸς ἕν τι
τῶν

τῶν νοητῶν ἰδίᾳ, φθάσας ἀπεφηνάμην, φησὶν „ ὁ νοῦς ὅ-
„ μως ἀεί τι νοεῖ. Ἀλλ᾽ οὐχ ὁτὲ μὲν νοεῖ, ὁτὲ δὲ οὐ νοεῖ.
Ἀλλ᾽ εἴποι αὖ τις αὐτῷ, ὡς εἰ ἅμα ὁ ψυχικὸς οὗτος νοῦς,
καὶ ἐνεργείᾳ ἐστὶ, καὶ δυνάμει, οὕτω δὲ ἐπὶ ἀνωμολόγηται ἅ-
παντα εἶναι δυνάμει, ἔσται ἄρα κἀκείνως ἅπαντα ἐνεργείᾳ.
Καὶ οὕτως ἡ Ἐμπεδοκλέους ἀληθεύσει δόξα, καὶ τῶν ἄλλων,
οἷς ἐκ πάντων τῶν ὄντων ὁ νοῦς συγκεκρότηται. Ταύτην
δὴ φθάνων τὴν ἀπορίαν ἐπιλύεται „ χωρισθεὶς γάρ φη-
σιν (ἔξω δηλαδὴ τοῦ περὶ οὗ τι ὁποιονοῦν δυνάμει ἔχειν
„ γινόμενος, καὶ κατ᾽ ἐνέργειαν αὐτὸ ποιήσας) ἐστὶ μόνον τοῦ-
„ θ᾽ ὅπερ ἐστί. (τοῦτο ἀμέλει ἐστὶ μόνον, φησὶν, ὅπερ ἤδη
νοεῖται αὐτῷ, ἤτοι τὸ νοητὸν αὐτοῦ, συμφώνως οἷς προειρή-
κει μικρῷ πρόσθεν ἀποφαινόμενος καὶ ἤδη „ τὴν οὐσίαν εἶναι
„ αὐτοῦ ἐνεργείᾳ· οἷά πω τὸ αὐτό ἐστιν, ἡ κατ᾽ ἐνέργειαν
„ ἐπιστήμη τῷ πράγματι. Ἀεὶ ἄρα νοεῖ τι, καὶ ἀεί ἐστί τι,
αὐτὸ δηλονότι τοῦτο ὅπερ νοεῖ. Εἰ δέ τις τοῦ οὐδὲν ἐστὶν ἐ-
νεργείᾳ τῶν ὄντων πρὶν νοεῖν. Καὶ τὸ „ ἐντελεχείᾳ οὐδὲν
„ πρὶν ἂν μὴ νοῇ, καὶ τὰ παραπλήσια ἡμῖν προβάλληται,
ἐν αὐτῇ τῇ ἀπορίᾳ προσχὼν, τὴν λύσιν εὑρήσει. „ Οὐ-
„ δὲν γὰρ πάντως, πρὶν νοεῖν, ἐν ᾧ δὲ νοεῖ, ἕκαστον· καὶ
αὐτοὶ φαμέν. Ἀλλ᾽ ἐκεῖνο δοκεῖ δυσχερέστερον, ὅπερ ἐν τῷ
τέλει που τοῦ Δ΄. Κεφ. φησί· „ τοῦ δὲ μὴ ἀεὶ νοεῖν τὸ αἴτιον
„ ἐπισκεπτέον. Αὐτοὶ δὲ καὶ πρὸς τοῦτο ἐροῦμεν, ὅτι οὐ τοῦτο
ἐν ἐκείνοις ζητεῖ ὁ Φιλόσοφος, διατί οὐκ ἀεὶ νοεῖ; πῶς γάρ;
„ εἴπερ μὴ ὁτὲ μὲν νοεῖν, ὁτὲ δὲ μὴ, ἀεὶ δὲ φθάσας
προαπεφήνατο; Ἀλλὰ τί δήποτε ἑαυτὸν ἀεὶ παρόντα καὶ
συνημμένον, ἀεὶ οὐ νοεῖ; ὅπερ ἐξ αὐτῆς τῆς τάξεως τῶν
λεγομένων ἐστὶν ἐκδηλότατον. Ἐπὶ τούτοις οὖν κορωνίδα τοῦ
λόγου οἱονεὶ ἐπιτίθησιν, ἐπειπὼν καὶ τοῦτο μόνον ἀθάνα-
τον, καὶ ἀΐδιον. Αὕτη γὰρ ἡ τῆς ψυχῆς δύναμις, ἣν μόριον
ὑπέγραψεν ἐν τῷ Δ. „ ᾧ γινώσκει τε, καὶ φρονεῖ, καὶ μι-
„ κρὸν ἀνωτέρω, εἶναι τοῦθ᾽ ὅπερ ἐστὶν ἔλεγεν, ἐκ τῆς ἐνερ-
γείας, ὡς ἐκ τοῦ τιμιωτέρου δηλονότι γνωρισθείσας. Τοῦτο (δεῖ
γὰρ φυλάττειν τὸ οὐδέτερον τοῦ κατὰ τοὔνομα γένους, ὡς οἱ ὑπο-
μνηματισταὶ ἔγνωσαν.) „ μόνον φησὶν (ἐξῃρημένον τῶν
ἄλλων δηλαδὴ μορίων τοῦ τε φυτικοῦ, καὶ τοῦ αἰσθητικοῦ, κτλ.)
ἀθανασίας τετύχηκε, καὶ ἀϊδιότητος, ὡς κατὰ μὲν τ᾽ ἄλλα οὐ-
δα-



δαμῶς (§. ψνα΄. ψνβ΄.) κατὰ δὲ τοῦτο καὶ μάλα ἐνεργοῦ-
σαν τὴν λογικὴν ψυχὴν, καὶ ἀπολυθεῖσαν τοῦ σώματος.

Ἔστι τοίνυν ἡμῖν (τούτου γὰρ ἕνεκα καὶ τὴν ἔκθεσιν τῆς
Ἀριστοτελικῆς ἀνειλήμμεθα λέξεως, καὶ τῇ τῶν ὑπομνημα-
τιστῶν περιθρείᾳ φέροντες σφᾶς αὐτοὺς ἐνεβάλομεν.) ὁμόψη-
φος ὁ ἐκ Σταγείρων τὸ δόγμα. „ οὐχ ὁτὲ μὲν νοεῖ, ὁτὲ δ᾽ οὐ
„ νοεῖ, ἀλλ᾽ ὅτι ἀεὶ, καὶ ἀδιαλείπτως νοοῦσα ἐστὶν ἡ λογικὴ
ψυχὴ οὐ γέ τι πάντως, σαφέστατα ἀποφηνάμενος. Ὅπερ εἴ-
τις τοῦ Ἀριστοτελικοῦ λόγου ἀλλότριον εἶναι φήσειεν, οὗτος,
ἤτοι τὸν Θεὸν αὐτὸν, ἢ τινα νοῦν θυραῖον ἄλλον δαιμόνιον,
σὺν οὐδενὶ λόγῳ, ὡς εἰδικὸν τῇ ψυχῇ ἐπιστήσας, ἑκατέρῳ
τὸ παρὰ τὴν ἀξίαν προσάψεται, τὸ μὲν αὐθυφεστὼς καὶ
κεχωρισμένον, εἰς ψυχικήν τινα τάξιν κατασπάσας, καὶ εἰ-
δικῶς πως τῇ ὕλῃ ἐγκαταμίξας, τὴν δὲ ψυχὴν ὄρους μὲν
καὶ τάξεως, καθ᾽ αὑτὴν ἀναδείξας ἀφυεστέραν, καὶ τῆς ἀειδοῦς
αὐτῆς ὕλης οὐδὲν τελεωτέραν, καὶ κρείττονα, ὡς ἄρα καὶ κα-
θ᾽ ἑαυτὴν παθητικὴν ἁπλῶς οὖσαν, καὶ δύναμιν οὐδ᾽ ἡντι-
νοῦν ἥπερ ἂν ἀφ᾽ ἑαυτῆς ἐνεργήσειεν, ἔχουσαν. Εἶεν.

Ἀλλ᾽ ἐρεῖς. Α΄. Πῶς οὐ θεῖόν τι τὸ ἀεὶ κατ᾽ ἐνέργειαν;
Β΄. Τί δὲ ἀπὸ ἐννοίας εἰς ἔννοιαν μεταπίπτοντες τῆς ἀμέ-
σως προτέρας οὐκ ἀεὶ μνημονεύομεν; Γ΄. Τίς δὲ ἡ ἀπὸ τῆς
ἀδιαλείπτου νοήσεως ὄνησις; Δ΄. Πῶς δ᾽ οὐκ ἀεὶ ἡ ἐφεξῆς τῆς
ἡγησαμένης ἐξ ἀνάγκης ἐξαρτηθήσεται, καὶ τὸ περὶ τὰς
ἐννοίας οὕτως ἐλεύθερον, κατὰ τοὺς περὶ τὸν Γερμανὸν Λεϊ-
βνίτιον, ἐλεύθερον οὐ περιξαπήσεται; Ε΄. Τί δὲ καὶ νοή-
σει ἡ ψυχὴ τῷ ἐμβρύῳ; Τί δὲ καὶ τῷ τὴν πρώτην ἡλι-
κίαν ἤδη ζῆν ἀρχομένῳ; Ϛ΄. Πῶς δὲ καὶ λήθη παντελὴς
τῶν τότε νοουμένων ἡμᾶς κατέλαβεν; Ζ΄. καὶ τῶν ἐν ὕπνοις
βαθυτάτοις νενοημένων ὡσαύτως; Η΄. ἢ οὐχὶ τὸ νοεῖν ἐγρη-
γορέναι πάντως ἐστὶν, ἢ τῷ Λωκίῳ δοκεῖ τῷ Ἄγγλῳ (1),
ὅθεν οὐδὲ τοῖς διηνεκέσι ταῖς φροντίσι συνεχομένοις, οἱ
ὕπνοι συνεῖναι ἐθέλουσιν; Θ΄. Ἐπὶ τούτοις δὲ, καὶ τὸ συνει-
δέναι σφίσιν αὐτοῖς νοοῦντας, τοῦτο πρὸ πάντων τοῦ καθ᾽ ἕ-
κα-

(1) Βιβλ. Β΄. Κεφ. Β΄. Περὶ Νοῦ Ἀνθρώπου.

καστον λογικοῦ προσώπου, γνώρισμα οἷον, καὶ χαρακτὴρ ἐλλήφθη (1) ἐπίσημος, καὶ διαπρόσωπός πως ἂν εἴη ἕκαστος ἡμῶν, τὰ μὲν ἐν ᾧ γρηγορεῖ, τὰ δ' ἐν ᾧ καθεύδει, ἐν μέρει καθ' ἑαυτὸν συνειδέναι οὔπω δυνάμενος. Ταῦτα μάλιστα ἐστὶν, ἢ τοιαῦτά τινα, οἷς τοῦ δόγματος καταφέρονται. Ἡμῖν δὲ πρὸς αὐτὰ πάντα εὐχερὴς ἡ ἀπάντησις.

Α'. Οὐ τὸ ἀεὶ κατ' ἐνέργειαν ἁπλῶς θεῖον, καὶ ὁ Θεὸς αὐτόχρημα, πῇ δέ. Θεῖον δέ τι καὶ ἡ ψυχή. Θεοῦ δὲ ἐστὶ καὶ τὸ ἀεὶ κατ' ἐνέργειαν, καὶ τὸ ἀεὶ περὶ τὰ αὐτὰ, μᾶλλον δὲ περὶ πάντα, καὶ ὑπερτελῶς, καὶ ἀπείρως. Ψυχῇ δὲ οὐδ' ἀπείρως, οὐδ' ὑπερτελῶς, οὐδὲ περὶ πάντα κατὰ τὸ αὐτὸ, οὐδ' ἀεὶ περὶ τὰ αὐτὰ, ἐπὶ ποσὸν δὲ, καὶ ἔστιν ἃ, καὶ ἐκ διαδοχῆς ἄλλο μετ' ἄλλο, καὶ τοσοῦτον μόνον ἀεί τι νοεῖν πεφυκεῖα ἐστὶν, ἅτε δὴ οὐσία φύσει ἐνεργὸς τυγχάνουσα, καὶ δραστήριος. Διὸ καὶ τόγε τοσοῦτον θεῖον εἶναί τι χρῆμα αὐτὴν σὺν Ἀριστοτέλει, καὶ Πλάτωνι δώσομεν. Ἁπλῶς δὲ τοῦ Θεὸν ἐπικαλεῖν ἄπαγε παρὰ τοῦτο, εἰ μὴ καὶ τοὺς τὸ ἀθάνατον πῦρ, καὶ μηδέποτε διαλεῖπον ἀποθέντας, εὐλόγως πυρσολαβεῖν συγχωρήσομεν.

Β'. Ἑνός τινος ὁ νοῦς περιεχόμενος, ἐκείνου γίνεται ὅλος ἀεὶ τοῦ παρόντος· μᾶλλον δὲ ἐκεῖνο, ὅπερ ἐλέγομεν. Οὐ μνημονεύομεν οὖν τῆς ἀμέσως προτέρας ἐννοίας, ὅτι ὁ νοῦς τὴν δευτέραν ἤδη μεμόρφωται. Ὡς εἴγε τύπον τινὰ δι' ἐκείνης ἐναργῆ τὸ φανταστικὸν ἐναπεμάξατο ὄργανον, καὶ τοῦτο συμβαίνει τὸ τῆς μνήμης, ὡς ἐξ ἀφορμῆς τοῦ τύπου, καὶ τῶν δι' ἐκείνου συῤῥεόντων πνευμάτων, ῥᾳδίως τῆς ψυχῆς ἐπὶ τὸ πρότερον αὐτῇ νοηθὲν ἐπαναστρεφούσης. Ἀλλὰ περὶ τύπων ἀκριβέστερον εἰσαῦθις.

Γ'. Τοσαύτη δὲ ἡ ἀπὸ τοῦ διηνεκῶς νοεῖν τῇ ψυχῇ ἐγγίνεται ὄνησις, ὅσον ἐπάναγκες αὐτῇ περιέσῃ μετεῖναι τῆς ἀειζώου ὑπάρξεως. Ἀλλ' εἰπάτωσαν καὶ ἡμῖν οὗτοι, τίς ποτε ἡ ἐπιφερομένη ἐντεῦθεν λύμη; Οὐ γὰρ ἂν ἔχοιεν εἰπεῖν, εἰ μὴ τυχὸν τὴν ἀπὸ τοῦ διηνεκῶς κινεῖσθαι (οἵαν

ἐπὶ

(1) Βιβλ. Β'. Κεφ. Β'. Περὶ Νοῦ Ἀνθρώπου.



ἐπὶ τῶν μηχανημάτων συμβαίνειν ὁρῶμεν) τῶν μορίων παρατριβὴν, καὶ φθορὰν καὶ ἐπὶ τῆς ἀσωμάτου ψυχῆς δεδίασιν.

Δ'. Ὅτι ποικίλα αὐτῇ ἅπαντα, ἅττα διά τινων σωματικῶν προσβολῶν καὶ κινήσεων τῶν ἀποπερατουμένων τῷ εἰδοποιουμένῳ ἐξ αὐτῆς σώματι, πρὸς τὸ νοεῖν τόδε, ἢ τόδε αὐτὴν ἐνάγει. Καὶ ὅτι αὐτοδιόριστος ἡ λογικὴ ψυχὴ οὖσα, οὗτινος ἂν ἐθέλοι περιδράσσεται. Οὐδ' ἂν τύχοι κατὰ προσοχὴν ἀτενῶς ἐπειλημμένη, ἀπερίσπαστον καὶ ἀῤῥέμβαστον, ἐπὶ τοῦ τοιούτου ἄτοπον οὐδὲν, μᾶλλον δὲ εἰκὸς, εὐτάκτως τε καὶ εὐθυβόλως προϊέναι τὰς ἐννοίας, καὶ τύπων τὴν ἐφεξῆς κατὰ λόγον τῇ ἡγησαμένῃ ἀεὶ ἐφέπεσθαι.

Ε'. Ἄλλοις ἄλλως πρὸς τοῦτο ἀπήντηται. Ὁ μὲν γὰρ (1) μὴ εἰδέναι ὁμολογήσας, τί δ' ἐκ τούτου, προστίθησι, μὴ παρὰ τοῦτο, καὶ τὸ κατὰ φύσιν αὐτῇ προσῆκον εἶναι ἀποδειχθὲν, ἀποφήσομεν, ὅτι νοεῖ, ἐπεὶ τὸ τί δήποτε νοοῦσα ἐστὶν ἠγνοήκαμεν; Ὁ δὲ, τὴν μετὰ τοῦ σώματος συνάφειαν, οἴεται (2) ἐννοιῶν αὐτίκα τῇ ψυχῇ πορίζειν ὑπόθεσιν ἄφθονον· τὸ γὰρ ᾧ συνῆπται σῶμα παντίως ὑπὸ τῶν περιεστοιχούντων αὐτὸ ἄλλων σωμάτων κινούμενον, οὐκ ἔσθ' ὅπως οὐκ εἰς τὸ προσέχειν αἰσθητικῶς αὐτὴν ἐνάγει, εἰ μηδὲν ἄλλο, ταῖς ἐπισκηπτούσαις κινήσεσιν, ὑφ' ὧν πολυτρόπως αὐτὸ ἄγεται καὶ φέρεται παθαινόμενον.

ς'. Τὸ δὲ τῆς λήθης συμβαίνει, ὅτι οὔπω τοῦ ὑποκειμένου τῆς μνήμης ἐφ' ὅσον ἔδει παγιωθέντος, ἀνάγκη πᾶσα τοὺς τύπους ἀφανεῖς γίνεσθαι, καὶ ταῖς κατὰ τὰς διαδεχομένας ἡλικίας ἰσχυροτέραις ἐναπομάξεσιν ὑπεξίστασθαι. Τὸ γε μὴν ἐκ τοῦ μὴ μεμνῆσθαι, τὸ μηδὲ τὴν ἀρχὴν ὅλως νενοηκέναι εἰσβάλλειν, πῶς οὐκ εὔηθες;

Ζ'. Αὐτὸ δὲ τοῦτο ἀπαντητέον, καὶ περὶ τῶν ἐν ὕπνοις νοουμένων, ὧν ἐπιλανθανόμεθα, διὰ τὸ τὰ ἐν τῷ μνημονικῷ ἐγκαταλείμματα, ἐν οἷς αἱ μνῆμαι πεφύκασιν ἀποκεῖσθαι, ἐξίτηλα γίνεσθαι· ὅτι γὰρ ἄλλως καὶ κατ' αὐτοὺς τοὺς ὕπνους,

οὐχ

(1) Γενουένσ. Ψυχολογ. Προτ. Γ'. Ἐν τῷ Σχόλ.

(2) Συλβανὸς Ῥῆγις Ἐν τῷ Περὶ Χρήσ. τοῦ Λογικοῦ.

οὐχ ὅπως διὰ φαντασμάτων ἐνεργεῖν τὸ ἐν ἡμῖν γνωστικὸν, ἀλλὰ καὶ ἀκραιφνεστέραις ταῖς θεωρίαις πολλάκις ἐνδιατρίβειν, ϗ συλλογισμῶν τὰ πολλὰ σειρὰς διεξοδικὰς διαπλέκειν πέφυκε, καὶ ἡμεῖς αὐτοὶ διὰ πείρας ἴσμεν, καὶ περὶ ἄλλων πολλῶν ἀκηκόαμεν· ὥστε ἀληθὲς εἶναι τὸ εἰρημένον, ὅτι ἐγὼ καθεύδω, ϗ ἡ καρδία μου ἀγρυπνεῖ.

Η΄. Εἶναι δὲ τὸ νοεῖν αὐτὸ ἐγρηγορέναι, τίς ἂν ἐπιεικῶς γρηγορῶν, ποτὲ φήσειεν; Εἰ μή τις τὸ τῶν ἐνυπνίων χῆμα δι᾽ ὅλου ἀπαναινόμενος, οὐδὲ πάντας ἀνθρώπους λέγειν τε, ϗ φρονεῖν ἕλοιτο; ὅτι μὲν γὰρ αἱ φροντίδες ἐπιπεσοῦσαι πολλάκις, οὐδὲ ὕπνου ἐῶσι, φανερόν. Πότε δὲ τοῦτο; ἢ ἐπειδὰν αἱ κατὰ τὰς ἐννοίας ἐμποιούμεναι τῷ ἐγκεφάλῳ κινήσεις σφοδρότεραι τύχωσι. Τηνικαῦτα γὰρ, τοὺς οἷον ὀχετοὺς τοῦ πνεύματος ὄντας, τὰ νεῦρα λέγω, παροξύνουσαί τε, καὶ ὑπὲρ τὸ δέον συντείνουσαι, ϗ οὐδὲ πρὸς βραχὺ ὑφίεσθαι καὶ ὑποχαλᾶσθαι ἐνδιδοῦσαι, ἀπαρακωλύτως διαρρεῖν δι᾽ αὐτῶν τὴν αἰσθητικὴν αὔραν, εἰσὶ παραίτιοι, ϗ τῆς παλιρροίας, ἀπὸ τῶν ἐκτὸς ὀργάνων, εἰς αὐτὸ τῆς ψυχῆς τὸ μυχαίτατον, συνεχῶς ἐπαναλυούσης, ἐντεῦθεν καὶ ἡ πρὸς τὰ ἔξω τῆς ψυχῆς κοινωνία, ϗ ὕπνοι ἀκολούθως διακοπτόμενοι. Ἀλλὰ γὰρ οὐχ ἁπλῶς τὸ νοεῖν, τὸ δ᾽ οὕτω συντόνως τὰ αἰσθητήρια κραδαῖνον, ϗ κατασεῖον, τοῦτο μόνον ϗ τὴν ἐγρήγορσιν ἐμποιεῖν πέφυκεν.

Θ΄. Τὸ πρόσωπον καὶ αὐτοὶ μετὰ τῶν φιλοσοφούντων, ἄτομον εἶναι λογικὸν ὁριζόμεθα, οὐκ ἐκ τῆς συνειδήσεως, οἷα τῷ Ἄγγλῳ δοκεῖ γνωριζόμενον, ἐκ δὲ τῶν ἀτομικῶν ἰδιοτήτων, ϗ μάλιστα ἐκ τῆς ἰδιαζούσης ὑπάρξεως συνισταμένον. (§. ρπέ.) Ἐπιεικῶς δὲ γελοῖον (ὅ τις πρὸς Λώκιον ἀπετείνατο. (1)) εἰ τὸν ἐπὶ σκηνῆς, πῆ μὲν τὸν Ἑρμῆν, πῆ δὲ τὸν Σωσίαν ὑποκρινόμενον, ϗ ἐν αὐταῖς ταῖς ὑποκρίσεσι τὰ τῷ παντὶ διαφέροντα ἑαυτῷ συνειδότα, διττὴν εἶναι τὴν ὑπόστασιν τῷ ὄντι παρ᾽ αὐτὸ φήσομεν. Ἐγὼ δ᾽ ἂν ϗ τόδε προσθείην, ὡς εἰ τὸ συνειδέναι, αἷς τισιν ἐνδιατρίβει

(1) Γενουένσ. Ψυχολ. Πρότ. Γ΄. ἐν τῷ Σχολ.



βει ἐννοίαις, τὸ ἕνα ἕκαστον προσωπικῶς τυγχάνει γνωρίζον, ϗ συνιστῶν, ἐπεὶ συνοῖδε μηδὲν καὶ τὸν Ἄγγλον, ὁ μηδὲν καθ᾽ ὕπνους τοῦ νοητικοῦ χωρούμενος, οὐδὲ πρόσωπον ἔσται τὸ τηνικαῦτα. Καὶ εἰς τὸ μηδὲν ἂν οὕτω τραπείη, αὐτὸ τὸ εἶναι, ὥσπερ δὴ ϗ τὸ νοεῖν ἐπίπαν ἀφῃρημένος..

# ΚΕΦΑΛΑΙΟΝ Δ΄.

## Περὶ Δυνάμεων τῆς ἐν ἡμῖν Ψυχῆς. Καὶ Πρῶτον Περὶ Δυνάμεως Κινητικῆς.

### Θεώρημα ΛΓ΄.

§. ψξά. „ Τῶν ἐν τῷ ὀργανικῷ ἡμῶν σώματι κινή-
„ σεων, τῶν μὲν, τὴν λογικὴν ψυχὴν παραίτιον εἶναι ἡ-
„ γούμεθα, κἂν τὸν τρόπον ἐπιεικῶς ἀγνοῶμεν· τῶν δὲ οὐ-
„ δόλως· τῶν δὲ μέσως πως, ϗ ἐν μέρει.

Εἰσὶ γὰρ τοιαῦται τινὲς τῶν κινήσεων, ἃς νεύματι τῆς βουλήσεως, ἡμῖν ἐξεγείρεσθαι συνίσμεν. (§. χπέ.) Τὰς δὲ, οὐθ᾽ ὑφ᾽ ἑαυτῆς ἂν τὸ σῶμα κινηθείη ποτὲ, σῶμά γε ὄν. (§. χιή. Α΄.) οὔθ᾽ ὑπὸ τῶν ἐκτὸς δήπου σωμάτων, ὧν ἐπίσης μὲν καθισταμένων πολλάκις, τὰς περὶ ὧν ὁ λόγος, ἐπιτάσεων ὁρῶμεν, ϗ ὑφέσεων, ϗ διαφόρων παντοίων δεκτικὰς γινομένας· τοὐναντίον δὲ ἄλλοτε ἄλλως μεταβαλλομένων, ταύτας σαφῶς ἴσμεν ὁμαλῶς τε καὶ λείως, καὶ ἀεὶ κατὰ τὰ αὐτὰ χωρούσας, καὶ πειθαρχούσας τῷ ψυχικῷ νεύματι. Ἀμέλει ϗ γὰρ ἔδει πρὸς τὰ ἐκτὸς κινητικὰ, εἴ τινα ταῦτα ἦν, μᾶλλον, ἢ πρὸς τοὐπίταγμα τῆς ψυχῆς, τὸ ἀνάλογον ἐν ταῖς τοιαῖσδε κινήσεσι (§. χιή. Β΄.) διασώζεσθαι. Λείπεται τοίνυν ὑπὸ οὐσίας τῶν ἀσωμάτων τινὸς, μετεῖναι λέγειν τῶν τοιούτων φορῶν τοῖς ἑαυτῶν σώμασι· τὸ δὲ, „ ϗ ἀποπληρωτικόν πως ἂν εἴη, προῖκά τε, ϗ σὺν οὐδενὶ λόγῳ ὑποτιθέμενον. Καὶ ἄλλως, ἐπεὶ ἐξ ἡμῶν αὐτῶν,

ᾗ συναισθανόμεθα σαφῶς (§. χπέ.) αἱ τοιαίδε ὁρμαί, ἡ δὲ ἐν ἡμῖν ψυχὴ οὐσία οὖσα ἐδείχθη ἀσώματος. (§. ψκϛ'. ψκζ'. κτ. ψλγ'. ψλδ', κτ.) ὥστε εἰ δεῖ, ὡς εἰς τοῦτο τελοῦσαν, εἰσαγαγεῖν, φύσιν τινὰ τῶν ἀϋλοτέραν, ταύτην εἰκὸς, ᾗ καὶ φύσει συμπίπτει, πρὸ παντὸς ἄλλου, τουτωνὶ τῶν κινημάτων, τῷ ἡμῶν ὀργανικῷ σώματι ἡγεῖσθαι παραίτιον. Ο. Η. τὸ Α'.

Ἀλλὰ γὰρ ὅπως ἐνεισάγει τὴν κίνησιν τῷ σώματι ἡ ψυχὴ ἀσώματος οὖσα, συνιδεῖν, καὶ περινοῆσαι οὐ ῥᾴδιον. Ἕλξει, ὤσει, προσβολῇ, ὅτῳ δή ποτε τῶν τοιούτων, καὶ ὑπονοεῖν ἄτοπον· τῶν σωμάτων γὰρ ταῦτα· νεύματι βουλήσεως λέγειν εἰώθαμεν, καὶ οἱονεὶ ἐκ κελεύσματος. Τοῦτο δὲ ἐπὶ τοῖς αὐτοκινήτοις νοητὸν ἀμωσγέπως, πρὸς δὲ τὸ σῶμα, τὸ ἑτεροκίνητον ὂν (§. χιή.) ὡς ἐπίπαν ἀπᾷδον ἐστὶ, καὶ ἀλλότριον. Ἀλλ' ἐπὶ τὴν δι' ὅλης τῆς φύσεως διακεχυμένην δύναμιν, εἰσὶν οἳ καταφεύγουσιν, ἧς τὸ παραυτίκα ἐνεργεῖν ἐστὶ, τῶν κωλυμάτων ἐκποδὼν γινομένων. Καὶ μὴν οὐδ' ἐκείνην ἐπίστης, ὅπως ἄγει, καὶ φέρει ἕκαστα εἰδέναι ἔχομεν, ἀσώματον καὶ αὐτὴν ἐξ ἀνάγκης εἶναι ὀφείλουσαν. Εἶτα ὀνήσει δηλονότι τὴν ψυχὴν ἀπάγειν τὰ προσιστάμενα, ὡς καὶ ἔχοι ἐνεργὸς εἶναι ἡ θαυμαστὴ δύναμις. Οὐδὲν οὖν τοῦ σκέμματος ἀπωνάμεθα, καὶ γὰρ, καὶ τὸ ἀπάγειν αὐτὸ τοῦτο κινεῖν ἐστὶν, ἢ οὐκ ἄνευ κινήσεως. Τὴν ἱερὰν τοιγαροῦν καθιᾶσιν ἄλλοι, πρὸς Θεὸν αὐτὴν ἀναφέροντες. Ἀλλ' ἀναιροῦσι τὸ Α'., οὐκ ἀποσαφοῦσι τὸ Β'. Ἀπερινόητον τὸ χρῆμα. Τί δὲ θαυμαστόν; ὅπου γε ἡ διὰ προσβολῶν τε καὶ ὤσεων, ὅσαι ὧραι γινομένη κίνησις, ὅπως ὑπ' ἀλλήλων τοῖς σώμασι κοινωνεῖται, οἱ ἄριστοι τῶν φιλοσοφούντων σαφῶς μὴ εἰδέναι (1) ὁμολογοῦσιν. (§. φοή. φοθ'.) Ο. Η. τὸ Β'.

Ἀλλ' εἰσὶν αἱ τῶν ἐν ἡμῖν κινήσεων, φυσικαί πως τῷ σώματι, καὶ ἀναγκαῖαι, μὴ ἀπὸ βουλῆς τοῦ ἡγεμονικοῦ ἠρτημέναι (§. χπέ.)· οἷον ἡ ἐν ἡμῖν πλαστικὴ, καθ' ἣν τῶν ἐν τῷ ὀργανικῷ ἡμῶν σώματι τὰ μὲν διακρίνεται, τὰ

δὲ

(1) Μουσχεμβρούκ. Στοιχ. Φυσικ. §. 3. καὶ 112.



δὲ συγκρίνεται, τρέφεται, αὔξει, θάλλει· τὰ δὲ συστέλλεται, καὶ διαστέλλεται, τὰ δ' ἐπιτείνεται καὶ ἀνίεται, τὰ δὲ διαρρεῖ καὶ κύκλῳ φέρεται, τὰ δ' ἀπορρεῖ, καὶ ἀποφέρεται, καὶ τούτοις ἅπασα, ὡς εἰπεῖν, ἡ κατὰ τὸ ζῶον οἰκονομία ἁρμονικῶς, καὶ κατὰ λόγον τινὰ ζωτικὸν τελεσιουργεῖται. Εἶτ' ἐπὶ τούτοις, καὶ αἱ ἐναντίαι κινήσεις, αἷς ἀνωμάλως τε καὶ πλημμελῶς ἔστιν ἃ τῶν ἐν τῷ ζώῳ φερόμενα, φθορὰν ἐμποιεῖ καὶ λύσιν. Αὗται γοῦν ἀριδήλως, οὐ πειθαρχοῦσι τῷ νεύματι τῆς ψυχῆς, οὐδενὶ τρόπῳ, κἂν ὅτι πλεῖστον αὐταῖς ἐπιτάξειε· μᾶλλον δὲ καὶ δυσανασχετεῖ κατ' ἐνίας γε τούτων ἡ ψυχὴ, καὶ ἐν δεινῷ ποιεῖται τὴν ἀταξίαν, δι' ἣν ἄλγη μυρία, καὶ πάθη τὰ χαλεπώτατα ἐπισκήπτει τῷ ζώῳ, καὶ ἐπὶ πᾶσιν ἡ, ἣν περ μάλιστα ὑποπτήσσει καὶ ὀρρωδεῖ, τοῦ συνθέτου ἀνάλυσις. Ἄρα καὶ τὸ Γ'.

Τελευταῖον αἱ ὑπὸ τῶν ὀρεκτικῶν καλουμένων παθῶν, τῷ αἵματι, καὶ τοῖς ζωτικοῖς πνεύμασι, διεγειρόμεναι ταραχαί τε καὶ θύελλαι, οὐκ ἄνευ κομιδῇ τῶν βουλητικῶν ὀρέξεων οὖσαι, ἔχονται μέν πως τῆς ψυχῆς, μὴ αὐτίκα δὲ τῷ νεύματι τοῦ ἡγεμονικοῦ ἐνδιδοῦσαι, οὐδὲ ῥᾳδίως ἀποκαθιστάμεναι, χρόνου δὲ ποσοῦ τινὸς, ἐπὶ τὸ κατευνασθῆναι, καὶ πλέον καταστορεσθῆναι δεόμεναι, δυσαγώγοις τισὶ, καὶ δυσηνιοχήτοις ἵπποις ἐοίκασιν (§. χπέ. χπϛ'. χπζ'.). Αὗται τοίνυν αἱ κινήσεις, οὔθ' ὡς αἱ πρῶται εἰς πειθὼ ἔχουσιν ἑτοίμως, οὔθ' ὡς αἱ δεύτεραι παντῃ ἀφηνιάστως. Ἄρα καὶ τὸ Δ'.

## Σχόλιον.

§. ψξβ'. Τρίτον δέ τι κινήσεως εἶδος, καὶ Ἀριστοτέλης ὑποτιθέμενος φαίνεται, ἐν τῷ καθ' ἡμᾶς ὀργανικῷ σώματι. „(1) Τὰς μὲν γὰρ εἶναι ἑκουσίας κινήσεις, βούλεται „καὶ αὐτὸς, οἷον τὸ βαδίζειν, φησὶ, καὶ τὰ τοιαῦτα. Τὰς

„ δὲ

(1) Περὶ Ζώων Κινήσ. Κεφ. ιά.

„ δὲ ἀκουσίους ἃς κινεῖται ἔνια τῶν μερῶν, οἷον εἶναι τὴν
„ τῆς καρδίας, καὶ τὴν τοῦ αἰδοίου· φανέντος γὰρ πολλάκις
„ τινὸς, οὐ μέντοι κελεύσαντος τοῦ νοῦ, κινοῦνται. Τὰς δὲ
„ οὐχ ἑκουσίους, οἷον ὕπνον, καὶ ἐγρήγορσιν, καὶ ἀναπνοὴν,
„ καὶ ὅσαι ἄλλαι τοιαῦται εἰσίν. Αἴτιον γοῦν τῶν μὲν ἑκου-
σίων, καὶ αὐτὸς τὴν ψυχὴν οὖσαν ἐπιγινώσκει. (1) „ Ὁρῶμεν
„ δὲ καὶ τὰ κινοῦντα τὸ ζῶον, διάνοιαν, καὶ αἴσθησιν, καὶ φαν-
„ τασίαν, καὶ προαίρεσιν, καὶ βούλησιν, καὶ θυμὸν, καὶ ἐπι-
„ θυμίαν. Ταυτὸ δὲ οἶμαι εἰπεῖν, τὴν ψυχὴν νοοῦσάν τε,
καὶ βουλομένην· ὃ καὶ αὐτῷ δοκεῖ. Ταῦτα δὲ ( λέγοντι )
„ πάντα ἀνάγεται εἰς νοῦν, καὶ ὄρεξιν. Καὶ γὰρ ἡ φαντα-
„ σία, καὶ ἡ αἴσθησις τὴν αὐτὴν τῷ νῷ χώραν ἔχουσι,
„ κριτικὰ γὰρ πάντα. ( κἀπὶ τὸ μόριον τὸ γνωστικὸν τὴν
ἀναφορὰν ἔχοντα. )....... βούλησις δὲ, καὶ θυμὸς, καὶ ἐ-
„ πιθυμία, πάντα ὀρέξεις. Δεῖ τοίνυν ὡς ὁ ἐκείνου λό-
γος, τό,τε κριτικὸν εἰς ταυτὸ συνελθεῖν, καὶ τὸ ὀρεκτικὸν,
ἵν᾽ ἡ κίνησις τῷ σώματι ἕψοιτο. Συνέρχεται δὲ τῇ προαι-
ρέσει. „ Ἡ γὰρ προαίρεσις κοινὸν διανοίας, φησὶ, καὶ ὀρέ-
„ ξεως. Καὶ ἔστιν ἄρα ἐκ συλλογισμοῦ τινος, τοῦ κατὰ τὴν
ψυχὴν διασχηματιζομένου, κατὰ τὸν Φιλόσοφον, τὸ ἐνδόσιμον
„ τῷ σώματι, τὸ πρὸς κίνησιν. Συλλογισμοῦ δὲ τοιούτου, οὐ
„ τὸ τέλος ( τουτέστι τὸ ἐκ τῶν κειμένων συμπέρασμα, οὐκ
„ ἔστι θεώρημα, ἀλλὰ πρᾶξις· οἷον ὅταν νοήσῃ ( φησὶν )
„ ὅτι παντὶ βαδιστέον ἀνθρώπῳ, αὐτὸς δὲ ἄνθρωπος, βα-
„ δίζει εὐθέως. Ἂν δ᾽ ὅτι οὐδενὶ βαδιστέον νῦν ἀνθρώπῳ,
„ αὐτὸς δὲ ἄνθρωπος, εὐθὺς ἠρεμεῖ. (2) Τί δαί; καὶ νή-
ξεται ἄρα, ὁ οὕτω διαλογισάμενος, καὶ πτήσεται, καὶ πλου-
τήσει; οὐκὴν ἅπαντα· „ ποιητικαὶ γὰρ αἱ προτάσεις γίνον-
„ ται διὰ δύο εἰδῶν, διά τε τοῦ ἀγαθοῦ, καὶ διὰ τοῦ δυνατοῦ.
ἐπεὶ δὲ καὶ τοῦτο συνῆκεν ὁ Φιλόσοφος, ὡς φαίη τις ἄν.
Ἀλλ᾽ αὐτὸς οὐ πάνυ τι κατ᾽ ἐμαυτὸν περὶ ἐμαυτοῦ, πολλοῦ γε
καὶ δεῖ περὶ ἄλλων φροντίσας εἰ δεῖ βαδίζειν, ἅμα δὲ βα-
δι-

(1) Περὶ Ζώων Κινήσ. Κεφ. ϛ΄.
(2) Αὐτ. Κεφ. ζ΄.



διστέον εἶναι γνοὺς, αὐτίκα τοὺς πόδας ἐκίνησα· ἅμα γὰρ
„ καὶ κατὰ τὸ αὐτὸ θέλομέν τε, καὶ κινούμεθα, οὐδενὸς ἐπιδεό-
„ μενοι μεταξὺ χρόνου τῆς τε βουλήσεως, καὶ τῆς κινήσεως,
„ ὡς ἐπὶ τῆς κινήσεως τῶν δακτύλων ἐστὶν ἰδεῖν. (1) Τούτου
χάριν μηδὲν ἐνδιατρίβειν τὸν νοῦν, φησὶν, ἐφεστῶτα, ἀλ-
λ᾽ ὥσπερ οἱ τὰ δῆλα ἐπὶ τῶν ἐρωτήσεων ὑποτιθέμενοι ἀνε-
πιστάτως ἐπὶ τὴν πρᾶξιν χωρεῖν. Γίνεται γὰρ ἀντ᾽ ἐρωτή-
σεως ἐνταῦθα, ἡ τῆς ὀρέξεως, καὶ νοήσεως ἐνέργεια, ἀντὶ
δ᾽ ἀπαντήσεως ἡ πρᾶξις, καὶ κίνησις. „ ποτέον μοι ἡ ἐπι-
„ θυμία λέγει. (2) Τοδὶ δὲ ποτὸν, ἡ αἴσθησις εἶπεν, ἢ
„ ἡ φαντασία, ἢ ὁ νοῦς. εὐθὺς πίνει· οὕτω μὲν οὖν ἐπὶ
„ τὸ κινεῖσθαι, καὶ πράττειν τὰ ζῶα ὁρμῶσιν. Ταῦτα γοῦν,
εἴτις εὖ μάλα πιέσας ἐκθλίψειεν, οὐδὲν πλέον ἀποίσεται,
ἢ ὅτι ἡ ψυχὴ τῶν ἑκουσίων κινήσεων, αἰτία ἐστὶ τῷ σώ-
ματι. Ὅπερ ἦν τὸ παρ᾽ ἡμῖν ἐν τῷ Θεωρήματι Α΄. Πῶς
δὲ ταῦτα τῆς ψυχῆς διανοουμένης τε, καὶ δοκιμαζούσης, ὁ τοῦ
σώματος ὄγκος ἐκ τοῦ παραχρῆμα μεθίσταται, τοῦτο τοι καὶ ἔτι
ἀγνοεῖται, ὡς καὶ πρὸ τοῦ ( ὅπερ ἦν τὸ Β΄. ) καὶ δι᾽ αἰῶνος
ἴσως ἐν ἀγνοίας ἀδύτοις λανθάνον κείσεται. Τί δὲ περὶ
τῶν ἀκουσίων, καὶ τῶν μὴ ἑκουσίων ῥητέον; ἢ, ὃ σαφὲς εἶναι
καὶ ἡμῖν ἐδείχθη ( ὃ ἦν τὸ Γ΄. ) „ οὐθενὸς τούτων κυρία ἐστὶν,
„ οὔθ᾽ ἡ φαντασία, οὔθ᾽ ἡ ὄρεξις. Αἰτίας οὖν τῶν κινήσεων
τουτωνὶ, φυσικάς τινας οἶδε, ταυτὸν εἰπεῖν σωματικὰς καὶ
ἐνύλους, θερμότητάς τε, καὶ ψύξεις, τάς τε θύραθεν, καὶ τὰς
ἐντὸς, καὶ τὰς λοιπὰς ἀλλοιώσεις. Ἀφεστᾶσι δὲ ἄρα μᾶλλον
τῆς ψυχῆς αἱ ἀκούσιαι, τῶν μὴ ἑκουσίων, καὶ τοῦ λόγου πως
κατεξανίστανται. „ Αἴτιον δὲ, φησὶ, (3) διὰ τὸ, ὥσπερ ζῶον
„ κεχωρισμένον ἑκάτερον εἶναι τῶν μορίων ( τὴν καρδίαν
„ δηλαδὴ, καὶ τὸ αἰδοῖον. ) τούτων δ᾽ αἴτιον ὅτι ἔχει ὑγρότη-
„ τα ζωτικήν. Ἡ μὲν οὖν καρδία φανερὸν, δι᾽ ἣν αἰτίαν
„ τὰς ἀρχὰς ἔχει τῶν αἰσθήσεων· τὸ δὲ μόριον τὸ γεννη-
„ τι-

(1) Νεμέσ. περὶ Ἀνθρώπου Κεφ. ϛ΄.
(2) Ἀριστ. Αὐτ.
(3) Αὐτ. Αὐτ.

» τικὸν, ὅτι τοιοῦτόν ἐστι, σημεῖον, καὶ γὰρ ἐξέρχεται ἐξ αὐ» τοῦ, ὥσπερ ζῶντι ἡ τοῦ σπέρματος δύναμις. Ἀνάγκη δὲ οἶμαι κἀπὶ τούτων διακρίνειν, τάς τε μὴ ἑκουσίους, καὶ τὰς ἀκουσίους. Διαφορὰν δὲ ἔχουσιν ὅτι αἱ μὴ ἑκούσιοι ἐξ αἰτίων ἄλλων τῷ ζώῳ, καὶ οὐδεμιᾷ μηχανῇ ἐκ τῆς ἐν αὐτῷ ψυχῆς γινόμεναι, ἢ παυόμεναι· αἱ δὲ καὶ διὰ τῆς ψυχῆς, ἔστι μὲν ὅτε, διὰ μεσιτευούσης φαντασίας ἐγειρόμεναι, καὶ ὀρέξεως, ἔστι δ' ὅτε τοὐναντίον, τῇ ἐφ' ἕτερα τοῦ λογισμοῦ μεταβάσει, καταστελλόμεναι, καὶ κατευναζόμεναι, ὥσπερ εἴρηται. (§. χπε'. χπϛ'. χπζ'.) Τούτου γοῦν ἕνεκα καὶ αὐτοὶ μέσας πως εἶναι τῶν ἑκουσίων, καὶ μὴ τοιούτων, αὐτὰς ὑπεθέμεθα. (ὃ ἦν τὸ Δ'.)

## Θεώρημα ΛΔ'.

§. ψξγ'. » Τῶν ἐν ἡμῖν δυνάμεων, αἱ μὲν εἰσὶν ἰ» διάζουσαι τῇ ψυχῇ, αἱ δὲ τῷ σώματι, αἱ δὲ τῷ συ» ναμφοτέρῳ, εἰσὶ κοιναί. Καὶ τούτων αὖ, ἕτεραι τῷ ἑτέ» ρῳ τῶν μερῶν, μᾶλλον, ἢ ἧττον προσήκουσαι εἰσίν.

Αἱ μὲν γὰρ οὐ διὰ σωματικῶν κινήσεων ἐνεργοῦσαι (§. χοϛ'. χϟθ'. ψ'. κξ'.) τῆς ἀσωμάτου (§. ψκϛ'. ψκζ'.) καὶ τῶν κατὰ τὰ σώματα κινήσεων ὑπερτέρας ἀποδειχθείσης, καὶ κρείττονος (§. ψιε'. ψιϛ'. ψιζ'. ψιη'. ψιθ'. ψκ'.) οὐσίας, δυνάμεις πάντως εἰσίν. Αἱ δὲ ἐν σωματικοῖς κινήμασι τὸ ἐνεργεῖν ἔχουσαι, ὧν οὐδόλως ἡ ψυχὴ κατὰ νεῦμα τὸ ἑαυτῆς παραίτιος γίνεται, (§. ψξα'.) τοῦ σώματος ἁπλῶς εἰσίν. Ἄρα τῶν ἐν ἡμῖν δυνάμεων κτλ. Ὃ ἦν τὸ Α', καὶ τὸ Β'.

Ὧν δὲ δυνάμεων αἱ ἐνέργειαι καὶ κινήσεις σωματικαὶ τελούμεναι εἰσί, τοῦ ἀπὸ τῆς ψυχῆς ὡς παραιτίου ἐξηρτημένας (§. ψξα'.), ἐκεῖναι ἅτε δὴ ἑκάτερον ἀφορῶσαι, τὸ μὲν ὡς ὑποκείμενον, τὴν δ' ὡς αἰτίαν, εἰκότως καὶ τοῦ συναμφοτέρου δυνάμεις κοιναὶ εἰσίν. Ο. Η. τὸ Γ'.

Αἱ δὲ, ἤτοι τῶν νεύματι τῆς ψυχῆς ἐνεγειρομένων κινήσεων ἀποτελεστικαὶ εἰσί· (§. χπε'. ψξα'.) ἢ γοῦν τῶν μέσως πως καὶ ἐν μέρει, (§. χπε'. χπζ'. ψξα'.)

μὴ



μὴ αὐτίκα τῷ νεύματι τοῦ ἡγεμονικοῦ ἐνδιδουσῶν, μηδὲ ῥᾳδίως ἀποκαθισταμένων. Τῶν δὲ τοιῶνδε κινήσεων, μᾶλλον μὲν αἱ πρῶται, ἧττον δὲ αἱ δεύτεραι προσήκουσαι εἰσὶ τῇ ψυχῇ, ἀνάπαλιν δὲ ἧττον μὲν αἱ πρῶται, μᾶλλον δὲ αἱ δεύτεραι προσήκουσαι τῷ σώματι. Ἄρα καὶ τὸ Δ'. καὶ Ε'.

## Σχόλιον.

§. ψξδ'. Εἰσὶ τοιγαροῦν τοῦ μὲν Α'. Εἴδους, αἱ δυνάμεις τοῦ λογικοῦ, τό, τε διανοητικὸν, καὶ τὸ βουλητικόν. Καὶ τοῦ μὲν διανοητικοῦ, αἵτε ἁπλαῖ ἐπιβολαί εἰσι, καὶ αἱ κρίσεις, καὶ αἱ διάνοιαι, ὧν εἰσὶν αἵτε νοήσεις τῶν ὄντων, καὶ αἱ ἐπιστῆμαι, καὶ τῶν τεχνῶν οἱ λόγοι· τοῦ δὲ βουλητικοῦ τὸ προαιρετικὸν, οὗ αἵτε πρὸς τὰ ἀγαθὰ ὁρμαὶ, καὶ αἱ ἀπὸ τῶν ἐναντίων ἀποφυγαί. Τοῦ δὲ Β'. Εἴδους δυνάμεις, αἵτε φυσικαὶ καλούμεναι, καὶ αἱ ζωτικαί. Καὶ τῶν φυσικῶν, ἥτε θρεπτικὴ, καὶ ἡ γεννητική. Καὶ τῆς θρεπτικῆς ἡ ἑλκτικὴ, ἡ καθεκτικὴ, ἡ ἀλλοιωτικὴ, ἡ ἀποκριτικὴ, καθ' ἃς τὰ εἰς τροφὴν συντελοῦντα τῷ ζώῳ μόρια ἕλκει τὴν τροφὴν, καὶ ἑλκύσαντα κατέχει, κατασχόντα δὲ ἀλλοιοῖ, ἀλλοιώσαντα δὲ τὴν αὔξησιν ἐμποιεῖ, καὶ τὰ περιττὰ τὰ μὲν διὰ τῶν ἐπιδήλων πόρων, τὰ δὲ διὰ τῶν ἀδηλοτέρων ἐκκρίνει. Τῆς δὲ γεννητικῆς ἡ σπερματικὴ, ἡ τοῦ θορώδους χυμοῦ κατεργαστικὴ, κτλ. Ζωτικαὶ δὲ αἱ καλούμεναι σφυγμικαὶ, οἷον ἥτε τῆς καρδίας περισταλτικὴ, καὶ τῶν φλεβῶν, καὶ τῶν ἀρτηριῶν, καὶ τῶν νεύρων· αἳ δὴ πᾶσαι ὡς μὴ ἐπιπειθεῖς οὖσαι, μηδὲ κατήκοοι τῷ λόγῳ γινόμεναι, εἰκότως τῷ σώματι προσήκουσαι λέγονται. Τοῦ δὲ Γ'. Εἴδους, τῶν καλουμένων ψυχικῶν ἡ φανταστικὴ, ἡ μνημονικὴ, καὶ αἱ τῶν ἐκτὸς αἰσθήσεων, ἡ ὀπτικὴ, ἡ ἀκουστικὴ, ἡ ὀσφραντικὴ, ἡ γευστικὴ, ἡ ἁπτική· καὶ αἱ τῶν καθ' ὁρμὴν, ἢ προαίρεσιν κινήσεων ἀποτελεστικαὶ, οἷον ἡ μεταβατικὴ, ἡ παντοίων μελῶν τοῦ σώματος κινητικὴ, αἷς προσκαταλέγειν εἰώθασι, τὴν φωνητικὴν, τὴν ἀναπνευστικὴν, καὶ τὰς παραπλησίας, αἳ τῷ ἡγεμονικῷ τῆς ψυχῆς ἐπιπειθεῖς εἰσί, καὶ τῷ λόγῳ κατήκοοι. Τοῦ δὲ Δ'. τέως, αἱ ὀρεκτικαὶ καὶ παθητικαὶ, καθ' ἃς ἐπιθυμίαι καὶ φό-

φό-

φόβοι, ἡδοναὶ, καὶ λῦπαι, τὰ δυσάγωγα τῶν παθῶν, καὶ πολλῆς τῆς ἐπιμελείας δεόμενα, εἰ μέλλει τιθασσευθέντα τε, καὶ χειροήθη γενόμενα, τῷ ὀρθῷ λόγῳ πειθαρχεῖν τε, καὶ ἕπεσθαι.

## Περὶ Δυνάμεως Αἰσθητικῆς.

### Θεώρημα ΛΕ΄.

§. ψξέ. „ Ἐπὶ ἀνθρώπου οὔτε ἐν μόνῳ τῷ τοῦ σώματος „ διοργανισμῷ, αὖθις τῆς λογικῆς ψυχῆς θετέον τὴν αἰσθη„ τικὴν δύναμιν, οὐδ' ἀνάπαλιν.

Τοῦτο ἔμφυτον τῷ ὄντι παντὶ ἀνθρώπῳ, καὶ τῆς ψυχῆς οἱονεὶ αὐτόφωνον δόγμα, ὅσαι ὧραι ἡμῖν αἰσθητικῶς ἐνεργοῦσιν ὑποτιθέμενον, καὶ πιστεύμενον, (§. χοά. χοβ΄.) μὴ ἰδιάζουσαν θατέρῳ τῶν ἐξ ὧν ἡμεῖς, κοινῇ δὲ τῷ συναμφοτέρῳ προσήκουσαν εἶναι (§. ψξγ΄. ψξδ΄.) τὴν αἰσθητικὴν δύναμιν. Προσεμπεδοῦται δὲ ἔτι τὸ μὲν Α΄. μέρος, ἔκ τε τῶν ὕπνων, καὶ τῶν ἀτενεστέρων πρὸς τὰ νοητὰ τῆς ψυχῆς ἀφαιρέσεων, ἔνιοι γὰρ μένουσι κατ' αὐτὰς, καὶ ἀναισθητοῦσι. Καὶ διὰ τὸ ἅμα μὴ ἐξεῖναι ἀκριβῶς κατὰ διαφὰς ἐνεργεῖν αἰσθήσεις, ἢ πλείονας, οἷον ὁρᾶν κατὰ τὸ αὐτὸ, καὶ ἀκούειν, καὶ ὀσφραίνεσθαι μετὰ κρίσεως, καίτοι παρόντων τῶν αἰσθητῶν τοῖς αἰσθητηρίοις ὑγιῶς ἔχουσι, περισπωμένης δηλονότι τῆς ψυχῆς, καὶ μεθελκομένης ἐφ' ἕτερα, καὶ οἷον κατὰ περιδρομὴν ἐνεργούσης· ἔνθεν τοι καὶ τὸ τοῦ Πλουτάρχου καλῶς μοι δοκεῖ εἰρῆσθαι „ ὅτι τὴν αἴσθησιν ὀλίγα κινοῦσιν, „ οἱ πλεῖστα τῇ διανοίᾳ χρώμενοι. (1) Τὸ δὲ Β΄. κρατύνουσι, καὶ αἱ τοῖς αἰσθητηρίοις ὀργάνοις ἐμποιούμεναι λῦμαι· ἅμα γὰρ ἀργεῖ καὶ ἡ αἴσθησις. Οὐδὲ γὰρ ἡ κατασκευὴ τῶν ὀργάνων μάτην πεφιλοτέχνηται.

Σχό-

(1) Πλούταρχ. Ἐν τῷ περὶ Πολυπραγμοσύνης.



## Σχόλιον.

§. ψξς΄. Εἰκότως οὖν καὶ οἱ ἐκ τῆς Στοᾶς, (1) καὶ αὐτὸ τὸ ὄγδοον ἡγεμονικὸν, ὡς ἀναγκαῖον εἰσῆγον εἰς αἴσθησιν, „ ἀφ' οὗ ταῦτα πάντα ἐπιτέταται διὰ τῶν οἰκείων ὀργάνων, „ προσφερῶς ταῖς τοῦ πολύποδος πλεκτάναις· τὸ ὁρατικὸν „ δηλαδὴ, τὸ ἀκουστικὸν, τὸ ὀσφρητικὸν, τὸ γευστικὸν, ἕκτον „ τὸ φωνητικὸν, ἕβδομον τὸ σπερματικόν. (2) Πλὴν ὅσον ταῦτα τὰ ἐν ἐσχάτοις δύο οὐκ ὀρθῶς, ἣν πάττων ὁ Ζήνων τοῖς αἰσθητικοῖς μορίοις ἐναρίθμια, ὧν τὸ μὲν τοῦ Β΄. Εἴδους τῶν δυνάμεων εἶναι ἀνωτέρω (§. ψξδ΄.) ἐτίθετο, τὸ δὲ φωνητικὸν τοῦ Γ΄. ὡς καὶ Παναίτιος ὁ Φιλόσοφος ἐδόξαζε (3) „ τὸ μὲν φωνητικὸν τῆς καθ' ὁρμὴν κινήσεως μέρος „ εἶναι βουλόμενος, λέγων ὀρθότατα, τὸ δὲ σπερματικὸν, „ οὐ τῆς ψυχῆς μέρος, ἀλλὰ τῆς φύσεως. Τὸ γεμὴν ἀνήκον ταῖς αἰσθήσεσιν, ὀρθῶς ἥττον τὴν αἴσθησιν ἀπεδίδοσαν ὁριζόμενοι „ πνεῦμα νοερὸν ἀπὸ τοῦ ἡγεμονικοῦ ἐπὶ τὰ ὄρ„ γανα τεταμένον (4) καὶ τὴν ψυχὴν ὑπὸ τῷ σώματι εἰς λόγον αἰσθήσεως συμπαραλαμβάνοντες. Ὀρθῶς δὲ καὶ Πλάτων (5) τὴν αἴσθησιν ἀποφαινόμενος „ ψυχῆς καὶ σώματος „ κοινωνίαν πρὸς τὰ ἐκτός. Ἡ γὰρ δύναμις (κυριωτέρως μοι νόει διὰ τὸ εἶναι ταύτην τῶν δυνάμεων τῶν κατὰ τὸ Γ΄. Εἶδος (§. ψξδ΄.) τῶν μᾶλλον προσηκουσῶν τῇ ψυχῇ.) „ (§. ψξγ΄.) ἐστὶ ψυχῆς, τὸ δὲ ὄργανον σώματος, ἄμ„ φω δὲ διὰ φαντασίας ἀντιληπτικὰ τῶν ἔξωθεν. (6) Συμφώνως δὲ καὶ Ἀριστοτέλης (7) οὔτε τῆς ψυχῆς, φησὶ, τὸ αἰσθάνεσθαι, οὔτε τοῦ σώματος. „ Οὐ γὰρ ἡ δύναμις, τούτου καὶ

„ ἡ

(1) Πλούταρ. Δ΄. Ἀρεσκόντων Κεφ. ή.
(2) Αὐτ. Αὐτ. Κεφ. δ΄.
(3) Παρὰ Νεμεσίῳ περὶ Ἀνθρώπου Κεφ. ιέ.
(4) Νεμέσ. Αὐτ. Κεφ. ς΄.
(5) Παρὰ Πλουτάρχ. Ἀρεσκ. Δ΄. Κεφ. ή.
(6) Παρὰ Νεμεσ. Αὐτ. Κεφ. ς΄.
(7) Περὶ Ὕπνου καὶ Ἐγρηγόρσ. Κεφ. ά.

ἡ ἐνέργεια. ἡ δὲ λεγομένη αἴσθησις, ὡς ἐνέργεια, (ὁμωνυμεῖ γὰρ ἡ ἐνέργεια τῇ δυνάμει· καὶ οὐχ ὅπως, ἀλλὰ καλεῖται πολλάκις αἴσθησις, καὶ τὸ αἰσθητήριον. (1) ) Κίνησίς τις διὰ τοῦ σώματος τῇ ψυχῇ ἐστί· φανερὸν οὖν ὡς οὔτε τῆς ψυχῆς τὸ πάθος ἴδιον, οὔτ᾽ ἄψυχον σῶμα δυνατὸν αἰσθάνεσθαι. Οὗτος δὲ καὶ ὁ τοῦ Στράτωνος ἐστὶ τοῦ φυσικοῦ λόγος παρὰ Πλουτάρχῳ. (2) „ Ὡς οὐδ᾽ αἰσθάνεσθαί τι τὸ παράπαν ἄνευ τοῦ νοεῖν ὑπάρχει. Καὶ γὰρ γράμματα πολλάκις ἐπιπορευόμενα τῇ ὄψει, καὶ λόγοι προσπίπτοντες τῇ ἀκοῇ, διαλανθάνουσιν ἡμᾶς, καὶ διαφεύγουσι πρὸς ἑτέροις τὸν νοῦν ἔχοντας. Εἶτα αὖθις ἐπανῆλθε, καὶ μεταθεῖ, καὶ μεταδιώκει τῶν προϊεμένων ἕκαστον ἀναλεγόμενος· ᾗ καὶ λέλεκται Νοῦς ὁρῇ, καὶ Νοῦς ἀκούει. τὰ δὲ ἄλλα κωφὰ καὶ τυφλά, ὡς τοῦ περὶ τὰ ὄμματα, καὶ ὦτα πάθους, ἂν μὴ παρῇ τὸ φρονοῦν αἴσθησιν οὐ ποιοῦντος. Διὸ καὶ Κλεομένης ὁ Βασιλεὺς παρὰ πότον, εὐδοκιμοῦντος ἀκροάματος ἐρωτηθεὶς, εἰ οἱ φαίνεται σπουδαῖον, ἐκέλευσεν ἐκείνους σκοπεῖν, αὐτὸν γὰρ ἐν Πελοποννήσῳ τὸν νοῦν ἔχειν. Τούτοις δὴ σύμφωνον τὸ τοῦ Ἐμπεδοκλέους τὴν σὴν Νῷ δέρκευ, μηδ᾽ ὄμμασιν ἧσο τεθηπώς. Οἷς καὶ τὸ ἑξῆς προσθετέον, ὡς οὐδὲ μικρὰν τὴν ῥοπὴν ἔχον εἰς κατασκευὴν τοῦ Θεωρήματος. „ Ἔσω γὰρ (3) (φησὶ) μὴ δεῖσθαι τοῦ νοῦ τὴν αἴσθησιν πρὸς τὸ αὐτῆς ἔργον. Ἀλλ᾽ ὅταν γε τῷ ζώῳ πρὸς τὸ οἰκεῖον, καὶ τὸ ἀλλότριον ἡ αἴσθησις ἐνεργασαμένη διαφορὰν ἀπέλθῃ, τί τὸ μνημονεῦον ἐστὶν ἤδη, καὶ δεδιὸς τὰ λυποῦντα, καὶ ποθοῦν τὰ ὠφέλιμα, καὶ μὴ παρόντων, ὅπως παρέσται μηχανώμενον ἐν αὐτοῖς; κτ. Φανερὸν γὰρ δὴ ὅτι τὸ κεῖνον, ὅπερ οὐδὲ τοῦ κατὰ τὸ αἰσθητήριον παθήματος ἀποσβεννυμένου, κεῖναι δυνηθείη, εἰ μὴ καὶ τότε φθάσαν ἐνήργησε. Τὸ μὲν οὖν τοῦ Πλουτάρχου (4) „ ὅτι ἀνάγκη πᾶσιν οἷς τὸ αἰσθάνεσθαι, καὶ τὸ

(1) Νεμέσ. Αὐτ. Κεφ. ς᾽.
(2) Ἐν τῷ πότερα τῶν ζώων φρονιμώτερα;
(3) Αὐτ. Αὐτ.
(4) Αὐτ. Αὐτ.



τὸ νοεῖν ὑπάρχειν, εἰ τῷ νοεῖν αἰσθάνεσθαι πεφύκαμεν, διὰ τὸ τοῦ νοῦ γέρας, ὃ τοῖς πᾶσιν ἐβράβευσεν ἴσως οὐκ ἀληθὲς, ἀνθρώποις δὲ τοῦ λόγου προσαπτομένου τοῖς τοῦ νοῦ τιμιωτάτου μετέχουσιν, ἀψευδέστατον. „ Καὶ τὰ μὲν αἰσθητήρια ε᾽. Αἴσθησις δὲ μία, ἡ ψυχὴ ἡ γνωρίζουσα διὰ τῶν αἰσθητηρίων, τὰ ἐν αὐτοῖς γινόμενα πάθη. (1) Μία γὰρ ἐν ἡμῖν καὶ ἁπλουστάτη, ἡ αὐτὴ τῆς λογικῆς ψυχῆς οὐσία, ἀφ᾽ ἧς οὐδὲν μᾶλλον τὸ ἁπλῶς νοεῖν ἐξῆπται καθ᾽ ἑαυτὴν περὶ τὰ νοητὰ ἐνεργούσης (§. χος᾽.), ἢ τὸ αἰσθάνεσθαι προσχρωμένης τῷ σώματι. (§. χοβ᾽.) Τί γὰρ ἄλλο αἴσθησις, ἢ τοῦ ἐν ἡμῖν διὰ κινήσεως σωματικῆς ἐπισκήπτοντος πάθους νόησις; τί δ᾽ ἄλλο νόησις, ἢ τοῦ νοητοῦ, καὶ ἄνευ σωματικῆς ἀλλοιώσεως αἴσθησις; (2) Διὸ καὶ οἱ παρὰ τὴν λογικὴν ψυχὴν, ἑτέραν τὴν αἰσθητικὴν ἐπὶ τοῦ ἀνθρώπου εἰσάγοντες (3) ἐπιεικῶς περιττοί. Πῶς γὰρ οὐ περιττοὶ, εἰ μία ἐξήρκεσεν; νυνὶ δὲ, οὐ μόνον ἐξήρκεσεν, ἀλλὰ καὶ ἀνάγκη εἶναι τὴν αὐτήν. Εἰ μὴ γὰρ, ἀντιλήψεται πάντως τῶν κρειττόνων, ἤτοι τῶν νοητῶν, ὁ ἐν ἡμῖν λόγος, ἀδυνατήσει δὲ περὶ τὰ σωματικὰ ταῦτα τὰ χείρονα. Κἂν τούτων δέξηται τὰ εἴδη ἐξαϋλούμενα (ὅπερ οὐδ᾽ αὐτοὺς ἂν ἐπομωσαίμην εἰδέναι ἔχειν, ὅπως τελεῖται, τοὺς λέγοντας.) γνώσεται μὲν τὰ τοῖς λοιποῖς, ἀγνοήσει δὲ πάντῃ τὰ πάθη, τὰ τῷ εἰδοποιουμένῳ ὑπ᾽ αὐτοῦ, ἐπισυμβαίνοντα σώματι, καὶ οὐδ᾽ ὅτι, οὐδ᾽ ὅτε τοῦτο ὑπὸ τῶν προσπιπτόντων ἀλλοιοῦται ὅλως, διαγνώσεται. Εἴπερ γὰρ ἄλλως, καὶ αἰσθήσεται, τοῦτο ἡμῶν λεγόντων εἶναι τὴν αἴσθησιν, ἄνευ τὴν ἀλλοίωσιν, τὴν δὲ τῆς ἀλλοιώσεως διάκρισιν. „ Ἀλλοιοῦται μὲν γὰρ τὰ αἰσθητήρια, διακρίνει δὲ τὴν ἀλλοίωσιν ἡ αἴσθησις. (4) Ἀλλὰ μὴ καὶ περιττὸν λόγους σωρεύειν, ἐπὶ προφανεῖ, καὶ ἀναντιρρήτῳ τῷ δόγματι; „ Οὐ-

(1) Νεμέσ. Περὶ Ἀνθρώπου Κεφ. ς᾽.
(2) Τερτυλλιαν. Περὶ Ψυχ. Κεφ. ιη᾽.
(3) Ὅρα Παρὰ Νεμέσ. Αὐτ. Κεφ. ις᾽.
(4) Νεμέσ. Περὶ Ἀνθρώπου Κεφ. ς᾽.

„ Οὔτις τοι τὸν μῦθον ὀνόσσεται, ὅσσοι Ἀχαιοί.
„ Οὐδὲ πάλιν ἐρέει.......
„ Ἀτὰρ οὐ τέλος ἵκεο μύθων......

τοῖς γάρ τι μηδὲ τὰς ἐπιφυλλίδας τῶν κατ' ἐπιστήμας Θεωρημάτων παρέρχεσθαι ἀξιοῦσιν, ἐκ τῶν δὲ ὧδε τεθέντων, ἕπεται τὰ ἐφεξῆς.

## Πορίσματα.

§. ψξζ'. Α'. Ὡς οὐκοῦν ἄρα τῆς αἰσθητικῆς ἀμοιρήσει δυνάμεως ἡ ψυχὴ ἀπολυθεῖσα τοῦ σώματος. Τοῦτο γὰρ σαφῶς, οὐδὲν ἄλλο ἐστίν, ἢ λέγειν, ὅτι ἔξω τῆς ὕλης ἡ λογικὴ ψυχή, ἣ πέφυκε (§. ψλδ'.) γινομένη, ἥκιστα πρὸς ἐνέργειαν, ὡς ὅτε τὸ σῶμα εἰδοποιοῦσα ἐστί, τῇ ὕλῃ προσχρήσεται. (§. ψνα'. ψνβ'.) Ταύτῃ τοι καὶ τὸ παρὰ τῷ „ Θεολόγῳ Γρηγορίῳ (1) ἄκουε καὶ ἡ τοῦ Μεγάλου Κωνσταν„ τίου ψυχή, εἴτις αἴσθησις, καὶ ὅτῳ ἄλλῳ τοιοῦτο τι εἴρηται, καταχρηστικῶς ἐκληψόμεθα, τὴν αἴσθησιν ἐν τούτοις ἐκδεχόμενοι, ἀντὶ τῆς ὅπως δήποτε ταῖς ἀπολυθείσαις τῶν σωμάτων ψυχαῖς, ἐγγινομένης τῶν ὄντων τῶν σωματικῶν συνέσεώς τε, καὶ ἐπιγνώσεως· οὐδὲν δὲ ἄλλο, ἢ τοῦτο βούλεται καὶ Ἀριστοτέλης, ἐν οἷς τὸν πρακτικὸν νοῦν ἀποφαίνεται εἶναι ἀχώριστον· τὸ γὰρ πρακτικῷ εἶναι, ἐκ τῆς πρὸς τὸ σῶμα σχέσεως τῷ νῷ γίγνεται. „ Διὸ μετὰ τὸ ἀπολυθῆ„ ναι τοῦ σώματος, μόνος ἐστὶν ὁ θεωρητικὸς νοῦς, οὐκέτι δὲ „ καὶ πρακτικός. (2)

§. ψξη'. Β'. Καὶ μέντοι, καὶ εἰ καθ' ὑπόθεσιν τὴν οὐκ ἀδυνάτως ἔχουσαν (ἐφείσθω δὲ καὶ ὑποτιθέναι τὰ δυνατὰ φιλοσοφοῦντας, ἐξ ὧν αὐτοῖς ἕψοιτο, ἀκριβεστέρα τῶν ὄντων περίνοια) μηδὲν παραλυμανθείσης τῆς τοῦ σώματος ἁρμονίας τε, καὶ συστάσεως, ἀλλ' ἔτι δ' ὡς εἶχε καὶ τῆς ψυχῆς ἐν-

(1) Ἐν Α'. Στηλιτευτικῷ.
(2) Ὅρα τὸν Φιλόπον. Περὶ Ψυχ. Βιβλ. β'.



ἐνδιαιτωμένης, κατά τε τὴν ἐν αὐτῷ διάπλασίν τε, καὶ οἰκονομίαν, ἐπὶ ποσὸν ὑπὸ τοῦ κρείττονος συντηρηθείσης, ἤτοι εἰς τὸ μηκέτι εἶναι ῥαπείη (§. ψμθ'.) ἡ τῆς λογικῆς ψυχῆς οὐσία, ἢ γοῦν ὑπεξαχθεῖσα τοῦ σκήνους ἀλλοσέ ποι γένοιτο, κείσοιτο αὖ δήπου, τὸ καταλειφθὲν ὀργανικὸν σῶμα, διαφθορᾶς μὲν κρεῖττον, ἧττον δ' αἰσθήσεως. (§. ψξε'. ψξς'. ψξζ'.)

§. ψξθ'. Γ'. Πᾶσα ἄρα ἀνάγκη, τοὺς μὲν γνωστικῆς οἱασοῦν ἀντιλήψεως ἀποστεροῦντας τὰ κτήνη εἴδη, καὶ τῆς ἀληθοῦς ἀπὸ μιᾶς ἀπογυμνοῦν πειρᾶσθαι αὐτὰ αἰσθήσεως· (§. ψξε'. κξ'.) τοὺς δὲ αἴσθησιν ἀληθῆ αὐτοῖς προσεῖναι ὁμολογοῦντας, καὶ γνωστικὰ ὁπωσοῦν αὐτὰ ἀποφαίνεσθαι. (§. Αὐτ.) Οὐ γὰρ εἶναι ἐθελούσῃ ἔοικεν, οὐδὲ φύσιν ὅλως ἐχούσῃ, ἡ κατὰ τὴν ἀληθῆ αἴσθησιν δύναμις, τοῦ κρίνοντος ἀποσχίζεσθαι.

## Θεώρημα Λς'.

§. ψο'. „ Τὰ τοῖς ἐκτὸς αἰσθητηρίοις ἐμποιούμενα ὑπὸ „ τῶν αἰσθητῶν πάθη, ἣν μὴ ἄχρι τοῦ ἐγκεφάλου, κινήσεως „ συνεχισμῷ ἀπολήξωσιν, ὡς εἰς ὅρον πρὸς ὃν ἀποτερματιζόμενα, „ οὐδεμιᾶς ἡμῖν αἰσθήσεως παραίτια γίνεται.

Πιστὸν δὲ τοῦτο τὰ νεῦρα καθίστησιν, ὧν ῥίζα μὲν οἱονεὶ αὐτὸς ἐστὶν ὁ ἐγκέφαλος, ἀποσχιζομένων δέ, εἰς κλάδους προήκει τὰ ἄκρα, ἐπ' αὐτὰ τὰ ἐκτὸς αἰσθητήρια, ὥστε τοῖς περὶ τὴν ἀνατομὴν ἀσχολουμένοις ὁμόλογον φέρεται. Εἴπερ γὰρ ἡ κατὰ τὸ συνεχὲς ἀπὸ τῶν αἰσθητηρίων ὀργάνων, κοινωνία τε καὶ ἀποπεράτωσις τοῦ πάθους, οὐκ ἀπαιτεῖται πρὸς αἴσθησιν, ἡ τῶν εἰρημένων νεύρων παρασκευή, καὶ περιουσία, περιττή τις αὖ εἴη, καὶ ἐπ' οὐδενὶ χρησίμη, ἡ ἐν ἐκείνοις περιεργία τῆς φύσεως. Ἄλλως τε καὶ ἀπόντων, ἢ τί παθόντων ἐκείνων, οὐδὲν αὖ ἧττον συνέβαινεν ἡμῖν τὸ αἰσθάνεσθαι. Ἀλλ' οὐχ οἷόν τε. Ἑνός γάρ τινος ὁποιουδήποτε τῶν νεύρων ἤτοι δεσμῷ σφιγγομένου, ἢ ἐπιῤῥοῇ χυμοῦ παχυτέρου βυομένου, καὶ ἔμφραξιν πάσχοντος, ἢ σφοδρᾷ τῇ τάσει διασπωμένου τε, καὶ σφακελιζομένου, ἢ πέως τομῇ διαῤῥηγνυμένου,

μένει, τὸ πρὸς ὃ ἀπολήγει, καὶ πέρας ἔχει παραλύεται μέλος, κἂν ἄλλως ἐν ἀκροτάτῃ εὐεξίᾳ θάλλον εἴη τὸ ὄργανον, αἰσθήσεώς γε μὴν οἱασοῦν, καὶ κινήσεως τῆς καθ' ὁρμὴν, καὶ προαίρεσιν ἄμοιρον ἀπολείπεται. Ἄρα τὰ τοῖς ἐκτὸς αἰσθητηρίοις, κτ.

## Σχόλιον.

§. ψοα΄. Ὅτι μὲν οὖν ταῦθ' οὕτως ἔχει, ὡς λέλεκται, Ἰατρῶν παῖδες, καὶ Φιλοσόφων, οἵτε καθ' ἡμᾶς, καὶ οἱ Παλαιοὶ, ἐκ πείρας ἀμφιλαφοῦς τε, καὶ ἀσφαλοῦς διεγνωκότες παρέδωκαν· „ ὅτι μὲν γὰρ οὐδὲν τῶν τοῦ ζώου μορίων, οὔτε „ κίνησιν ἣν προαιρετικὴν ὀνομάζομεν ( προσθείη δ' αὖτις, ὡς οὐδὲ ζωτικὴν, οὐδὲ φυτικὴν ὅλως ) οὐδὲ αἴσθησιν ἔχει „ χωρὶς νεύρου, καὶ ὡς εἰ τμηθείη τὸ νεῦρον, ἀκίνητόν τε „ καὶ ἀναίσθητον, εὐθέως γίνεται τὸ μόριον, ὡμολόγηται „ πᾶσι τοῖς ἰατροῖς. Ὅτι δὲ καὶ ἡ ἀρχὴ τῶν νεύρων ἐστὶν „ ὁ ἐγκέφαλος, ὥσπερ καὶ τοῦ νωτιαίου μυελοῦ, καὶ ὅτι τὰ μὲν „ ἐξ αὐτοῦ τοῦ ἐγκεφάλου, τὰ δὲ ἐκ τοῦ νωτιαίου πέφυκεν, „ οὐ πᾶσιν ἐγνώσθη· κατ' αὐτὸν ἀμέλει τὸν λέγοντα (1) καὶ γὰρ καθ' ἡμᾶς οὐδὲν τούτου γνωριμώτερον· μᾶλλον δὲ καὶ παρὰ τοῖς πολὺ πρὸ ἡμῶν γενομένοις τὸ πρᾶγμα ἔγνωστο. Ἔνθεν τοι καὶ Νεμέσιος, ὡς ἤδη ἀναμφίλεκτον ὑποτίθησιν· „ (1) Ἐξ ἐγκεφάλου ἀρχῆς ὄντος κινήσεώς τε, καὶ αἰσθή„ σεως, καταρχίζεσθαι τὸ νεῦρον, καὶ ὅτι (2) τῆς κατὰ προαί„ ρεσιν ἢ καθ' ὁρμὴν κινήσεως, ἀρχὴ μὲν ὁ ἐγκέφαλος, „ καὶ ὁ νωτιαῖος μυελὸς, ἐγκεφάλου μέρος ὢν καὶ αὐτὸς, ὄρ„ γανα δὲ τὰ ἐκ τούτων πεφυκότα νεῦρα, καὶ οἱ σύνδεσμοι, „ καὶ οἱ μύες. Καὶ ὅτι (3) πᾶν νεῦρον αἰσθητικόν ἐστι.... „ καὶ ἀπ' ἐγκεφάλου τὴν ἀρχὴν ἔχει. Τοῖς δὲ ἐκ τῆς τομῆς

(1) Γαληνὸς Ἐν τῷ περὶ Νεύρων ἀνατομῆς.
(2) Περὶ Ἀνθρώπου Κεφ. κδ΄.
(3) Αὐτ. Κεφ. κζ΄.



μῆς τοῦ νεύρου κατὰ τὸν Γαληνὸν εἰρημένοις συμβαίνειν, παραπλήσια ἂν εὕροις, καὶ παρὰ τῷ Φιλοπόνῳ (1) μαρτυρούμενα „ πᾶσαι αἱ αἰσθήσεις, λέγοντι, ἐκ τοῦ ἐγκεφάλου „ προΐασιν· ὅθεν εἰ πάθοι τι ὁ ἐγκέφαλος, ἀναίσθητον „ παντελῶς, καὶ ἀκίνητον τὸ ζῶον γίνεται· ἐπιτιθεμένου γὰρ „ ἐπὶ τὸν ἐγκέφαλον κάρφους, πᾶσα αἴσθησις, καὶ κίνησις „ ἀνενέργητος μένει. Εἰ γὰρ ἔμφραξις γένοιτο ἐν τῷ νεύ„ ρῳ, ἢ τμηθείη, ἢ δεθείη, τὸ μὲν ἄνω μέρος τοῦ σώμα„ τος αἰσθάνεταί τε, καὶ κινεῖται, τὸ δὲ κάτω ἀκίνητον ἔ„ σται, καὶ ἀναίσθητον· ὥστε ἐκ τοῦ ἐγκεφάλου πᾶσαι αἱ αἰ„ σθητικαὶ δυνάμεις προέρχονται. Καὶ ἀδύνατον ἄρα ( ὃς ἦν ὁ τοῦ Θεωρήματος λόγος ) αἴσθησιν ἡντιναοῦν τελεσθῆναι, εἰ μὴ αἱ κατὰ τὰ αἰσθητήρια γινόμεναι κινήσεις, εἰς αὐτὸν τὸν ἐγκέφαλον, ἀποπερατωθεῖεν, ὡς διὰ ὀχετῶν τῶν νεύρων διαπορθμευόμεναι.

## Πόρισμα.

§. ψοβ΄. Εἰ δὴ τοῦτο φανερὸν, καὶ ἥτις ἐν ἡμῖν ἕδρα τῆς αἰσθητικῆς δυνάμεως, δικαίως ἀφώρισται. Τίς γὰρ δικαιότερον ἄλλη, ἢ ἔνθα τὰ τῆς ἀλλοιώσεως ἵσταται, καὶ πέρας ἔχει, ἧς ἄνευ αἴσθησιν γενέσθαι ἀδύνατον; οὗτος δὲ ἐστὶν ὁ ἐγκέφαλος. ( §. ψο΄. ψοα΄. ) Εἰ δὲ τῆς αἰσθητικῆς οὗτος ὁ θρόνος, φανερὸν ὅτι καὶ τῆς λογικῆς. Αὕτη γὰρ, ἐκείνη ἐστὶν, ἡ παθαινομένῳ καὶ ὁπωσοῦν ἀλλοιουμένῳ, τῷ ὀργανικῷ προσέχουσα σώματι, καὶ γνωστικῶς δι' αὐτοῦ ἐνεργοῦσα, μία τῷ πράγματι. ( §. ψξς΄. )

## Σχόλιον Α΄.

§. ψογ΄. Ἔδοξε δὲ τὸ περὶ τῆς ἕδρας τῆς ψυχῆς, τοῖς τε πάλαι, καὶ τοῖς ὕστερον οὐκ ἀπόβλητον, οὐδ' ἀπερίεργον ζήτημα.

(1) Ἐν Ὑπομν. εἰς τὸ Β΄. Περὶ Ψυχ. τοῦ Ἀριστοτέλους.

μα. Πλάτων μὲν γὰρ καὶ Δημόκριτος (1) ἐν ὅλῃ τῇ κεφαλῇ τὸ ἡγεμονικὸν ἱδρυσάμενοι φέρονται, κατ᾽ αὐτὸν δηλ. τὸν ἐγκέφαλον, ὃν ὁ μὲν ἄρουραν τὸ θεῖον σπέρμα περιέχουσαν, ὁ δὲ θρόνον ψυχῆς ἐκάλει. Ἐρασίστρατος δὲ „περὶ τὴν μήνιγγα τοῦ ἐγκεφάλου, ἣν ἐπικρανίδα λέγει. Ἡρόφιλος δὲ ἐν τῇ τοῦ ἐγκεφάλου κοιλίᾳ, ἥτις ἐστὶ καὶ βάσις. Παρμενίδης ἐν ὅλῳ τῷ θώρακι, καὶ Ἐπίκουρος. Οἱ Στωϊκοὶ πάντες ἐν ὅλῃ τῇ καρδίᾳ, ἢ τῷ περὶ καρδίαν πνεύματι. Διογένης ἐν τῇ ἀρτηριακῇ κοιλίᾳ τῆς καρδίας, ἥτις ἐστὶ πνευματική. Ἐμπεδοκλῆς ἐν τῇ τοῦ αἵματος συστάσει. Οἱ δὲ ἐν τῷ τραχήλῳ τῆς καρδίας. Οἱ δὲ ἐν τῷ περὶ καρδίαν ὑμένι. Οἱ δὲ ἐν τῷ διαφράγματι. Τῶν Νεωτέρων δέ τινες διήκειν ἀπὸ κεφαλῆς μέχρι τοῦ διαφράγματος. Πυθαγόρας τὸ μὲν ζωτικὸν περὶ τὴν καρδίαν, τὸ δὲ λογικὸν, καὶ νοερὸν, περὶ τὴν κεφαλήν." Τί δὲ δήποτε Ἀριστοτέλης καὶ περὶ τούτου ἐπέπασεν; ἐκ τῶν αὐτοῦ περὶ ψυχῆς (2) ἐστὶν ἐκμαθεῖν. Τὰ γάρ τοι μόρια τῆς ψυχῆς ὅσα ἐστὶν ἐπαριθμησάμενος, τὸ θρεπτικὸν, τὸ αἰσθητικὸν, τὸ διανοητικὸν, τὴν κίνησιν, ἀπορῆσαι ἠξίωσεν „πότερον ταῦτα χωριστὰ λόγῳ μόνῳ, (τουτέστιν ὁρισμῷ) ἢ καὶ τόπῳ;" ὥστε καὶ τὸν Τίμαιον ἐν καρδίᾳ μὲν εἶναι τὸ θυμικὸν, τὸ δὲ ἐπιθυμητικὸν ἐν ἥπατι, καὶ ἐν τῷ ἐγκεφάλῳ τὸ αἰσθητικόν. Ἀπαντῶν δὲ τῇ ἀπορίᾳ „περὶ μὲν τινῶν, φησὶν, οὐ χαλεπὸν ἰδεῖν. Τίνα δὴ ταῦτα; τὸ θρεπτικὸν, καὶ αὐξητικὸν, καὶ γεννητικόν· ταῦτα γὰρ οὐ χωριστὰ τῷ τόπῳ εἶναι κρίνει, δι᾽ ὅλου δὲ τοῦ ἐμψύχου διήκειν σώματος, ἐξ αὐτῶν τῶν φυτῶν τοῦτο τεκμαιρόμενος, καὶ ἐκ τῶν ἐντόμων ζώων, ὧν διαιρεθέντων, ἕκαστον τῶν τμημάτων, τῆς ἐμψυχίας προφανῆ παρέχεται τὰ σημεῖα, τὰς δυνάμεις ἐπιδήλως φέρον τὰς αὐτάς. Ἐκ τούτου δὲ ὁπωσοῦν, καὶ περὶ αἰσθήσεως, καὶ φαντασίας, καὶ ὀρέξεως, τοπικῶς ἀχωρίστους εἶναι, λόγῳ πάνυ ἀσθενεῖ καὶ διαβλέπτῳ (ὡς δῆλον) συνά-

(1) Παρὰ Πλουτάρχ. Ἀρεσκ. Δ. Κεφ. Γ'.
(2) Ἐν Βιβλ. Β'.



ψας, οὐκέτι καὶ περὶ τῆς λογικῆς ψυχῆς ὑπολαμβάνειν καταπλήσιόν τι ἀποτολμᾷ, προστίθησι γὰρ ἐχομένως· „περὶ δὲ τοῦ νοῦ, καὶ τῆς θεωρητικῆς αὐτοῦ δυνάμεως, οὐδέπω φανερόν. Ἀλλ᾽ ἔοικε ψυχῆς γένος ἕτερον εἶναι. Καὶ τοῦτο μόνον ἐνδέχεται χωρίζεσθαι καθάπερ τὸ ἀΐδιον τοῦ φθαρτοῦ." Ὅθεν δὴ πάλιν καὶ τὸ περὶ τοῦ ἀθανάτου τῆς ψυχῆς, θαυμαστῶς κρατύνεται δόγμα· νοητέον γὰρ δηλονότι τὸν χωρισμὸν, οὐ καθότι τὰ ἀτιμότερα μόρια, δυνατὸν εἶναι ἄνευ τούτου τοῦ τιμιωτέρου καὶ κρείττονος, καθάπερ ἐπὶ τῶν ἀλόγων, οὕτω γὰρ δὴ καὶ τὸ θρεπτικὸν αὐτό ἐστιν ἄνευ τοῦ αἰσθητικοῦ, ὡς ἐπὶ τῶν φυτῶν, (εἰ καὶ αὐτὰ τῷ τόπῳ εἴρηται τυγχάνειν ἀχώριστα.) „ἄνευ μὲν γὰρ τοῦ θρεπτικοῦ τὸ αἰσθητικὸν οὐκ ἔστι, τοῦ δὲ αἰσθητικοῦ χωρίζεται τὸ θρεπτικὸν ἐν τοῖς φυτοῖς. (1)" Καθὸ δὲ τοῦτο ἐκείνων ἄνευ, καὶ ἐκ τοῦ ἀκολούθου, χωρὶς τοῦ κατ᾽ ἐκεῖνα ἐμψύχου σώματος. Ἀλλὰ γὰρ περὶ μὲν τούτου ἱκανῶς ἡμῖν ὁ λόγος ἐν ἄλλοις ἀπήρτισται. Περὶ δὲ τοῦ προκειμένου ἀπόχρη καὶ τὸ ἐνδοιάζειν ἐπὶ τοσοῦτον τὸν ἄνδρα, καὶ ὑποδιστάζοντι ἐοικέναι, μηδ᾽ αὐτὴν δὴ τὴν τοῦ σώματος διάπλασιν, τὸν νοῦν εἶναι ἡγεῖσθαι. Ὡς περὶ τοῦ Νοῦ τοῦ θειοτάτου κἀνταῦθα, ἢ τοῦ θύραθεν ἐνδοιάζοντα ἐκδέχεσθαι τὸν Φιλόσοφον, καὶ ἀποροῦντα „εἰ χωρίζεσθαι φύσιν ἔχει καθάπερ τὸ ἀΐδιον τοῦ φθαρτοῦ, καὶ οὐδέπω φανερὸν εἶναι λέγοντα τοῦτο, καὶ γένος ἕτερον „ψυχῆς ὀνομάζοντα, οὐδὲ ὁμολογεῖν ἐθέλειν, τὸ θεῖον τε καὶ ἀκήρατον τῆς ἀσωμάτου ψυχῆς αὐτὸν ἐνταῦθα ἐπιγινώσκοντα διαμαρτύρεσθαι, ἧς ἐξῃρημένως τῶν ἄλλων δυνάμεων, χωριστὴ σωμάτων ἡ φύσις, ἐν σταθερᾷ μεσημβρίᾳ τυφλώττοντος ἂν εἴη, καὶ πρὸς τὴν ἴσην ἀβλεψίαν τοὺς ἄλλους ἕλκοντος. Ἀλλ᾽ ἐπανιτέον ὅθεν εἰς ταῦτα προήχθημεν. Εἰ μὲν οὖν τὸ αἰσθητικὸν, καὶ τὸ θρεπτικὸν καὶ τὰ ἄλλα, ἀχώριστον εἶναι κρίνας τῷ τόπῳ, δι᾽ ὅλου ἐξέτεινε τοῦ σώματος ὁ Φιλόσοφος, τὴν γε μὴν ἀρχὴν τοῦ μορίου, καὶ οἷον πηγὴν τῶν κατ᾽ αἴσθησιν ἐνεργημάτων, συμφώνως τοῖς Στωϊκοῖς,

(1) Ἀριστ. Ἐν Β'. Περὶ Ψυχ.

κοῖς, ἐν τῇ καρδίᾳ που πάττειν ἔδοξεν, ἐν οἷς, οἱονεὶ ζῶον „τὴν καρδίαν ἐκάλεσε διὰ τὸ ἔχειν τὰς ἀρχὰς τῶν αἰ„σθήσεων. (1) ᾧ δὴ παρηκολουθηκώς, καὶ Μιχαὴλ ὁ Ἐφέ„σιος, τοῦτο εἶναι τὸ α΄. αἰσθητήριον ἀπεφήνατο τὴν καρδίαν, „ἐν ᾗ ἡ αἰσθητικὴ δύναμις τῆς ψυχῆς ἐστί. (2) Τοῖς τοίνυν Ἀρχαίοις ὅσα γε ἐμὲ εἰδέναι, οὕτως ἄλλῳ ἀλλαχοῦ τὴν ἀρχὴν τῆς αἰσθητικῆς δυνάμεως ἱδρυκόσι, περὶ τούτου τοσαῦτα. Τοῖς δὲ δὴ Νεωτέροις ἅπασιν εὐλογώτατον ἔδοξεν, ἐνταῦθα τοῦ σώματος τὴν ψυχὴν οἴεσθαι παροῦσαν, ἔνθα αἱ τὰ διὰ πάντων τῶν ὀργάνων, εἴς τε κίνησιν, καὶ εἰς αἴσθησιν συμβαλλόμενα νεῦρα, ὡς ἐν ἀρχῇ τε καὶ ῥίζῃ συνίασι. Τοῦτον δὲ εἶναι τὸν ἐγκέφαλον ὁμολογουμένως, ἔτι λείπεται αὐτοῖς ἀπορεῖν, πότερον ὁλοσχερῶς αὐτὸν εἶναι ὑποληπτέον τῆς ψυχῆς τὸ ἄμεσον σκεῦος, ἢ ἐκείνου μέρος; Εἰ δὲ καὶ μέρος, τὸ ποῖον; Τὸν μονήρη ἐν τῇ τρίτῃ κοιλίᾳ ὄντα ἀδένα, ἢ τῷ Καρτεσίῳ δοκεῖ, τὸν ἀπὸ τοῦ κωνοειδοῦς σχήματος, Κωνάριον προσειρημένον; Ἀλλὰ τοσαῦτα ὅσα τὰ δι' ὅλου τοῦ σώματος προήκοντα νεῦρα, ἀφ' οὕτω σμικροῦ μορίου, ἡλίκος ὁ τῆς πίτυος ἐστὶ καρπὸς τὸ μέγεθος ἀπηρτῆσθαι, θαυμάσειέ τις ἂν εἰκότως, καὶ ἀδύνατα φήσειε. τὸ δὲ καὶ λιθίασιν, καὶ τὸ μόριον τοῦτο παθόντα, ἤπου παρατετήρηται, μηδὲν ἔπειτα βλαβῆναι τὴν αἴσθησιν, μηδ' ἐμβροντηθῆναι, καὶ ἀποπληχθῆναι τὸ σύνολον, εἰ τοῦτο τὸ πρώτιστον ἀληθῶς αἰσθητήριον, καὶ ἐπέκεινα οἶμαι θαύματος. Ἕτεροι γοῦν ἐπὶ τὴν ὑποκειμένην τοῦ ἐγκεφάλου οὐσίαν, τὴν στερροτέραν τε καὶ λευκοτέραν οὖσαν κατέφυγον. Οἱ δὲ ἐπὶ τὸν προμήκη μυελόν, ἐξ οὗ ὁ νωτιαῖος ἐπιτέταται ὁ τῆς ῥάχεως. Τοῦθ' ὅπερ ἐπὶ τῶν δυσχερῶν καταληφθῆναι φιλεῖ συμβαίνειν, εἰς πολυδοξίαν ἡ ψῆφος μεμέρισται· τὸ δὲ δυσχερὲς ἐπὶ τοῦ προκειμένου δυοῖν ἕνεκα γίγνεται, τοῦ μέν, ὅτι ὅθεν ἡ νευρώδης ἅπασα φύσις, ὡς ἐξ ἀρχῆς τε καὶ ῥίζης ἀποφύεται, εὑρεῖν οὐ ῥᾴδιον· τοῦ δέ, καὶ ὅτι ἀφωρισμένως εἶναι

(1) Περὶ ζώων Κινήσ.
(2) Περὶ Μνήμ. καὶ Ἀναμν. ἐν Παραφρ.



εἶναί που τὴν οὐσίαν τὴν ἄϋλον, νοῆσαι χαλεπώτατον. Ἀλλὰ γὰρ ἐπὶ τῶν τοιούτων καὶ τὸ πελάσαι μικρὸν τῇ γνώσει ἴσως οὐκ ἀφυές.

## Σχόλιον Β΄.

§. ροδ΄. Οὐδὲν δ' ἴσως ἀπῳδὸν τῆς παρούσης θεωρίας ἂν εἴη, συντόμως, καὶ ὡς ἐν τύπῳ διελθεῖν, ὅπως τελεῖσθαι τὰ τῶν αἰσθήσεων οἱ περὶ τὰ τοιαῦτα δεινοὶ ἐκδιδάσκουσι. Τοῦ κρανίου τοὔμπροσθεν μὲν βρέγμα, τοὔπισθεν δ' ἰνίον, τὰ δ' ἑκατέρωθεν κρόταφος. Ὑπὸ δὲ τὸ βρέγμα ἐγκέφαλος, ὁ τοῖς πᾶσι γνώριμος, οὗ ἡ μὲν πῆξις ἁπαλή, ἐν βάθει μᾶλλον παχυνομένη, ἡ δὲ πλοκὴ περιελικτή, ὡς ἡ τῶν ἐντοσθίων, ἡ δὲ χρόα τεφροειδής, τὰ ἐνδοτέρω μᾶλλον λευκάζουσα, τὸ δὲ σχῆμα σφαιροειδές. Καλύμματα δὲ παρὰ τὸ ὀστῶδες τοῦ κρανίου μήνιγγες δύο, ἡ μὲν λεπτὴ ἡ ἐπ' αὐτοῦ τοῦ ἐγκεφάλου καὶ ἄμεσος, ἣν εἰκὸς ἐπεγκεφαλίδα καλεῖν, ἡ δὲ ἐπ' αὐτήν, καὶ τοῦ κρανίου ἀμέσως ὑποκειμένη, παχεῖά τε οὖσα καὶ παχυτέρα τῆς ἄλλης, ἣν εὔλογον ἐπικρανίδα σὺν Ἐρασιστράτῳ (1) ὀνομάζειν. Μητέρας οἱ Νεώτεροι τῶν Ἀνατόμων προσαγορεύουσι ταύτας, τὴν ἁπαλὴν, καὶ σκληρὰν ἀντιδιαστέλλοντες, καί τινες καὶ ταύτας ἀπ' ἀλλήλων, τῇ παρεμπτώσει τρίτου ὑμένος τοῦ Ἀραχνοειδοῦς, εἰσὶ διατειχίζοντες. Γίνεται δὲ εἰς ἡμισφαίρια δύο ἡ τοῦ ἐγκεφάλου κατατομή, ὑπὸ τῆς παχυτέρας τῶν μηνίγγων, δρεπανοειδῶς διαχωρούσης, καὶ τοὺς λοβοὺς ἀπ' ἀλλήλων διιστώσης· ὑπὸ δὲ τῆς αὐτῆς μήνιγγος, ἐγκαρσίως παρεμπιπτούσης, καὶ τῆς καλουμένης παρεγκεφαλίδος, διαπέφρακται ὁ ἐγκέφαλος, καὶ διατετείχισται. Κοιλώματα δ' ἅττα ἐνορᾶται τοῦ ἐγκεφάλου, τέτταρα τὸν ἀριθμὸν τὰ ἐπισημότατα, ἃ καὶ κόλποι ἀκούουσι, καὶ γαστέρες, ἢ κοιλίαι. Δύο μὲν πρόσθεν, ἑτέρωθεν ἕτερον, εὐρυτέρω τε ὄντε τῶν ἄλλων, καὶ μη-

(1) Παρὰ Πλουτάρχ. Ἀρεσκ. Δ. Κεφ. Ι΄.

μηνοειδεῖ τῇ σελήνῃ προσεοικότι τὸ σχήματι. Τρίτον δ' ὑπ' αὐτὴν πρὸς τὸ ἰνίον μικρὸν ἀπονεῦον, ἐν ᾧ ἤτε χοροειδὴς πλοκὴ, ἐξ οὐκ ὀλιγαρίθμων σιφώνων πεπύκασται, καὶ τὸ Κωνάριον, ὁ ἀδὴν, ἐκ τοῦ σχήματος. Καὶ ἐξοιδήσεις τέτταρες, δύω μὲν ἑκατέρωθεν τοῦ Κωναρίου προσκείμεναι αἷς καὶ γλουτοὶ, δύω δ' ὑπ' αὐταῖς αἷς ὄρχεις ὄνομα. Καὶ ἀγωγὼ δύω ὁ μὲν πρόσω, ὁ δ' ὀπίσω τείνοντε. Ἐπὶ τούτοις τῶν κοιλωμάτων τὸ δ'., τὸ τῇ παρεγκεφαλίδι, καὶ τοῦ ὑπ' αὐτὴν νωτιαίου μυελοῦ παρεγκείμενον.

Ἡ δὲ παρεγκεφαλὶς τοῦ τε ἰνίου, καὶ τῇ παχείᾳ μήνιγγι διπτύχῳ ἀσφαλιζομένη, καὶ εἰς τὸ σφαιροειδὲς καὶ αὐτὴ ἀποκυρτουμένη ἐμφερῶς τοῦ ἐγκεφάλου, καὶ διχηλουμένη. Ταύτης δὲ ἐν τῇ κατατομῇ ἐπιφύσεις δύω εἰσὶ σκωληκοειδεῖς τὴν μορφὴν, καὶ τρίτη ἡ πρὸς τοῦ νωτιαίου μυελοῦ κειμένη, ἣν γέφυραν ὀνομάζουσιν. Ἐφεξῆς δὲ ὁ προμήκης μυελὸς, ἔκ τε τοῦ ἐγκεφάλου, καὶ τῆς παρεγκεφαλίδος ἐκφὺς, εἰς ἓν συνιόντων, ἄχρι τῆς ὑπὸ τὸ ἰνίον ὀπῆς προήκων, μικρόν τι μᾶλλον ἐκείνων τὴν σύστασιν ὑποπαχυνόμενος, καὶ ὑπὸ τῶν εἰρημένων τριῶν ὑμένων, ὑφ' ὧν καὶ ὁ ἐγκέφαλος, καὶ οὗτος σκεπόμενος. Ἐχομένως δὲ ὁ ἀκανθιαῖος μυελὸς, ἐκ τοῦ προμήκους κατὰ τὸ συνεχὲς προαγόμενος, καὶ ὑμέσι τοῖς αὐτοῖς περιειλημμένος, διὰ τῶν σπονδύλων, οἷς ἡ ἄκανθα διήρθρωται, πρόεισι, καὶ ἐπ' αὐτὸ τέως τὸ ἱερὸν ὀστοῦν ἀποτελευτᾷ.

Ἐκ γοῦν τῶν τοῦ νωτιαίου τοῦδε μυελοῦ ἀνωτέρων τε καὶ κατωτέρων μερῶν, ἀναβλαστάνει τὰ νεῦρα, συμφυῆ ὄντα αὐτῷ, πλὴν ὅσον μικρὸν παχιώτερα, ὡς ἀπὸ στελέχους κλάδοι τινὲς ἑκατέρωθεν προϊόντες καὶ κατασχιζόμενοι, τὰ μὲν τὴν παρεγκεφαλίδα, ὅσα τοῖς ζωτικοῖς τε καὶ φυσικοῖς ὑπουργεῖ κινήμασι, τὰ δὲ τὸν ἐγκέφαλον, ὅσα τοῖς αἰσθητικοῖς τε καὶ ψυχικοῖς, ῥίζαν ἰδίαν ἑαυτῶν κεκτημένα, καὶ ἄχρι περάτων ὅλου τοῦ σώματος ἀποτερματούμενα.

Συζυγίαι δὲ τῶν μὲν ἀπὸ τοῦ ἀκανθιαίου μυελοῦ ἐκπεφυκότων νεύρων τριάκοντα, αἷς ἄλλοι καὶ δύω ἑτέρας προσέθεντο. Τῶν δ' ἀπὸ τοῦ προμήκους κατὰ μὲν τοὺς παλαιοτέρους ἑπτὰ, κατὰ δὲ τοὺς νεωτέρους εἰς δεκάδα προσαριθμούμεναι. Τούτων Α'. μὲν τῶν ὀσφρητικῶν, Β'. δὲ τῶν ὀπτικῶν. Γ'. δὲ





τῶν ὀφθαλμικῶν. (καλείσθω δὲ οὕτως, εἰς διαφορὰν τῶν τῆς Β'. συζυγίας, δι' ἐκείνων μὲν γὰρ ἡ ὄψις τελεῖται, διὰ δὲ τούτων παντοίας περιστροφὰς, καὶ κινήσεις τὸ ὄργανον ἐπιδέχεται.) Δ'. τῶν παθητικῶν, δι' ὧν πάθους τινὸς ἔμφασις, οὐ ταύτῃ ἀτέκμαρτος ἐπιτρέχει τοῖς ὄμμασι. Ε'. τῶν γευστικῶν. ς'. τῶν πλευρικῶν, καὶ δι' ὧν (δίκλονα γὰρ ἐστὶ ταῦτα, καὶ δίχηστα.) ἐν ποίαις ὄμμα περάσεται. Ζ'. τῶν (δικλόνων καὶ τούτων ὡσαύτως ὄντων) ἀκουστικῶν, καὶ φωνητικῶν. ἡ δὲ Η'. νεύρων ἐστὶν ἐπίδεσμος, οὓς (ἅτε δὴ εἰς παντοῖα ἀποσχιζομένους μέρη τοῦ σώματος, καὶ πρὸ πάντων ἐπ' αὐτὰ τὰ προκάρδια.) πλανήτας ὀνομάζουσιν. Αἱ δὲ λοιπαὶ, ἤτε Θ'. συζυγία, καὶ ἡ Ι', πρὸς ὅσα δήποτε ταῖς καθ' ὁρμὴν καὶ προαίρεσιν ὑπείκει κινήσεσιν ἐπιδιανέμεται.

Οὐχ ἁπλᾶ δὲ ὡς ἐπίπαν, οὐδὲ μονόκλονα εἰς τέλος περατοῦσθαι, τοῖς πρὸς ἅπερ ἀπολήγουσι μέλεσιν, ὑποληπτέον τὰ νεῦρα, ἀλλὰ πολυσχιστά τινα εἶναι αὐτὰ νομιστέον. Ἔσθ' ὅπου δὲ, καὶ εἰς πάνυ πολλοὺς, οὐδ' εὐαρίθμους κλαδίσκους μίτων δίκην τινῶν λεπτοτέρων, διαζευγνύμενά τε, καὶ πληθυνόμενα. Οἷον τὰ μὲν ὀπτικὰ πολυσχιδῆ τινα τέως γενόμενα, καὶ δικτυοειδῶς διαπλεχθέντα, τοὺς ἐν βάθει τῶν ὀφθαλμῶν ἀμφιβληστροειδεῖς ὑμένας συνέστησε. Τὰ δὲ ὀσφρητικὰ διὰ τοῦ σινιοειδοῦς ὀστοῦ, τὸ ἐντὸς τῶν ῥωθώνων ὀσφραντήριον συνεκρότησε. Τὰ δὲ ἀκουστικὰ ἐν τοῖς τυμπάνοις τῶν ὤτων ἐκτέταται, καὶ τ' ἄλλα ὡσαύτως.

Πότερον δὲ αὐλοειδῆ τυγχάνει τὰ νεῦρα, καὶ κατὰ σωλῆνας δι' ὅλου κεκοίλωται, ἢ μεστὰ τἄνδον ἐστὶν, ἐντεριώνης τινὸς αὐτῆς τὸ μεσαίτατον ἐπεχούσης διηπόρηται μὲν τοῖς τὰ τοιαῦτα πραγματευομένοις, οὐδὲν δὲ, ἢ βραχὺ διαφέρειν ἔοικεν, ὁπωσποτ' ἂν ἔχοι τὸ περὶ τούτου, εἰ μόνον τὴν ἐντεριώνην αὐτὴν, σομφώδη τε τὴν σύστασιν, καὶ εἰς μῆκος τοὺς πόρους κοινωνοῦντας ἀλλήλοις φέρουσαν, ὑπολαμβάνουσιν. Ἡ γὰρ αὐτὴ χρῆσις ἑκατέρας τῶν ὑποθέσεων ὅρος. Τὸ οὐσίαν τινὰ διὰ τῶν νεύρων διοχετεύεσθαι, λεπτὴν ἐς ὑπερβολὴν, καὶ δραστήριον, ἐξ ἧς πᾶσα κίνησις, καὶ αἴσθησις πᾶσα, τοῦ ζωτικοῦ, καὶ ἐμψύχου τελεῖται σώματι. Εἴτε αὕτη ὁ νευρώδης καλούμενος, εἴη χυμὸς, εἴτε καὶ τὸ ἄλλως ζωτικὸν εἰρημένον πνεῦμα, οὗ τὸ μὲν κατὰ τὸν ἐγκέφαλον διὰ τῶν

καρωτίδων λεγομένων ἀρτηριῶν, τὸ δὲ διὰ τῶν σπονδυλείων κατὰ τὴν παρεγκεφαλίδα, ἐκ τοῦ καθαρωτέρου αἵματος ἀναγόμενον ἐπεξεργασθὲν, διυλισθὲν, πνευματωθὲν, ἐντεῦθεν ὡς ἐκ δεξαμενῶν τινων, εἰς τὰ νεῦρα, οἷον εἰς ὀχετούς τινας πρὸς τὰς χρείας διανέμεται, καὶ διὰ παντὸς τοῦ σώματος διαῤῥεῖ, καταρδόν τε καὶ ζωογονοῦν, καὶ τοῖς μὲν τῶν μελῶν κίνησιν, τοῖς δὲ καὶ αἴσθησιν παρεχόμενον. Οὐ γὰρ ἀποδεκτέον ἀμέλει, τοὺς μόνῳ τῷ σπασμῷ, καὶ τῇ τάσει τῶν νεύρων, τὸ κινεῖσθαι, καὶ τὸ αἰσθάνεσθαι ἀνατιθεμένους, πιστέον δὲ τῇ διαχύσει τε καὶ διαπορθμεύσει τῆς πνευματώδους ταύτης οὐσίας, ἐξ αὐτοῦ μὲν τοῦ ἐγκεφάλου διϊκνεῖσθαι τὴν κίνησιν εἰς τὰ ἄκρα, ἐξ αὐτῶν δὲ τῶν ἄκρων ἀνάπαλιν εἰς αὐτὸν τὸν ἐγκέφαλον, παλιῤῥοίας οἷον τινὸς γινομένης, ὡς εἰς πηγήν τινα τὴν ἀνάδρομον πλεῖσθαι, τοῖς δοκιμωτέροις τῶν πρὶν, καὶ τῶν πάλαι πιστεύοντας. „ Δι' αὐτῶν γάρ τοι τῶν „ νεύρων χορηγεῖται τοῖς μορίοις ἅπασιν (1), ὃ παρὰ „ τῆς ἀρχῆς ( νόσιμοι τοῦ ἐγκεφάλου. ) ἐπιφέρεται· ὡς „ τ' ἄμεινον ἦν καὶ τὸν νωτιαῖον, οἷον ποταμόν τινα ἐκ πη„ γῆς ἐκρέοντα τοῦ ἐγκεφάλου, καθ' ἕκαστον τῶν χωρίων, ἃ „ παρερχόμενος ἀεὶ νεῦρον τυγχάνει, ἀποπέμπειν, οἷον „ ὀχετὸν αἰσθήσεως ἅμα, καὶ κινήσεως. Ἔστι δὲ τὸ ἀποπεμπόμενον, τὸ αὐγοειδὲς ἐκεῖνο πνεῦμα, περὶ οὗ ἐν τοῖς περὶ Ἱπποκράτους, καὶ Πλάτωνος δογμάτων (2) ἀκριβέστερον ὁ Γαληνὸς διαλέλεκται. Αὐτὰ ἐκεῖνα δηλονότι τὰ ζωτικὰ χεύματα, ἅπερ αἰσθητήρια οἱ ἐκ τῆς Στοᾶς ἐκάλουν, „ πνεύματά τινα ὑπειληφότες καὶ αὐτοὶ ταῦτα νοερὰ, ἀπὸ „ τοῦ ἡγεμονικοῦ ἐπὶ τὰ ὄργανα τεταμένα. (3) Ἀλλὰ περὶ τούτων οἱ ἐκ προθέσεως πραγματευόμενοι τὰ πλείω λεγόντων. Ἡμῖν δὲ τοσαῦτα ὑποθεμένοις, ὅσαγε ἅλις ἔχειν ἐδόκει, εἰς τύπον τινὰ τῶν κατὰ τὰς αἰσθήσεις παθῶν, ἐπ' αὐτὴν δὴ τούτων τὴν ἔκθεσιν συντόμως ἰτέον.

Α'. Τοῦ

(1) Γαλην. Περὶ Χρείας μορίων Λόγ. Β'.
(2) Αὐτ. Βιβλ. Ζ'.
(3) Παρὰ Πλουτάρχ. Ἀρεσκ. Βιβλ. Δ'. Κεφ. Η'.



Α'. Τοῦ Αἰσθητοῦ, ἤτοι ἀμέσως καθ' ἑαυτὸ, οἷον τοῦ ἁπτοῦ, τοῦ γευστοῦ, ἢ γοῦν καὶ διὰ μέσου ἀέρος, ἢ φωτὸς, ἤ τινων ἀποῤῥοιῶν τῶν διὰ τοῦ ἀέρος, ὡς δι' ὀχήματος παραπεμπομένων, οἷον τοῦ ἀκουστοῦ, τοῦ ὁρατοῦ, τοῦ ὀσφραντοῦ, τοῖς κατὰ τὸ ἐκτὸς ὄργανον ἀποπερατουμένοις, ὡς εἴρηται, νεύροις, κίνησίν ποιάν τινα ἐμποιήσαντος, καὶ διὰ τῶν ἐν αὐτοῖς εἰρημένων πνευμάτων τῆς κινήσεως, αὐτῷ τῷ κατὰ τὸν ἐγκέφαλον πνεύματι κοινωνουμένης, τὸ προσεκτικὸν τῆς ψυχῆς αὐτίκα μάλα τὴν γινομένην ἀλλοίωσιν, ἀντιλαμβάνεται. ( §. ψξέ. ψξς'. ) Καὶ τοῦτο αἴσθησις. Πάνυ γοῦν τοῦ ἀληθοῦς ἀπήχθησαν, οἱ ἐν αὐτοῖς τοῖς ἐκτὸς ὀργάνοις τὴν αἴσθησιν ἱδρυσάμενοι, μηδ' ἀπὸ τούτων, διά τε τῶν νεύρων καὶ τῆς ῥίζης αὐτῶν, ἐπ' αὐτὴν τὴν ψυχὴν τοῖς λογισμοῖς ἀναβεβηκότες, ἧς ταῖς κατὰ τὸν ἐγκέφαλον ἀλλοιώσεσι προσεχούσης, αἴσθησις γίνεται. Τί γοῦν; ἢ τὸ ὀφθαλμοῖς μὲν ὁρᾶν, ὠσὶ δ' ἀκούειν, καὶ τὰ τοιαῦτα, οἱ γηραιοὶ Σχολαστικοὶ ἡμῖν ἀποκρύπτουσιν; ἀλλὰ τοῦθ' ἡμεῖς αὐτοῖς οὐκ ἀπαρνησόμεθα, εἴπερ ὀργανικῶς μόνον λέγωσιν. Ὁρῶμεν γὰρ τοῖς ὀφθαλμοῖς, ὡς ὀργάνοις χρώμενοι. Ἡ δὲ δύναμις ἡ Κεντικὴ τῷ ἐγκεφάλῳ ἐφεστῶσα, ἐντεῦθα λέγεται κυρίως ἀποτελεῖν, καὶ τὰ τῆς ὁράσεως. Καὶ γοῦν, καὶ σκεπάρνῳ, καὶ πρίονι τέμνομεν, ἀλλ' ἡ δύναμις ἡ τμητικὴ, οὐκ ἐν τῷ σκεπάρνῳ δηλονότι, οὐδ' ἐν τῷ πρίονι. Ἀλλ' ἀπομνημονεύεται φασὶν ἔμβρυα ἄττα, εἰς αὔξην μὲν προεληλυθότα. τὸ δέ γε κρανίον δι' ἀνατομῆς εὑρεθέντα πάγκενα. Τί δὴ περὶ τούτων ῥητέον; ὅτι τῆς πρὸς αἴσθησιν τυχὸν ἦν ἀμοιρήσαντα δυνάμεως; ἀλλ' οὐκ ἄρα ζῶα ὑπῆρχον. Ἀλλ' ἠμοίρει διὰ τί; οὐκοῦν τοίνυν διὰ τοῦ ἐγκεφάλου τὰ τῆς αἰσθήσεως ἐξάπτεται; Αὐτοὶ δὲ οὔτε αἰσθήσεως ἀμοιρῆσαι τὰ ἔμβρυα ταῦτα, εἰ ἀληθῶς εὕρηται, οἷα λέγεται, ἐροῦμεν, οὔτε ζῶα γεγονέναι τοιαῦτα ὄντα. „ Ζῶντα δὲ ὁπωσοῦν, καὶ οὐδὲ τοῦτο „ καθ' ἑαυτά. ( τὸ μὲν γὰρ ζῆν διὰ τὴν ἀρχὴν ταύτην „ ( ἤτοι τὴν θρεπτικὴν δύναμιν ) ὑπάρχει πᾶσι τοῖς „ ζῶσι, τὸ δὲ ζῶον διὰ τὴν αἴσθησιν πρώτως. (1) ) Τῇ

δὲ

(1) Ἀριστ. Βιβλ. Β'. Περὶ Ψυχῆς.

δὲ τῆς κυούσης ζωῇ πλαστουργούμενα, καὶ τρεφόμενα, καὶ αὔξοντα. Τάχα δὲ, καὶ πρὸ τοῦ τὸν ἐγκέφαλον αὐτῶν τέλεον διαφθαρῆναι, ἀμαυρόντι καὶ ἔζη, καὶ ἤσθετο. Τάχα δ᾽ ἔτι καὶ ἄλλο ὑπῆρχεν αὐτοῖς (ὥσπερ εἶναι καί τισι τῶν ἀτελεστέρων ζώων οὐδὲν κωλύει.) ἀντὶ τοῦ ἐγκεφάλου ἀνάλογον. Εἶτα τούτῳ κομιδῇ ἐκλιπόντι, καὶ αἱ δυνάμεις συνεκλελοίπασιν, αἵ τε πρὸς κίνησιν, καὶ αἱ πρὸς αἴσθησιν. Εἴτι οὖν καὶ φαῖεν, ἴσως ἂν ὡς πεῖσαι ἡμᾶς οὐκ ἄν ποτε σχοῖεν, ὅτι ἄνθρωπος ἄνευ ἐγκεφάλου, ζῶν τε, καὶ αἰσθανόμενος γένοιτο. Ἀλλὰ γὰρ πρὸς τούτους τοσαῦτα ἡμῖν εἰποῦσιν, αὐτὸν τὸν τοῦ λόγου σκοπὸν ἐπαναληπτέον.

Β΄. Ἐπειδὴ τῇ διαπλάσει τῶν Αἰσθητηρίων διαφερόντων πρὸς ἄλληλα, οὐ τὰ αὐτὰ αἰσθητὰ ἐπίσης ἐπενεργοῦντα, ἴσην τὴν διὰ κινήσεως ἐπιφέρει ἀλλοίωσιν, ἀλλ᾽ εἰς ὃ πέφυκεν ἕκαστον ἐπιῤῥᾷ, διά τοι τοῦτο οὐ πάντα πάσαις ἀδιαφόρως ταῖς αἰσθήσεσι καθίσταται προσληπτά. Ἓν δ᾽ ἔτι γένος οὕτως εἰπεῖν ποιοτήτων, ἑκάστης ἴδιον ἀντικείμενον ἐστὶν, ὃ καὶ τοῦ καθ᾽ ἑκάστην ὀργάνου γίνεται ἀλλοιωτικόν· οἷον ὁράσεως μὲν χρώματα, μόνα γὰρ τὰ κατὰ τὸ ὀπτικὸν νεῦρα κινεῖ τὸ φῶς. Ἀκοῆς δὲ ἦχοι, μόνα γὰρ τὰ κατὰ τὸ τύμπανον κινεῖ, ἡ ἐν ἀέρι πληγή. Ὥσπερ καὶ ἐπὶ τῶν λοιπῶν, μόνα μὲν τὰ κατὰ τὰς ῥῖνας αἱ ἀπόρροιαι τῶν ὀζόντων, μόνα δὲ τὰ κατὰ τὴν γεῦσιν οἱ χυμοὶ, μόνα δὲ τὰ κατὰ τὴν ἁφὴν, αἱ ἁπτικαὶ καλούμεναι τῶν ποιοτήτων. Τῶν δὲ δὴ τὴν ἁφὴν συνιστάντων νευριδίων, δι᾽ ὅλου τοῦ σώματος ἐντός τε καὶ ἐκτὸς, εἰς αὐτὴν τὴν ἐπιδερμίδα διὰ τοῦ δέρματος προκυπτόντων, πλατύτατόν πως ἐστὶν ὡς εἰκὸς τὸ κατὰ ταύτην τὴν αἴσθησιν πάθος, καὶ οὐχ ὥσπερ διὰ τῶν ἄλλων, ἐκ μερῶν ἀφωρισμένων, ἐξ ὅλου δὲ μονονοῦ δι᾽ αὐτῆς, τῶν ἐπισυμβαινουσῶν τοῖς νευρικοῖς πέρασιν ἀλλοιώσεων παραπέμπονται αἱ εἰσαγγελίαι, καὶ τῇ διὰ τῶν πνευμάτων κοινωνουμένῃ κινήσει, ἄχρι τοῦ ἐγκεφάλου, τῷ ἀντιληπτικῷ τῆς ψυχῆς ὑποβάλλονται.

Γ΄. Εἰκὸς δὲ παρὰ τὴν τῶν κράσεων διαφορὰν καὶ τῶν αἰσθητηρίων αὐτῶν οὐ μικρὸν διαφερόντων, ἐξ ἰσοσθενῶν προσβολῶν, μὴ ἴσας ἐγγίγνεσθαι τὰς κινήσεις τοῖς νευριδίοις, οὐδ᾽ ὑπὸ τούτων διὰ τῶν πνευμάτων τῶν ἐν αὐτοῖς, ἰσοδυνά-





μως τὰς ἀλλοιώσεις τῷ ἐγκεφάλῳ ἐπισυμβαίνειν, οὔτε τοῖς πᾶσιν, οὔτε μὴν τῷ αὐτῷ ἀνθρώπῳ ἀεί. Διαφέρειν δὲ, καὶ ἄλλους ἄλλων, καὶ τοὺς αὐτοὺς ἄλλοτε ἑαυτῶν τῇ δυνάμει, καὶ τοὺς μὲν παχυτέρους εἶναι, τοὺς δὲ πρὸς αἴσθησιν ὀξυτέρους, κτλ.

Δ΄. Εἰκὸς δὲ, καὶ ἐάν ποτε τῶν πνευμάτων, ἢ συντόνῳ ψυχῆς ἀφαιρέσει, ἢ ἐξ ὕπνου βαθέος, ἢ καθ᾽ ὁτιοῦν ἄλλο σύμπτωμα, μὴ εἰς τὰ αἰσθητήρια διαχεομένων, οἱ τούτων ὀχετοὶ ὑπόκενοι τύχωσι, καὶ ὑπόχαυνοι, προσβάλλειν μὲν τὰ ἔξωθεν ἐπιόντα, διὰ δὲ τὸ τῆς προσβολῆς ἀκοινώνητον, καὶ τοῦ ὁρατοῦ, φέρε, παρόντος, τὸν ἀνεῳγμένους ἔχοντα τοὺς ὀφθαλμοὺς, μηδόλως αἰσθάνεσθαι, καὶ τοῦ ἀκουστοῦ μὴ ἀκούειν ἐπηχοῦντος, τὰς ἀκοὰς ὑγιῶς ἔχοντα. Καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· ὡς εἴγε τὸ αἰσθητὸν ἐπαράξῃ σφοδρότερον, καὶ τὰ ἐνόντα (οὐδέποτε γὰρ οἶμαι τὰ νεῦρα πάντῃ διάκενα ἀπολείπεται, εἰ μὴ κατὰ τὰς ἰσχυρὰς παραλύσεις.) ὀξυτέρας τῆς κινήσεως μεταλαχόντα, ἔχοι ἂν οὕτω ἄχρι τῆς ἀρχῆς τὴν κίνησιν προαγαγεῖν, τά τε ἄλλα παρορμῆσαι, καὶ αὐτὸ τὸ προσεκτικὸν τῆς ψυχῆς διεγεῖραι εἰς τὴν τοῦ ἐπισκήψαντος πάθους ἀντίληψιν.

Ε΄. Ἐὰν δὲ τῇ συῤῥοῇ τῶν πνευμάτων κατ᾽ αὐτὸν τὸν ἐγκέφαλον, καὶ τοῖς πρὸς αὐτῷ πέρασι τῶν νεύρων (ὅπερ ἐν τοῖς ὕπνοις εἴωθε συμβαίνειν.) τοιαίδε τε, καὶ τηλικαῦται κινήσεις ἐνσκήψωσι (τοῦ λοιποῦ μήπως ἤδη ὑποχαλασθέντος) οἷαί τε καὶ ἡλίκαι παρόντων τῶν αἰσθητῶν θύραθεν ἐπισυμβαίνουσι, φανερὸν ὅτι ἡ ψυχὴ καὶ ὁρᾶν δόξει, καὶ ἀκούειν, καὶ τῶν ἄλλων ὅσα καὶ ὕπαρ αἰσθάνεσθαι. Εἰκὸς δὲ ἧττόν τε μονίμους, καὶ ἀμυδροτέρας, τὰς κατ᾽ ὄναρ ἐμφάσεις τελεῖσθαι (§. χοβ΄.) μὴ ἐφεστῶτος τοῦ τηνικαῦτα τοῦ αἰσθητοῦ, ὃ ἂν ποιητικὸν εἴη τῆς τοιαύτης κινήσεως. Εἰ δέ ποτε ἀφθονωτέρας συμπεσούσης, καὶ συντόνου ἐς ὑπερβολὴν τῆς τῶν πνευμάτων συῤῥοίας, μοῖρα, ὅση ἀπόχρη εἰς τὸ σπάσαι καὶ τεῖναι, καὶ ἐν αὐτοῖς τοῖς ὀχετοῖς εἰσελθείη, τότε δὴ καὶ ἡ ἄχρι περάτων τοῦ πνευματικοῦ ἔξοδος, πῇ μὲν τῶν εἰς κίνησιν συμβαλλομένων, κἀντεῦθεν καὶ μελῶν χρῆσις τῶν ἐπιτηδείων, ὡς ἐπὶ τῶν ἅμα ὑπνούντων, καὶ πολλὰ διαπραττομένων, πῇ δὲ καὶ τῶν εἰς αἴσθησιν συντελούντων, ἐξ οὗ οἱ

μετὰ ταραχῆς καὶ θορύβου ἀκαίριοι ἀφυπνισμοί. Ὁ γοῦν τραγικὸς Ὀρέστης ὑπὸ τῆς φαντασίας πληττόμενος (1).

„ Ὦ μῆτερ ἱκετεύω σε μὴ ἐπίσειέ με,
„ Τὰς αἱματωποὺς καὶ δρακοντώδεις κόρας.
„ Αὗται γὰρ αὗται πλησίον θρώσκουσί μου.

Ὁρᾷ μὲν οὐδέν, δοκεῖ δέ. διὸ καὶ πρὸς αὐτὸν ἡ Ἠλέκτρα.

„ Μέν' ὦ ταλαίπωρ' ἀτρέμας σοῖς ἐν δεμνίοις.
„ Ὁρᾷς γὰρ οὐδέν, ὧν δοκεῖς σάφ' εἰδέναι.

ϛʹ. Οὐδὲν δὲ θαυμαστὸν (εἰ καὶ θαυμαστὸν δοκοῦν) πάσχοντες εἰσί, καὶ οἱ ἄλγους ὑπαισθανόμενοι, καθ' ὅτι τῶν μελῶν, ὅπερ, ἀποτμηθὲν ἤδη αὐτοῖς ἐκ πολλοῦ, ἀφῄρηνται. Τῆς γὰρ πρὸς τῷ ἐγκεφάλῳ τοῦ νεύρου ἀρχῆς, οὕτω συνταρασσομένης τε καὶ κινουμένης, ὡς ὅτε πρὸ τῆς ἀποτομῆς, (εἴγε τυχὸν κάμνον τὸ μέλος ἐτύγχανεν) ἢ γοῦν κατ' αὐτὴν τὴν ἀποτομήν, ἀπ' ἄκρων ὑπὸ τοῦ ἄλγους ἐπλήττετο, ἀνάγκη τὴν ψυχὴν παραπλησίως αἰσθάνεσθαι τοῦ πάθους, διὰ τὸ τῆς προσβολῆς παραπλήσιον. Ὥσπερ οὖν παρὸν τὸ αἰσθητόν, καὶ μηδὲν πάθος τῷ ἐγκεφάλῳ προσεμποιοῦν, ὡς εἰ μηδὲ παρείη κρίνεται ὅλως (διὰ τὸ Δʹ. τῶν ἀνωτ.), οὕτω τοι, καὶ μὴ παρόν, εἰ παθαίνοιτο, ὡς ὅτε παρῆν ἡ ἀρχὴ τῆς αἰσθήσεως, οἷον εἰ καὶ παρὸν νομίζεται. Καὶ τό γε αἰσθητὸν εἶναι ἑκάστῳ, οὐχ οὕτως ἐκ τῆς κατὰ τόπον ψιλῆς παρουσίας, ἀλλ' ἐκ τῆς δι' αὐτοῦ παρόντος καὶ πάθος ποιοῦντος ἐπιδράσεως, ἤρτηται.

Ζʹ. Ἀλλὰ γὰρ καὶ τούτων οὕτως ἐχόντων, διακριτέον οὐδὲν ἧττον τὰς κατ' αἴσθησιν τῆς ψυχῆς ἀντιλήψεις τῶν δι' αἰσθήσεως γνώσεων. Καπνὸν εἶδον ποθὲν ἀναθρώσκοντα, τοῦτο αἴσθησις. Ἀλλὰ καὶ πῦρ ἐντεῦθεν ὑποκαιόμενον συνοίδα, τοῦτο εἰκασία, καὶ γνῶσις ἡ δι' αἰσθήσεως. Ἀμέλει τοι γάρ, οὐ τὸ παθόντα τὸ αἰσθητήριον ὑπὸ τοῦ τυχόντος, ἐπιβαλεῖν προσέχοντα τῷ τυχόντι, ὑφ' οὗ μὴ ἀμέσως πεπόνθοι, ἀλλὰ τῷ πάθει αὐτῷ γνωστικῶς ἐπιστῆσαι, τοῦτ' ἔστι τὸ κυρίως αἰσθάνεσθαι. Οὕτω τοι καὶ γηράσκω πάσχων τι· ἀλλοιούμενος γάρ.

(1) Παρὰ Πλουτάρχ. Δ. Ἀρεσκ. Κεφ. ιβʹ.



γάρ. Οἶδα δὲ ὡς γηράσκω, οὐδ' ἀγνοεῖν ἔχω, ὁρῶν ἐμαυτὸν πολιούμενον, ῥυτιδούμενον, ὑπομαραινόμενον. Ἀλλ' εἰ καὶ πάθος, καὶ γνῶσις ἅμα ἡ τοῦ πάθους εἰς ταυτὸ συνίασιν, οὐκ οὖν ἀλλ' οὖν τοῦ γήρως, κυρίως εἰπεῖν αἰσθάνομαι. Οὐ γὰρ ἡ τοῦ πάθους ἀντίληψις ἐμοὶ γίνεται, δι' ἄλλων δὲ αἰσθητικῶν ἀντιλήψεων ἐκείνου ψιλὴ εἰκασία, καὶ γνῶσις ὡς εἴρηται, ἡ δι' αἰσθήσεως.

Ηʹ. Τῶν ἐκτὸς σωμάτων τοῖς αἰσθητηρίοις τὴν προσήκουσαν ἀλλοίωσιν ἐμποιούντων, τὸ αἰσθέσθαι ἢ μή, καὶ τὸ μὴ οὕτως, ἄλλως δέ πως, οὐ παρὰ τῇ ψυχῇ κεῖται. Οὐ γὰρ προαιρετικὴ ἡ παραυτίκα τῶν πνευμάτων ὁρμή, καὶ ἡ διὰ ταύτης ἐπὶ τὸν ἐγκέφαλον κίνησις, καὶ ἡ τῇ κινήσει ταύτῃ συνεπομένη τοῦ προσεκτικοῦ ἀντίληψις. Ἀλλ' ἔστιν ἄλλως τὴν αἴσθησιν παραιρεῖσθαι, τὸ πρῶτον, καὶ ἀρκτικόν, οὕτω ψαῦσαι, πάθος ἐκκλίνοντας· οἷον ὀφθαλμοὺς ἄλλοσε τρέποντας, καὶ ὦτα ἀποφράττοντας, καὶ τὸ γευστικὸν οὕτω, τῆς αἰσθήσεως ἀπαλλάττοντας. Πολλάκις δὲ τῆς τοῦ ἐκτὸς περιπτώσεως ἀδρανεστέρας οὔσης, δυνατὸν ὑπὲρ τὴν αἴσθησίν πως γίνεσθαι, τὴν ψυχὴν οἷον ἀφαιροῦντας τοῦ προσέχειν τῷ προκειμένῳ, καὶ περιπίπτοντι, καὶ ἐφ' ἕτερον ἐπιστρέφοντας, τοῖς ἐν Ἀριθμῷ Δʹ. εἰρημένοις. Συμβαίνει γὰρ ἐν τούτοις, τι παραπλήσιον. Ἢν μέν τοι τύχοι ἐπὶ διάσροις ἀνωτέρω σεν ἐντόνως τὸ περιπῖπτον, καὶ δριμύτερον ἤδη τοῦ ἐκτὸς ὁρμῶν καθάπτοιτο, τὴν αἴσθησιν διεκφυγεῖν τῶν ἀμηχάνων ἂν εἴη. Ἀμήχανον γὰρ σφοδρῶς κατὰ κόρρης πλησσόμενον, ἢ δεινῶς ποδαλγοῦντα, ἢ συντόνῳ στρόφῳ ἐντέρων θλιβόμενον, ἢ μὴ ταύτην, ἢ μὴ τοιαύτην, κἂν πλεῖστα βούλοιτο, πειρᾶσθαι τῆς ὀδύνης τὴν αἴσθησιν.

Θʹ. Αἴσθησιν δὲ αἰσθήσεως εὐτονωτέραν, οὐ μόνον ὡς ἐκ τῶν ἀλλοιουμένων (ἐν τῷ Γʹ.) συμβαίνειν πειρώμεθα, ἀλλὰ καὶ ἐκ τῶν τὰς ἀλλοιώσεις παρεμποιούντων, τῶν ἤτοι δυνάμει, ἢ ἀποστάσει διαφερόντων. Αἴσθησις γὰρ ἐξ ἀλλοιώσεως, ἀλλοίωσις δὲ ἐκ κινήσεως· ἡ δὲ κίνησις ἐπιτάσεώς τε καὶ ἀνέσεως οὐδαμῶς ἐστὶν ἀνεπίδεκτος. Ἀεὶ δὲ ἡ σφοδροτέρα τὸ κειτικὸν πρὸς ἑαυτὴν προσεφελκομένη, ἤτοι ἐν μέρει γοῦν, ἀναισθητεῖν ποιεῖ πρὸς τὴν ἥττονα. Οὕτω τοι καὶ βροντῆς ἐξακούσιος πάταγος τὸν ἐπιβοήσαντα

τα ἀναθῦναι οὐκ εἴασε. Καὶ ἡλίου μαρμαρυγαὶ τὸ ἐκ σελήνης σέλας ἠφάνισαν. „ Καὶ ὅλως αἱ αἰσθήσεις τῶν μει-
„ ζόνων αἰσθητῶν ἀντιλαμβανόμεναι, τῶν ἡττόνων οὐ δύναν-
„ ται. (1)

Ι΄. Ἐπὶ πᾶσιν οὐδὲ τὸ συμβαῖνον ἡμῖν κατὰ τὰς πυκνὰς μελέτας, καὶ θεωρίας τὰς ἀτενεστέρας, τὴν μὲν κεφαλὴν ὑποθερμαινομένοις ( §. χξθ΄. ), τὰ δ᾽ ἄκρα ψυχομένοις, πρὸς τὰ εἰρημένα ἐστὶν ἀσύμφωνον. Ὅπου γὰρ τὸ πνευματικὸν δαψιλῶς ἀναστρέφεται, καὶ τὸ τῆς κινήσεως ἐστὶν ἀκόλουθον, καὶ τὸ πάθος τὸ τῆς θερμότητος. Οὗ δ᾽ ἄπεστι νωθεία τὸ λοιπὸν, καὶ ψύξις. Τῶν δὲ ὡς πλεῖστα τῇ διανοίᾳ χρωμένων, ἄπεισι μὲν τὸ πνεῦμα τῶν ἄκρων εἰκὸς ἀεργῶν μενόντων, πάρεισι δὲ τῷ ἐγκεφάλῳ ἀνάγκη, τὰ φαντάσματα ἀνατυπούμενον. Κἂν γὰρ ὑπὲρ τὴν φαντασίαν ᾖ τὰ νοούμενα, οὐ μὴν ἀλλὰ καὶ τότε τῆς ψυχῆς ἔργον ἐστὶν οὐ μικρὸν, τὸ λύειν τὰ μεταξὺ συνιστάμενα, ἵν᾽ εὐμαρέστερον ἔχῃ καθαρῷ τῷ νοερῷ χρῆσθαι, καὶ τῆς τῶν ὄντων ἀληθείας εἰλικρινῶς περιέχεσθαι.

## Θεώρημα ΛΖ΄.

§. ψοέ. „ Ἥτε τῶν ἐκτὸς καὶ ἐντὸς αἰσθητηρίων ἀκριβὴς
„ διάπλασις, καὶ ἡ πῶς αὐτῶν παρατηρουμένη προσήκουσα χρῆ-
„ σις, μετεῖναι ἀληθῶς, καὶ τοῖς ἀλόγοις τῶν ζώων αἰσθη-
„ τικῆς δυνάμεως ἀποδείκνυσιν.

Παραπλησίως γὰρ καὶ τούτοις ὄργανα περιῆψεν ἡ φύσις, τὰ εἰς αἴσθησιν ἐπιτήδεια, μηδὲν τῶν ἡμετέρων τῇ ἀκριβείᾳ ἀπολειπόμενα. Ἐπίσης ὀφθαλμὸς ἐκ ποικίλων διαπλασθεὶς συνεσφαίρωται, καὶ οὖς ἑλικοειδῶς τετόρευται, καὶ μυκτὴρ διεξήνλωται, καὶ ἅπαν ἁπλῶς αἰσθητήριον ἄριστα συγκεκρότηται. Καὶ σχήματος μὲν τοῦ προσήκοντος ἔλαχε, σχέσεσι δὲ, καὶ ὑμέσι, καὶ τοῖς ἐν αὐτοῖς προσφορωτάτοις ὑγροῖς, διωργάνισται, νευροειδίοις τε παμπληθέσι πεπύκασται. Ἐχόμενοι δὲ τούτων οἱ κλόνοι, εἰς εὐρυτέρους κατὰ τὰ ἐντὸς παχυνόμενοι, ὀχετοὶ οἷοί τινες διά τε τοῦ νωτιαίου, καὶ τοῦ προμήκους τῶν μυελῶν, ἐπὶ τὴν παρεγκεφαλίδα καὶ τὸν ἐγκέφαλον αὐτὸν, ὡς ἐπὶ πηγὴν ἀναφέροντες. Κἀντεῦθεν ἡ διοχετευομένη δύναμις, εἰς ἄρδειαν, καὶ θάλψιν, καὶ κίνησιν, καὶ αἴσθησιν διαμεριζομένη ὅλῳ τῷ σώματι, τὸ πνευματῶδες τουτὶ ἀπαύγασμα, ὃ τὸ διὰ τῶν καρωτίδων καὶ τῶν σπονδυλείων ἀρτηριῶν ἀναρρεῦσαν αἷμα, ἐπεξεργασθὲν, καὶ πνευματωθὲν, ἀποδίδωσιν. Καὶ ὅλως ( ἵνα μὴ ἕκαστα λέγων περιττὸς εἴην ) οὐδὲν οἱ ἄνθρωποι τῶν ἀλόγων πλεονεκτεῖν ὁρῶνται, τοῖς γε πρὸς αἴσθησιν, εἰ μὴ καὶ ἡττονεκτεῖν ἐκείνους φαίνομεν ἐν πολλοῖς, πολὺ κατόπιν ἀπολειπομένους. Ὡς εἰ μὴ τὸ ἐξ ἀναλόγου ἐνταῦθα εἰσβάλλειν, οὐδὲ τοῖς φαινομένοις πειθαρχεῖν δίκαιον, σχολῇ γ᾽ ἂν ἐπί τινος ταῖς τοῦ λογισμοῦ καταθαρρήσαιμεν πλάστιγξι, καὶ τὸ παρὰ τὴν κοινὴν ἔννοιαν φρονεῖν τε καὶ λέγειν, τοῦ λοιποῦ ἀνεπίληπτον εἴη, μάτην τε ἡ φύσις ἐλέγχοιτο τὴν παρασκευὴν ὀργάνων τοσούτων φιλοτεχνοῦσα, καὶ ὑπόκρισιν ταύτην, ὡς ἐπὶ σκηνῆς, πρὸς οὐδὲν δέον, περιττῶς πάνυ δραματουργοῦσα, καὶ παίζουσα. Πῶς γὰρ οὐ περιττὸν εἴη σῶμα τοιούτοις τε καὶ τοσούτοις ὀργάνοις κεχορηγημένον, εἰ μηδὲν εἴη συντελοῦντα ταῦτα πρὸς αἴσθησιν; Ἀλλὰ τίς ποτε ἀτεχνῶς, τοιόνδε τι ἐν τῷ παντὶ συμβαίνειν ἑαυτὸν πείσειεν; Οὐδεὶς οἶμαι σπουδάζων. Θᾶττον γὰρ ἂν ἑαυτὸν ὁ τοιοῦτος, ἢ τὰ ζῶα αἰσθήσεως ἄμοιρον ἀπελέγξειεν.

## Σχόλιον.

§. ψος΄. „ Ἀλλὰ γὰρ τὸ δ᾽ ἐξοπλίζει τ᾽ ἔπος ἀργεῖον
„ λεών. Οὐδὲ γὰρ ἐστιν οἶμαι, ἐφ᾽ ὅτῳ, μείζων τε καὶ χαλεπωτέρα συνερράγη τοῖς φιλοσοφοῦσιν ἡ στάσις, τῆς ἐπὶ τῷ περὶ δυνάμεως αἰσθητικῆς ἐν τοῖς ζώοις τεθρυλλημένῳ ζητήματι. Ὡς τὰ μὲν πλεῖστα, κόμμα κόμματι ἀντιπαρατάττεσθαι εἴωθε, καὶ φαλαγγηδὸν ἡ μάχη αὐτοῖς, αἱρέσεως ὅλης κινουμένης πρὸς ὅλην αἵρεσιν, „ ὡς φρῆξιν φρήξη-
„ φιν

(1) Φιλόπονος εἰς τὸ Β΄. τῶν Περὶ Ψυχ. τοῦ Ἀριστοτέλους ἐν Ὑπομν.

φιν ἀρήγειν, φῦλα δὲ φύλοις. Περὶ τούτου δὲ, τούς τε ἄλλως διαφερομένους εὕροις συμπνέοντας, καὶ τοὺς ὁμοδοξοῦντας τἄλλα, ἀνάπαλιν διαπληκτιζομένους. Καὶ δὴ καὶ πρὸς ἑαυτοὺς τὰ πολλὰ, τοὺς αὐτοὺς διαστασιάζοντας. Καὶ μάλα εἰκότως. Τοιοῦτο γὰρ τὸ θαυμαστὸν πρόβλημα, ὥσθ᾽ ὅ,τι ἄν ποτε καὶ ὑπολαβεῖν περὶ αὐτοῦ ἕλοιο, πολλάσσοι τὰ δυσχερῆ ἐκ τοῦ ἐναντίου προσίσταται. Καὶ δέος ἀεὶ ὕπεστιν οὐ σμικρὸν, μήπηγε τοῦ ἐγκριθέντος τὸ καταλειφθὲν δοκιμώτερον, καὶ εὐστοχεῖν οἰομένῳ, μὴ μείζων ἢ τῆς ἀποτυχίας ὁ κίνδυνος. Ταύτῃ τοι κἀμοὶ, ἐκτὸς πηλοῦ πόδας ἔχειν, τὸ τοῦ λόγου, ἐδόκει, ὀκνοῦντι ὡς εἰκὸς, καὶ ἀναδυομένῳ πρὸς τοῦ πράγματος τὸ δυσέφικτον. Ἀλλὰ παρελθεῖν ὅλως ἡ προτεθεῖσα μέθοδος οὐκ ἐπέτρεψε. Καὶ νῦν ἄρα τὴν ἀρχὴν μηδαμῶς ἐπὶ τὴν σκηνὴν παριέναι, παριόντας δὲ, καὶ τὸν κόθορνον ἤδη ὑποδησαμένους ὑποκριτέον τὸ δρᾶμα. Καὶ τοίνυν ὅσοις δήποτε περὶ τῆς τῶν ἀλόγων ἐμψυχίας εἰπεῖν ἐπῆλθον, εἰς ταύτας δὴ τὰς ἐφεξῆς διηνέχθησαν ὑπολήψεις. Οἱ μὲν γὰρ νοῦ καὶ λόγου, καὶ ψυχῆς ὡς ἁπλῶς εἰπεῖν λογικῆς τῇ ἐν ἡμῖν παραπλησιωτάτης αὐτὰ ἀξιώσαντες, μόνῃ τῇ ἐκ τῆς διαπλάσεως, καὶ τοῦ περὶ τὸ σῶμα ὀργανισμοῦ διαφορᾷ, τὸ κτηνῶδες γένος τοῦ ἀνθρωπείου ἀντιδιέστειλαν. Οἱ δὲ καὶ μᾶλλον ἀποτολμήσαντες, νοῦν μὲν καὶ αὐτοὶ, ἀνθρώπειον δ᾽ οὔ, τῶν δὲ κακοδαιμόνων ἕνα τινὰ, τῷ λόγῳ παραλαβόντες τούτοις ἐπέστησαν. Οἱ δὲ ἐκ διαμέτρου τούτοις ἀντιδοξάσαντες, δαιδάλεια οἷα ὑπειλήφασιν αὐτὰ ἔργα (τὰ κτήνη λέγω.) ἐκ μηχανῆς κινούμενα, ὥσπερ οὖν οἱασοῦν γνώσεως ἀντιληπτικῆς, οὕτω τοι καὶ αἰσθήσεως τὸ παράπαν ἀφῃρημένα. Οἱ δὲ τῶν ἀκροτάτων ἐπίσης ἀπέχεσθαι δεῖν ἡγούμενοι, οὔτε τῆς αἰσθήσεως ἐφθόνησαν, ὡς οὗτοι, μεταδοῦναι τοῖς κτήνεσι, οὔτε νῷ καὶ λόγῳ παραπλησίῳ τῷ καθ᾽ ἡμᾶς, ὡς ἐκεῖνοι κοσμῆσαι ἐτόλμησαν, ἀλλὰ τὸ κριτικὸν ἐν αὐτοῖς, οὐσίας (οὐδ᾽ αὐτοὶ ἧς τινος εἰπεῖν ἔχοντες) ἀσωμάτου γε μὴν, καίτοι πολλῷ ταπεινοτέρας, καὶ πολλὴν τὴν ὑπόβασιν ἐχούσης, ἐνέργειαν εἶναι ὑπέθεντο, πραγμάτων οὕτω τῶν ἑκατέρωθεν, ἐν ὑποθέσει μιᾷ οἰόμενοι ἀπαλλάττεσθαι. Ἐπὶ τούτοις ἕτεροι τό,τε ἀναισθησίᾳ παντελεῖ καθυποβαλεῖν, καὶ τὸ εἰς αὐλίαν ἐξάραι

τὰ



τὰ κτηνῶν γένη ἐπίσης καταιδεσθέντες, ἐξ ὕλης τινὸς, τὸ εἰς αἴσθησιν κριτικὸν κληρωσάσης, ψυχὴν τὴν ἐκείνων συνέστησαν. Διορίσαι γοῦν τὸ περὶ τούτου οὕτω χαλεπὸν, ὅτι εἰς δύω τὰ ἐναντιώτατα τῆς οὐσίας διῃρημένης, τῆς μὲν σωματικῆς οἰκειότατον μὲν εἶναι δοκεῖ ἡ ἔκτασις, ἀλλοτριώτατον δὲ ἡ γνῶσις, τῇ δ᾽ ἀσωμάτῳ ἀνάπαλιν τὸ γινώσκειν ἀποκληρωθὲν, ἡ ἔκτασις ἠλλοτρίωται. Διὸ δὴ ἐκ τῶν τεσσάρων τουτωνὶ, ὧν δύω μὲν εἴδη, δύω δὲ διαφοραὶ, συζυγιῶν ἓξ προκυπτουσῶν, αἱ μὲν δύω, δόκιμοι εἰσὶν, αἱ τὰς διαφορὰς, οἷς προσήκουσιν εἴδεσιν, ἐν μέρει προσάπτουσαι, οἷαι, ἥτε τὴν ἔκτασιν τῷ σώματι, καὶ ἡ τὴν γνῶσιν προσοικειοῦσα τῷ πνεύματι. Αἱ λοιπαὶ δὲ τέτταρες παρὰ τὴν ἐνορωμένην ἀντίθεσιν ἀσυστάτως ἔχουσι, μία μὲν ἡ τὰ ἀντιδιαστελλόμενα εἴδη παραβάλλουσα σῶμα, καὶ πνεῦμα, ἑτέρα δὲ ἡ τὰς τούτων διαφορὰς ἐφ᾽ ἓν λαμβάνουσα, ἔκτασιν, καὶ γνῶσιν· τρίτη δὲ καὶ τετάρτη, αἱ τῶν ἀντιθέτων εἰδῶν τῷ ἑτέρῳ, τὴν διαφορὰν τοῦ ἑτέρου ἀποδιδοῦσα, τὴν ἀπροσφυῆ, καὶ ἀσύμβατον· οἷον τῷ μὲν σώματι τὴν γνῶσιν, τῷ πνεύματι δὲ τὴν ἔκτασιν.




Τῶν γοῦν ἀσυστάτων τήν τε Α΄. καὶ τὴν Δ΄. οὐδεὶς ἐστὶν ὃς ἐπὶ τοῦ προκειμένου ζητήματος εἰσεποίησεν· οὐδενὶ γὰρ οἰκείως ἔδοξεν ἔχον τὸ σῶμα, οὐδὲ ἡ ἔκτασις ἡ σωματι-

κὴ τῇ φύσει τοῦ πνεύματος. Τὴν δὲ Β΄. καὶ Γ΄. πολλοὶ ἀ-
πεδέξαντο, οἷον οἱ τῆς ἐσχάτης τῶν ἀνωτέρω δόξης ἐχόμε-
νοι, οἱ τὴν ἔκτασιν εἰς ταὐτὸ συνεῖναι τῇ γνώσει, ἐν τῇ
αὐτῇ σωματικῇ φύσει μηδαμῶς ἀδύνατον ἡγησάμενοι. Ἀλ-
λ᾽ ἐπὶ τῆς Α΄. καὶ τῆς Β΄. συστοιχείας οἱ πλεῖστοι κατέφυγον,
ὡς δῆθεν μηδὲν περιεχούσας ἀσύστατον. Οἱ μὲν γὰρ ὡς ἄ-
ρα πνευματικῇ καὶ ἀΰλῳ οὔσῃ, καὶ τῇ τῶν ἀλόγων ψυχῇ,
τὸ κατ᾽ αἴσθησιν γνωστικὸν, καὶ μάλα προσῆκον εἶναι ὠήθη-
σαν, οἷοι οἱ τῆς Α΄, καὶ Β΄, καὶ Δ΄. δόξης εἰσὶν, οὐδὲν ἐμ-
ποδὼν αὐτοῖς ἡγούμενοι ἔσεσθαι, εἴτι ἄϋλον καὶ ἀσώματον,
κἂν τοῖς κτήνεσιν αὐτοῖς ἐνοικήσειεν. Οἱ δὲ ἅτε δὴ ἁ-
πλῶς σωματικῆς, καὶ μόνην τὴν ἔνυλον ἔκτασιν διαφορούσης,
ἐχούσης, αἴσθησιν πᾶσαν, καθάπερ οὖν καὶ γνῶσιν, ὡς πόρ-
ρω πάνυ ἐκείνης ἀπήλασαν. (οὗτοι δὴ οἱ τῆς Γ΄. δόξης εἰ-
σίν.) μηδὲν ἄτοπον ὑπολαβόντες, εἰ παντελῆ τὴν ἀναι-
σθησίαν τῶν ἀλόγων καταψηφίσειαν. Οὕτως ἄφυκτόν πως
ἐνταῦθα δοκεῖ, τὸ ἤτοι πυθαγορεῖσαι, ἢ ἐπικουρεῖσαι, ἢ
καρτεσιανίσαι ἐξάπαντος. Ἵνα γοῦν, ὡς ἐπὶ τοσοῦτον, εἰ
μηδὲν ἄλλο, τὸ γοῦν φευκτέον εἰδέναι ἔχοιμεν, φέρε δὴ,
τίνες αἱ μὴ ἐπιξένωσαι ἡμᾶς, τοῖς ἄλλοις συνωθεῖσθαι,
ἀτοπίαι, διὰ τῶν ἐφεξῆς θεωρήσωμεν.

## Θεώρημα ΛΗ΄.

§. ψοζ΄. „ Οὐσίαν ἀϋλόν τινα, καὶ νοῦν αὐτόχρημα, τὴν
„ τῶν ἀλόγων αἰσθητικὴν ὑπολαμβάνειν ψυχὴν, ἄλογον.
Τὸ γὰρ πιστὸν καὶ οὐσιωδῶς ἁπλοῦν, (§. υιζ΄.) καὶ ἀνέ-
κτατον, (§. υιη΄. υιθ΄.) τήν γε σωματικὴν ταύτην καὶ
ἔνυλον ἔκτασιν. (§. φκα΄.) Καὶ ὃ περὶ τῆς λογικῆς ψυ-
χῆς ἀνωτέρω ἐδείκνυμεν (§. ψθ΄. κξ΄.) οὐκ ἔστι συγκε-
κροτημένον, (§. φι΄. φιθ΄. κξ΄.) ἐκ μερῶν ἐκτὸς ἀλλή-
λων τὸ εἶναι ἐχόντων, καὶ ἐπομένως, καὶ ἀδιαίρετον.
(§. υιθ΄.) Ἀλλὰ μὴν ἐν πολλοῖς τῶν ἑρπετῶν, καὶ ἐντό-
μων, οἷοι ἕλμινθες, καὶ σκώληκες εἰσὶ, καὶ σῆπες, τεμνομέ-
νοις, τῶν τμημάτων ἑκάτερον καὶ αἴσθησιν ἔχει (1) καὶ κίνη-
σιν·

(1) Ἀριστ. Ἐν Β΄. Περὶ Ψυχῆς.



σιν· καὶ οὐδὲ τὸ ζῆν ἐκ τῆς τομῆς διαφθείρεται τὰ τοιαῦ-
τα, σώζεται δὲ, τὸ ἔλλειπον, ἤτοι τὴν οὐρὰν, ἢ τὴν κε-
φαλὴν, ἀνεργούσης τῆς φύσεως αὐτῆς, καὶ τὸ ὅλον ἀναπλη-
ρούσης, ὡς ὑπὸ μυρίων ὅσων παρατηρήσεων μεμαρτύρηται.
Ἄρα ἡ ἐν αὐτοῖς ψυχὴ, καίτοι αἰσθητικὴ οὖσα, (ὁρᾷ γὰρ
καὶ ταῦτα ἀληθῶς, καὶ κυρίως εἰπεῖν, καὶ ἀκούει, καὶ γεύεται,
καὶ ἀφῆς οὐκ ἀμοιρεῖ, καὶ οὐδὲν τῶν ἄλλων χείρονα τούτοις ἀνα-
δείκνυται ὄντα, εἰ μὴ καὶ θαυμασιώτερα, παρὰ τὴν λεπτουρ-
γίαν τῆς φύσεως.) ἄϋλος οὐκ ἔστιν. Εἴπερ οὖν καὶ αὐτὸ τὸ
ἄϋλος εἶναι, ἡ αἰσθητικὴ ψυχὴ ἀνεφάνη, πῶς οὐκ ἄλογον,
τὴν τῶν ἀλόγων φύσιν, λόγῳ κατακοσμεῖν ἐθέλειν, διὰ
τὴν προσοῦσαν αὐτοῖς αἰσθητικὴν δύναμιν; Ἄρα κτ.

## Σχόλιον.

§. ψοη΄. Τῷδε τοίνυν, οὐ φαύλῳ οἶμαι, τῷ λόγῳ οἱ
ἐκ τῶν Πυθαγόρου δογμάτων, καὶ τῶν τοῦ Πλάτωνος, οἱ ψυ-
χαῖς ἀνθρωπίναις, τὰ ἄλογα τῶν ζώων κατακοσμήσαντες
ἀπελέγχονται· ὧν εἷς τίθεται εἶναι, καὶ ὁ Χαιρωνεὺς
Πλούταρχος, ὃς ἐν τῷ πότερα τῶν ζώων φρονιμώτερα, συγ-
γράμματι, κἀν τῷ Διαλόγῳ, οὗ ἐπιγραφὴ Γρύλλος, τὸν ἐν
τοῖς ἀλόγοις λόγον ὑπερεθαύμασε. Συναπελέγχονται δὲ
καὶ οἱ ἐκ τῆς αἱρέσεως Μανιχαῖοι, καὶ οἱ Γνωστικοὶ κληθέν-
τες, οὓς παραπλήσια δογματίσαι ἱστόρηται. Καὶ ὅσοι ἁ-
πλῶς νοῦν τοῖς ἀλόγοις ἀποκληρῶσαι ἠξίωσαν, οὐκ ἐν μὲν
ἀνθρώπινον, νοῦν δὲ ὅμως τινὰ, τῇ οὐσίᾳ ἄϋλον, καὶ ἀσώ-
ματον, ἤτοι εἴδει ὧν ἴσμεν ἅπαντες νόων διαφέροντα, οἷον
τι καθ᾽ ἡμᾶς καὶ ὁ Νεαπολίτης Γενουήσιος (1) διὰ πολλῶν
κατασκευάζειν πειρᾶται, ἢ καὶ νὴ Δία νοῦν τῶν κακοδαιμόνων
ἕνα, ἐν ἑκάστῳ ἐγκαθειργμένον κτηνώδει σώματι, οἷον ὁ
Γαλλιστὶ συγγράψας sur le langage des bestes, πλάττειν
ἐτόλμησεν. Ἀλλὰ γάρ ἐστι καὶ διὰ ἄλλων βουλομένοις, τὴν
ἀτοπίαν τῆς δόξης ἐκ περιουσίας στηλιτεῦσαι.

Α΄. Γάρ

(1) Ἐν τῇ Διαλέξ. Περὶ τῆς Κτην. Ψυχ.

Α'. Γὰρ ἐκεῖνο ὑπολαμβάνοντας, οὐδὲ τῇ διαφορᾷ τοῦ λογικοῦ, καὶ τοῦ ἀλόγου, πρὸς ἀντιδιαστολὴν τῶν εἰδῶν εἰκὸς αὐτοὺς χρῆσθαι, οὐδ' ἄλλην μὲν ἥντινα εἰδοποιὸν, καὶ ἐξ αὐτῆς τῆς οὐσίας ἠρτημένην, καὶ τοῦ γε ἐπ' αὐτοῖς ἧκον, ζῶον ἐστὶ λογικὸν οὐδὲν ἧττον ὄνος, ἢ ἄνθρωπος· καὶ οὐδὲν μᾶλλον ἀνθρώπου, ἢ βοὸς διενήνοχεν ὄνος τῇ οὐσίᾳ.

Β'. Καὶ ἐπιστήμονος γνώσεως οὐ πάντῃ ἀποπέφυκε τὰ ζῶα πάντα λογικὰ ὄντα. Καὶ ἐλευθερίας δὲ τετύχηκε, καὶ αὐτεξουσίου προαιρέσεως, καὶ ὅρων οὐκ ἠμοίρησε τῶν τοῦ καθήκοντος, καὶ ὑπὸ νόμοις ἄρα γίνεται, καὶ εὐθύναις ἐνέχεται. Ὅτι δὲ τοιαῦτα πεφυκότα οὐ φιλοσοφεῖ καὶ αὐτὰ, οὐ τέχνας τινὰς ἐπινοεῖ, αἷς ἂν ἄμεινον βιοτεύσειεν, οὐ σημεῖα τὰ ἐπιβάλλοντα εἰς δήλωσιν τῶν ἰδίων αὐτῶν ἐννοιῶν ἐξευρίσκει, καὶ ταῦτα ψᾶρες, καὶ κόρακες, καὶ ψιττακοὶ, καὶ κίσσαι, καὶ ὅσα τῶν ζώων λεξίζειν, οὐκ ἀφυῆ ἐστὶ, τῶν πρὸς λαλιὰν ὀργάνων εὖ ἥκοντα, τίνα ἔχει λέγειν;

Γ'. Πῶς δὲ τὸ αὐθόρμητον τοῦ νοῦ, καὶ ἀδιάφορον τοῖς ἀλόγοις, κἂν τὸ ποικιλότροπον τοῦ ἐπινοητικοῦ, κἂν ἐν οἷς δύναται; πῶς γὰρ καὶ ταυτὰ ἀεὶ ἐργαζόμενα φαίνεται, πῶς ἡ ἀλκυὼν παραπλησίαν ἀεὶ κατασκευάζει τὴν κοττιὰν, κἂν ὅτι πολὺ θαυμάζων ἐστὶ, τὴν συμμετρίαν αὐτῆς, καὶ „ τὸ σχῆμα ὁ Πλούταρχος, (1) ὡς καὶ ᾄδειν, Δήλῳ δή ποτε „ τοῖον Ἀπόλλωνος παρὰ Ναῷ τὸν κεράτινον βωμὸν ἰδεῖν, „ τὸν ἐν τοῖς ἑπτὰ καλουμένοις θεάμασιν ὑμνούμενον. Πῶς γοῦν οὐκ ἀμείβει ποτὲ, ἢ θέσιν, ἢ σχῆμα, ἢ ἁρμονίας τέχνην, καὶ τρόπον συμπήξεως, ἵνα γοῦν καὶ φῶμεν ὅτι τὸ κατὰ λόγον δοκοῦν αἱρετίζεται; Ἀλλ' ἀεὶ μὲν ὡσαύτως καὶ χελιδὼν, μετέωρον ὑπὸ τῷ ὀρόφῳ τὴν καλιὰν πήγνυσιν, καὶ ὁμοιοσχήμονα. Περιστερὰ δὲ, καὶ καταγαίαν, εἰ τύχοι, καὶ ἐν ὀπῇ ἀχυρία συμφορήσασα νεοττεύει. Μέλισσα δὲ παραπλησίως μελιττουργεῖ, οὐδὲν δὲ καινοπρεπέστερον διανοεῖται ἐν τῷ ὑφάσματι, τὰ τῆς Ἐργάνης ζηλοῦσα ἀράχνη κτ. Καὶ μὴν εἰκὸς ἦν ποικίλλειν τὰς ἐπινοίας, τὰ ἀπὸ νοῦ, καὶ βουλῆς

(1) Πλούταρχ. Ἐν τῷ πότερα τῶν ζώων φρονιμώτερα.



τὰ τοιαῦτα πραγματευόμενα. „ Ὅτι δὲ οὐ λογικῶς „ ταῦτα ποιεῖ (1) δῆλον ἐκ τοῦ κατ' εἶδος ἕκαστον ζῶον ὁ„ μοίως τὰ αὐτὰ ποιεῖν, καὶ μὴ διαλλάττειν αὐτῶν ἐν τῷ „ πλήθει τὰς ἐνεργείας, εἰ μὴ κατὰ τὸ μᾶλλον καὶ ἧττον· „ ἀλλὰ κατὰ μίαν ὁρμὴν ὅλον τὸ εἶδος κινεῖσθαι. Πᾶς γὰρ „ λαγωὸς ὁμοίως τεχνάζεται, καὶ πᾶς λύκος ὁμοίως πα„ νουργεῖ, καὶ πᾶς πίθηκος ὁμοίως μιμεῖται· ὅπερ οὐκ ἔ„ στιν ἐπ' ἀνθρώπου, μυρίαι γὰρ ὁδοὶ τῶν ἀνθρωπείων πρά„ ξεων. Ἐλεύθερον γάρ τι, καὶ αὐτεξούσιον τὸ λογικὸν, ὅ„ θεν οὐχ ἓν καὶ ταὐτὸν πᾶσιν ἔργον ἀνθρώποις, ὡς ἑκά„ στῳ εἴδει τῶν ἀλόγων ζώων, φύσει γὰρ μόνῃ ταῦτα κι„ νεῖται. Τὰ δὲ φύσει, ὁμοίως παρὰ πᾶσίν ἐστιν· αἱ δὲ „ λογικαὶ πράξεις ἄλλαι παρ' ἄλλοις, καὶ οὐκ ἐξ ἀνάγκης „ αἱ αὐταὶ παρὰ πᾶσιν.

Δ'. Πολλῷ δὲ τῶν ἀνθρώπων, ἔστιν ἃ τῶν κτηνῶν, ὑπερέχειν ἂν τῇ εὐφυΐᾳ, εἰ λόγῳ κεκόσμητο, ὅσῳ καὶ αἰσθήσεων ἀκριβεστέρων ἔλαχε, καὶ ὀξυτέρων, καὶ κρείσσω ἐπ' ἐνίων παρεπιδείκνυται, οἵας παρὰ πολὺ ἠλάττωται ἄνθρωπος. Καὶ γὰρ ὡρῶν τε μεταβολὰς, καὶ στοιχείων ἀλλοιώσεις, καὶ φυτῶν, καὶ ἄλλων ἡμῖν ἀγνοουμένας σωμάτων δυνάμεις, πολλὰ τῶν κτηνῶν ὁρᾶται τεκμηριῶντα καὶ ἐπικρίνοντα.

„ Ἢ κοίλης μύρμηκες ὀχῆς ἐξ ὤεα πάντα
„ Θᾶσσον ἀνηνέγκαντο.....

Καὶ τόδε ὑετοῦ σημεῖον ποιεῖται ὁ Ἄρατος. (2) Ἐχῖνοι δὲ οἱ χερσαῖοι τὴν ἀέρος διαφορὰν προαισθόμενοι τὴν πρὸς τὸν πνεύσοντα ἄνεμον ὀπὴν τῆς κοίτης αὐτῶν ἀποφράττουσιν. Ἀλλὰ καὶ ἐχῖνοι οἱ θαλάσσιοι, ὅταν αἴσθωνται μέλλοντα χειμῶνα καὶ σάλον, ἑρματιζόμενοι λιθιδίοις ἑαυτοὺς προσερείδουσιν, ὅπως μὴ διὰ κουφότητα περιτρέπωνται. Καὶ κόγχαι δὲ ταῖς ὑφάλοις προσφυόμεναι πέτραις, καὶ τευθίδες πτερυγίζουσαι, καταιγίδα φέρονται προδεικνύουσαι. Καὶ δελφῖνες κυβιστῶντες μὲν, ἐν γαληνιῶσι τοῖς κύμασιν, ὅτι

(1) Νεμέσιος. Ἐν τῷ περὶ Ἀνθρώπου Κεφ. Β'.
(2) Παρὰ Πλουτάρχ. αὐτόθι αὐτ.

τε, καὶ ὅθεν πνεύσει, ἐν δὲ ζάλῃ προσφυσῶντες ὕδωρ, γαλήνην ἐσομβρίαν προκαταγγέλλουσι. Καὶ βάτραχοι δὲ τὴν φωνὴν λαμπρυνόντες, κέπφοι δὲ πρωΐας κλαγγάζοντες, ὑετόν. Αἴθυιαι δὲ, καὶ νῆτται, τοῖς ῥύγχεσι τὰ ὠκύπτερα διακαθαίρουσαι, ἄνεμον δῆλαι εἰσὶ προσδεχόμεναι. Καὶ τῶν ὑδροχαρῶν τὰ πολλὰ συνιπτάμενα, καὶ γέρανοι ἡσυχῇ τὴν πτῆσιν μετεωροτέρων ἰθύνουσαι, εὐδίαν τεκμήριον παρέχονται. Καὶ ὄϊες δὲ, σφριγῶσαί τε καὶ ἀκόλαστον ἐξορχούμεναι, βόες δὲ τὸν οὐρανὸν οἷον ἐποσφραινόμεναι, καὶ ἀλλήλας ἀντίτριχας περιλείχουσαι, κλύδωνα σφοδρὸν προμηνύουσιν. Οἱ δὲ κροκόδειλοι, ὅσον Αἴγυπτος τοῖς νειλώοις ἐπικλυσθήσεται ῥεύμασι μαντευόμενοι, τὸν τῆς ἐπικλύσεως ὅρον τοῖς ἐγχωρίοις, ἐκεῖσέ που τὰ αὐτῶν ὠὰ καταθέμενοι, προδεικνύουσι. Θύννοι τε, καὶ πηλαμύδες, κυβικὰς τὸ εἶδος συννηχόμενοι παρατάττουσι τὰς ἀμίας, τὸ στερεὸν οἷον γεωμετροῦντες τοῦ σχήματος, καὶ τοῖς θυννοσκόποις, ὅσος ὁ ἀριθμὸς, ἐκ τῆς πλευρᾶς, ῥᾳδίως ἀναλογίζεσθαι παρεχόμενοι. Ὁ δὲ θύννος καὶ ἰσημερίας αἰσθάνεσθαι δοκεῖ, καὶ ῥοπῆς ἡλιακῆς, οἵαπερ οὖν καὶ ὄρυξ τὴν ἐπιτολὴν, φασὶ, τοῦ σειρίου κυνὸς καταγγέλλει· καὶ ταῦτα μηδὲν τῶν Ἀστρονομικῶν Θεωρημάτων ἀκούσαντες. Τὰς δὲ πρὸς θεραπείαν αὐτοῖς συμβαλλομένας δυνάμεις, ὅπως διαγιγνώσκειν πεφύκασιν; οὐκ ἐπὶ τὸν φλωμὸν αὐτίκα τραυματισθεῖσα καταφεύγει ἡ Ἄρκτος; οὐκ ἐπὶ τὸ ἄρον συμμύσασα τοὐντόθιον; οὐκ ἀσώδης γενομένη ἐπὶ τοὺς μύρμηκας; ἴσασι γὰρ ἀμέλει τὴν ἀπὸ τούτων ὠφέλειαν, οἵαπερ καὶ χελώνη τὴν ἀπὸ τοῦ ὀριγάνου, καὶ γαλῆ τὴν ἀπὸ τοῦ πηγάνου, ὅταν ὄφεως φάγωσιν. Οὕτω τοι καὶ κύνες πόᾳ τινὶ καθαίρουσιν ἑαυτοὺς χολερῶντας, καὶ δράκων τῷ μαράθρῳ ἑαυτοῦ λεπτύνει τὸν ὀφθαλμὸν ἀμβλυώττοντα. Καὶ αἶγες αἱ Κρητικαὶ τῷ δικτάμνῳ τὸ τόξον ἀποτριβώσκουσιν. Ἔστι δὲ καὶ λέοντι ἄκος πίθηκος βιβρωσκόμενος. Καὶ πάρδῳ μὲν αἰγὸς ἀγρίας, πολλοῖς δὲ ἄλλοις θηρίοις κυνὸς αἷμα πινόμενον. Ἐῶ τὰ ἄλλα μυρία τε ὄντα, καὶ περὶ ὧν ὅλαι βίβλοι γεγράφαται. (1) Ἐκ τούτων οὖν, οἱ νῦν

(1) Ὅρα Πλούταρχ. ἐν τῷ πότερα τῶν ζώων φρονιμώτ. Ἀριστ. ἐν τοῖς περὶ ζώων Ἱστορ. Πλίνιον ἐν τοῖς περὶ Ἱστορ. Φυσικ.



νοῦν τε καὶ λόγον ἀΰλου φύσεως, τῇ κτηνώδει οὐσίᾳ ἐγκαθιδρύειν φιλοτιμούμενοι, πολλὴν δῆλον ὅτι, εἰς κατασκευήν τε καὶ πίστιν τοῦ κατ' αὐτοὺς δόγματος, δαψίλειαν ἀποδείξεων, ἐκπορίζεσθαι οἴονται. Ἐμοὶ δὲ εἰς τοὐναντίον αὐτοῖς τὰ τοῦ σκοποῦ δοκεῖ περιΐστασθαι. Τί γάρ; εἰ ἀπὸ τοῦ λογιστικοῦ ταῦτα τοῖς ζώοις, τί ποτε ἐνδεῖ πρὸς Θεοῦ, τοῦ μὴ καὶ τῇ τῶν ὄντων θεωρίᾳ σχολάζειν αὐτὰ ὑπολαμβάνειν, καὶ ἐπιστήμονάς τινας εἶναι τοιούτους, οἵους τοὺς ἐν Φιλοσοφίᾳ τὸ ζῆν κατατρίβοντας ἐν ἀνθρώποις, παῖδας ἄντικρυς ἀποφαίνειν; Ἀλλὰ πρὸς τούτοις, οὐδὲ τοῦτ' ἂν εἴη παραλειπτέον ἔσχατον ὑποσυνάψαι, τὸ πρώτιστον, ὅτι·

Ε'. Εἰ τὸ οὐσιωδῶς ἁπλοῦν, ἐκ προϋφεστῶτος, ὡς ἐξ ὑποκειμένου, οὐκ ἂν σχοίη τὴν γένεσιν (§. υκα'. υκβ'.) τὸ ἐξ ὑποκειμένου τινὸς γινόμενον, μηδαμῶς τῇ οὐσίᾳ ἁπλοῦν, ἤτοι ἄϋλον καθεστηκέναι ὁ τῆς ἀντιστροφῆς βούλεται νόμος. Ἀλλὰ γὰρ ἐν ἱεραῖς γραφαῖς, ἐκ τῶν στοιχείων ἐξάγεσθαι τὰς τῶν ἀλόγων ψυχὰς παιδευόμεθα. „ Ἐξαγαγέτω γὰρ „ τὰ ὕδατα, φησὶν, ἑρπετὰ ψυχῶν ζωσῶν. (1) Καὶ ἐξή„ γαγε τὰ ὕδατα κτ. Καὶ ἐξαγαγέτω τὰ ὕδατα ψυχὴν „ ζῶσαν κατὰ γένος, τετράποδα, καὶ ἑρπετὰ, καὶ θηρία. Οὐκ ἄρα τὴν τῶν ζώων ψυχὴν, ἄϋλον φήσει, εἰ μή τις τὸν θεῖον λόγον φθάσῃ προεξομόσασθαι. Καὶ ἐν ἄλλαις δὲ τῶν γραφῶν μαρτυρίαις αὐτὸ τοῦτο δείκνυται. „ Καὶ ἐπιστήσω „ φησὶ (2) τὸ πρόσωπόν μου ἐπὶ τὴν ψυχὴν τὴν ἔσθουσαν „ τὸ αἷμα. Ἡ γὰρ ψυχὴ πάσης σαρκὸς αἷμα αὐτοῦ ἐστίν. „ Καὶ (3) πρόσεχε ἰσχυρῶς τοῦ μὴ φαγεῖν αἷμα, ὅτι αἷ„ μα αὐτοῦ ψυχὴ, οὐ βρωθήσεται ἡ ψυχὴ μετὰ τῶν κρεῶν. Ταῦτα δήπου οὕτως εἰσὶ σαφῆ, ὡς μηδὲ παρερμηνευθῆναι ἐνδέχεσθαι. Εἰ δέ τις τύχοι τῶν ἐν τῷ φιλοσοφεῖν, μηδὲν ἐκ τῆς γραφῆς δυσωπουμένων, πρὸς τὸν τοιοῦτον τοῖς ἀνωτέρω ἐπενεχθεῖσι λόγοις ἀρκεσθησόμεθα. Πρὸς δὲ τὰς ἐπαγγελ-

(1) Γεν. Κεφ. Α'.
(2) Λευιτικ. Κεφ. Δ'.
(3 Δευτερονομ. Κεφ. ΙΒ'.

γελλομένους τὸν Θεόσδοτον λόγον ἐς ἀεὶ σέβειν καὶ ἀποδέχεσθαι, ὅπλον τοῦτ᾽ προ παντὸς προβαλλόμεθα ἀρραγὲς καὶ ἀπρόσμαχον, πρὸς ὅπερ οὐδὲ ἀντιβλέψαι ὅλως τολμήσουσιν. Ἐχρήσατο δὲ θαυμαστῶς τῷ ὅπλῳ τῷδε, καὶ ὁ πολὺς ἑκατέραν τὴν σοφίαν Βασίλειος. (1) „ Διατὶ ἡ γῆ ψυχὴν
„ ζῶσαν ἐξάγει, φησὶν, ἵνα μάθῃς διαφορὰν ψυχῆς κτή-
„ νους, καὶ ψυχῆς ἀνθρώπου. μικρὸν ὕστερον γνώσῃ, πῶς ἡ
„ ψυχὴ τοῦ ἀνθρώπου συνέστη· νῦν δ᾽ ἄκουε περὶ τῆς τῶν
„ ἀλόγων ψυχῆς· ἐπειδὴ κατὰ τὸ γεγραμμένον παντὸς ζώου
„ ἡ ψυχὴ τὸ αἷμα αὐτοῦ ἐστὶν, αἷμα δὲ παγὲν εἰς σάρκα
„ πέφυκε μεταβάλλειν, ἡ δὲ σὰρξ φθαρεῖσα εἰς γῆν ἀ-
„ ναλύεται, νεκρά τις ἐστὶν εἰκότως ἡ ψυχὴ τῶν κτηνῶν...
„ Ὅρα τὴν ἀκολουθίαν ψυχῆς πρὸς αἷμα, αἵματος πρὸς
„ σάρκα, σαρκὸς πρὸς τὴν γῆν, καὶ πάλιν ἀναλύσας διὰ
„ τῶν αὐτῶν ἀνάποδισον, ἀπὸ γῆς εἰς σάρκα, ἀπὸ σαρκὸς
„ εἰς αἷμα, ἀπὸ αἵματος εἰς ψυχὴν, καὶ εὑρήσεις ὅτι γῆ
„ ἐστὶ τῶν κτηνῶν ἡ ψυχή· μὴ νόμιζε πρεσβυτέραν εἶναι
„ τῆς τοῦ σώματος αὐτῶν ὑποστάσεως, μηδὲ ἐπιδιαμένουσαν
„ μετὰ τὴν τῆς σαρκὸς διάλυσιν· φεῦγε φλυαρίας τῶν σο-
„ βαρῶν φιλοσόφων, οἳ οὐκ αἰσχύνονται τὰς ἑαυτῶν ψυχὰς,
„ καὶ τὰς κυνείας ὁμοειδεῖς ἀλλήλαις τιθέμενοι. Οἱ λέγον-
„ τες ἑαυτοὺς γεγενῆσθαι ποτὲ, καὶ γυναῖκας, καὶ θάμνους, καὶ
„ ἰχθύας θαλασσίους. Ἐγὼ δὲ εἰ μὲν ἐγένοντο ποτὲ ἰχ-
„ θῦς οὐκ ἂν εἴποιμι. Ὅτι δὲ ἐν ᾧ ταῦτα ἔγραφον τῶν
„ ἰχθύων ἦσαν ἀλογώτεροι, καὶ πάνυ εὐτόνως διατεινοίμην.

## Θεώρημα ΛΘ΄.

§. ψοθ΄. „ Οἱ τὰ κτήνη ψιλά τινα τυγχάνειν ἡγούμε-
„ νοι μηχανήματα, γνώσεως ὁποιασοῦν ἄμοιρα, ἀτοπίαν
„ τινὰ ὑπεκκλίνειν δοκοῦντες, εἰς ἄλλην οὐκ ἐλάσσονα κα-
„ ταφέρονται. Καὶ τοῦτο δὴ, τὸ τοῦ λόγου, τὴν αἰθάλην
„ φεύγοντες, ἐπὶ τὴν ἀνθρακιὰν περιπίπτουσι.

Ἤτοι

(1) Βασίλ. Ὁμιλ. Η΄. Εἰς τὴν Ἑξαήμ.



Ἤτοι γὰρ τὰ τῶν ἡμετέρων κατ᾽ αἴσθησιν κινημάτων, ταῦτα (ὡς καὶ αὐτοὶ φασὶν) τὰ ἀπομιμήματα, ὑπὸ μηδενὸς αἰτίου τοῖς τῶν ἀλόγων σώμασιν ἐνεγείρεται, ἢ ὑπό του. Ἐπεὶ δ᾽ ἐκεῖνο τῶν ἀδυνάτων (§. χιή. Α΄.), ἢ ὑπὸ τῶν θύραθεν αὐτοῖς ἐπενεργούντων σωμάτων, ἢ ὑπὸ τῆς ἐν αὐτοῖς ἐντέχνου ὀργανικῆς διαπλάσεως, ἢ ἐξ ἀμφοῖν.

Ἀλλὰ Α΄. οὐ πάντως ὑπὸ τῶν θύραθεν. Αἱ γὰρ αὐταὶ τῶν ἐκτὸς ἐνέργειαι, οὐ τὰς αὐτὰς κινήσεις πολλάκις αὐτοῖς ἐνεποίησαν. Αἱ δὲ διαφέρουσαι ἄλλοτε τὰς αὐτὰς ἐμποιῆσαι ἔδοξαν· οἷον τὸ αὐτὸ ὀφθὲν νῦν μὲν μᾶλλον, νῦν δ᾽ ἧττον, νῦν δ᾽ οὐδὲ τὴν ἀρχὴν ὅλως τὸ ζῶον ὑπεκίνησεν. Ἄλλοτε δὲ ἄλλο καὶ ἄλλο ἐκίνησεν ἐπίσης. Καὶ πάταγος ἐξαίφνης ἐμπεσὼν, ὁτὲ μὲν ἐξέπληξεν, ὁτὲ δὲ οὔ. Ἄλλοτε δὲ ἐκ διαφερόντων τῶν ψοφημάτων, οὐδὲν τῷ ζώῳ πρὸς ἔκπληξιν τὸ διάφορον. Καὶ ἐπὶ μυρίων αὖτις παρατηρήσας, τὰς διαφορὰς ἂν ἐπιγνοίη ταύτας, ἃς ἐπὶ τὸ λεπτότερον διαγράφειν ἡμῖν οὐ δοκεῖ. Ἀλλὰ γὰρ ταῦτα ἡ ἐναπαιτουμένη ἀναλογία, ἐπὶ τῶν ἐν τῇ φύσει ἐπενεργήσεών τε καὶ ἀντιδράσεων (§. χιή. Γ΄.) οὐχ ὑφίσταται. Β΄. ὁρμὰς ἔχει αὐτοῖς πολλάκις ταῖς ὑπὸ τῶν ἔξωθεν κινούντων τὰς ἐναντιωτάτας· οἷον τοὺς ἵππους μόλις χαλινοῖς καὶ ῥυτῆρσι κατεχομένους. Ἰχθῦς τε πολλάκις ἄνω ποταμῶν ὁρῶνται νηχόμενοι. Ὅ,τε βοῦς καὶ πρὸς τὸ ἄναντες ἕλκει τὴν ἅμαξαν, δέον εἰ ἔξωθεν αὐτῷ ἐμποιεῖται ἡ κίνησις, τοὐναντίον συμβαίνειν εἰς ὅπερ ἡ παροιμία ἐπώθασεν. Γ΄. ἐπεὶ δὲ καὶ τῆς κινήσεως τὸ μέγεθος ἀπό τε τοῦ ὄγκου τοῦ φερομένου, καὶ τοῦ κατὰ τὴν φορὰν ἐπιλογιζόμεθα τάχους, κινήσεις μεγίστας εἰκὸς ἦν συμβαίνειν ἐξ ἐλαχίστων, καὶ τὸ αἴτιον μακρῷ ἀποδεῖν τοῦ ἀποτελέσματος αὐτοῦ· οἷον ὅλον ποίμνιον, ἐκ μικρᾶς ἀφορμῆς εἰς φυγὴν ἐξάπτει, καὶ πτηνῶν τῶν ἀγελαίων πλῆθος, κλάδου ὑποσεισθέντος ἀποσεσόβηται. Ἐῶ λέγειν τοὺς ἐλέφαντας τοὺς πυργοφόρους, οἳ φωνῇ παιδαρίου μικροῦ πειθαρχοῦσιν ἀγόμενοι, καὶ τὰ κήτη τὰ μεγάλα τὰ μικρῶν ἰχθυδίων ἑπόμενα. Ἅπαντας οὖν τοὺς κειμένους τῇ φύσει θεσμοὺς ἀναιροῦσι προδήλως, οἱ τῶν τοιούτων ἐν ζώοις κινημάτων, παραίτια τὰ ἐκτὸς ἐκείνων τιθέμενοι σώματι.

Β΄. Ἀλλ᾽ οὐδὲ ὁ τῶν κτηνῶν ὀργανισμὸς, καὶ ἡ διάπλασις

μόνη

μόνη καθ' ἑαυτὴν, γένοιτ' ἂν ποτε τῶν τοιούτων αὐτοῖς κινήσεων αἴτιος. Α'. γὰρ ὁ ὀργανισμὸς ἀεὶ ὁ αὐτὸς αὐτοῖς, τὰ δὲ κινήματα παντοῖα, καὶ ὅρον οὐκ ἔχοντα. Οὐκ ἔδει δέ. Ἀλλ' ὥσπερ ἐπὶ τῶν ὡρολογίων, καὶ τῶν ἄλλων μηχανημάτων, ὅσα κινεῖσθαι αὐτόματα λέγεται, ἡ αὐτὴ ἀκριβῶς ἐνοῦσα ὁρᾶται κατάστασις, καὶ κινήσεις ἀεὶ αἱ αὐταὶ, καὶ τρόπαι κατὰ τάξιν χωροῦσαι, ἐπίσης τε καὶ ἀεὶ ὡσαύτως στείχουσαι, καὶ οὐδὲ ποσότητι, οὐδὲ ποιότητι παραλλάττουσαι, οὕτως ἐπάναγκες ἦν καὶ τὰ ζῶα ἀεὶ ὡσαύτως, καὶ ὁρᾶν, καὶ ἀκούειν, καὶ γεύεσθαι, καὶ τ' ἄλλα δοκεῖν ποιεῖν, οἷς περ αἴσθησίς τις ἐμφαίνεται, τάξει τε καὶ λόγῳ τῷ αὐτῷ· τῆς γὰρ αὐτῆς ἀπαραποιήτου μενούσης αἰτίας, τὸ ἀποτέλεσμα διηνεκῶς ποικίλλεσθαι, καὶ μεταβάλλειν ἀδύνατον. Β'. τὰς μὴ ἑκουσίους, ἀλλ' ἀναγκαίας εἰρημένας ἐπὶ ἀνθρώπου κινήσεις (§. ψξά. ψξβ'.), οἷαι ἡ τοῦ αἵματος, ἡ τῆς καρδίας, ἡ τῶν πνευμόνων, αἱ τῶν ἄλλων σπλάγχνων, ἀναπνοαὶ, αὐξήσεις, ὕπνοι, ἐγρηγόρσεις, τὰς ταῖς θύραθεν θερμότησι, καὶ ψύξεσι, καὶ ταῖς λοιπαῖς ἀλλοιώσεσι προαγομένας, καὶ ἐκ τοῦ ὀργανισμοῦ οὔσας ἀεὶ ὡσαύτως ὁρῶμεν ἐπὶ τῶν ζώων χωρούσας, ὥσπερ καὶ ἐφ' ἡμῶν. Ἐπεὶ τοίνυν καὶ τὰς ταῖς ἐν ἡμῖν ἑκουσίαις παραπλησίας, κἂν τούτοις ἀορίστους ἴσμεν, ἀστάτους, καὶ ἐνδελεχῶς μεταβαλλομένας, οὐκ ὀρθῶς καὶ ταύτας ἐκ τοῦ ὀργανισμοῦ κατ' ἐκείνας τελεῖσθαι φαίημεν, καὶ ἐκ τῆς διαπλάσεως. Γ'. Ἀλλὰ καὶ ὁ ὀργανισμὸς οὗτος καθ' ἑαυτὸν πρὸς κίνησιν οὐδὲν συντελεῖ. Πᾶσα γὰρ κίνησις (πλὴν τῆς Α'.) ἀπὸ κινήσεως· ὁ δὲ ὀργανισμὸς οὐκ ἔστι κίνησις. Ἐπάναγκες ἄρα τὸ κινῆσαν θέσθαι τὸν ἄχρι τοῦδε, φέρε, ἱστάμενον, ἤδη δὲ κατὰ τοῦ πεδίου φερόμενον ἵππον. Ποῦ ποτε τοίνυν αὐτὸ θήσομεν; ἐπί τι τῶν ἐκτός; Ἀλλὰ τοῖς ἐν τῷ Α'. αὖθις περιπεσούμεθα. Ἀλλ' ἐπὶ τῶν ἐντός τινι; κείσθω, εἰ δοκεῖ, ἐπὶ τοῖς ζωτικοῖς καλουμένοις πνεύμασιν, ἃ κινηθέντα κεκίνηκε. Πότερον οὖν, ἐκινεῖτο καὶ πρὸ τοῦ δρόμου; ἢ οὐχί; Εἰ μὲν οὖν, τί καὶ πρότερον οὐκ ἦν τρέχων; Εἰ δ' οὐχὶ, τί τὸ κινῆσαν; Ἀλλ' εἶναί τι πᾶσα ἀνάγκη. Ὥστε τὸ ψιλὸν τὸν ὀργανισμὸν, τῶν ποιῶν δὲ κινημάτων ἡγεῖσθαι παραίτιον, παγγέλοιον.

Γ'. Ἀλλ' ἐξ ἀμφοῖν, φαῖεν ἄν. φέρε δὴ ὅπως; Τὰ μὲν ἐκ-



ἐκτὸς ἐροῦσι, τὸ ἐν τῷ κτήνει πνεῦμα κινεῖ, τὸ δὲ πνεῦμα κινηθὲν, διὰ τὴν ἐκ τοῦ ὀργανισμοῦ δεξιότητα, κινεῖ τὸ ζῶον. Τί δέ; καὶ ἵστησιν; οὐκ ἂν εἴποις. Τρέχων γὰρ ὁ κύων, καὶ φωνῆς ἀκούσας γνωρίμου ἔστη, μικρὸν οἷον προσανέχων τῷ πράγματι. Εἶτ' ἀνέδραμε δεύτερον. Πῶς οὖν ἐκ μὲν κινήσεως συνέστη ἠρέμησις, ἐξ ἠρεμίας δὲ κίνησις τὰ ἐναντιώτατα; Ἀλλ' οὐκ ἔστιν. Ὡσθ' ὅ,τι ἂν καὶ εἴποιεν οἱ θαυμαστοὶ ἡμῖν οὗτοι Δαίδαλοι, ἐπὶ τὰ ἀτοπώτατα κατενεχθήσονται, τῆς αἰσθητικῆς δυνάμεως τὰ κτήνη ἀπογυμνοῦν μηχανώμενοι.

## Σχόλιον.

§. ψπ'. Οὕτως ἀπῳδὸν ἐστὶ τῶν φυσικῶν κινήσεων, καὶ τοῦ ὀρθοῦ λόγου ἀλλότριον, τὸ Καρτεσιάνειον Σκέμμα, ὃ παίζων τε, καὶ παραδοξολογῶν ἐκεῖνος (οὐ γὰρ οἶμαι σπουδάζων, καὶ τὸ δοκοῦν οἱ ἀποφαινόμενος), τῷ λόγῳ τὰ κτήνη κατέκτεινεν, ἀναίσθητα οἷον εἰδώλια καταλείπων (1), καὶ ψευδόζωα ἀναδεικνὺς, μᾶλλον δὲ ζώων, μηχανικά τινα ἀπεικάσματα. Ὁ δὲ ἄρα, ὡς μέγα τι, καὶ λόγου ἐπινενοηκὼς τοῦ παντὸς ἄξιον (καί τοι οὐδ' αὐτός ἐστιν ὁ πρῶτος ἐμματαιάσας τῷ πλάσματι· πρὸ γὰρ τούτου καὶ Ἱσπανός τις φέρεται ἰατρὸς, ᾧ Γομέσιος Περεῖρα ὄνομα (2), τοιοῦτό τι κωμῳδῆσαι, καὶ οἱ Στωϊκοὶ, εἰ χρὴ πιστεύειν τῷ Ῥωμαίῳ Σενέκᾳ (3) πολύ γε πρότερον.) ὡς ἐπὶ πλαστουργηθεῖσι τυχὸν ὑπ' αὐτοῦ ἀγάλμασιν ὑπερχαίρων τοῖς ζώοις ἐνητεύιζεν. Αὐτοὶ δὲ παρὰ τὰ ἀνωτέρω, καὶ πολλὰ ἄλλα πρὸς Καρτέσιον (αὐτοῦ γὰρ τέως ὑπὲρ τοὺς ἄλλους φιλοκαλήσαντος, ἐξενίκησεν ἀκούειν τὸ δόγμα.) εἰπεῖν ἔχομεν.

Α'. Ὡς ὑπὸ τῆς ἐν αὐτοῖς τοῖς κτήνεσι τῶν αἰσθητηρίων δια-

(1) Καρτέσ. Περὶ Μεθόδ. Ἀριθ. Ε'.
(2) Ὅρα Πουργότ. Μέρ. Γ'. Φυσικ. Τμήμ. Β'. Κεφ. Α'.
(3) Βιβλ. Α'. Περὶ Ὀργ. Κεφ. Γ'.

διαπλάσεως προφανῶς ἐλεγχόμενος (§. φοέ.) καὶ ματαιοτεχνίας ἐπίδηλα τῆς φύσεως καταιτιώμενος, καὶ φρονῶν, καὶ λέγων παρὰ τὴν κοινὴν ἁλίσκεται ἔννοιαν. Οὐ γὰρ ἂν εἰπεῖν ἔχοι ὡς ἅπαντα συντελεῖ τοῖς ἀλόγοις, εἰς τὸ μηχανικῶς κινεῖσθαι, καὶ ἐνεργεῖν, τὰ προσόντα τούτοις σκεύη, καὶ ὄργανα, μὴ πρότερον καὶ ἐν ἡμῖν αὐτοῖς τοῦτο ὑπολαμβάνων. Ἐπεὶ δὲ (πάνυ καλῶς δήπου συμβάλλων) τῶν μὲν τὴν χρείαν ἐπὶ τὰς ζωτικάς τε καὶ ἀναγκαίας τῶν κινήσεων, ἀφωρίσθαι ὑπέθετο, τῶν δὲ, ἐπὶ τὰς αἰσθητικάς τε καὶ γνωστικὰς, εἰ ἑπόμενα λέγειν μέλλοι, τὰ ἐν χρήσει ἐπίσης ἡμῖν τε κἂν τοῖς ζώοις ἐπιγιγνώσκων; καὶ αὐτὴν ὡσαύτως τὴν διαφορὰν συνομολογεῖν ἀναγκάζεται τὴν τῶν χρήσεων, μηδὲ τὰ πρὸς αἴσθησιν αὐτοῖς περιόντα θεώμενος, αὐτὴν ἔπειτα ἐκ μέσου ποιεῖσθαι τὴν δύναμιν τὴν χρησομένην.

Β'. Ἡ δὲ χρῆσις αὕτη τοῖς ἀλόγοις ἐστὶ προφανὴς, κἄν τις ἐθελοψοφοδῶν ἀπαναίνοιτο· οὐ γὰρ μόνον τὸ θύραθεν παρεισάμενον ἄγει καὶ φέρει αὐτὰ, ὥσπερ τινα ψιλὰ μηχανήματα, ἀλλ' ἐπὶ τὸ αἰσθητὸν ἑαυτὰ κινοῦσιν· ὀφθαλμοὺς γὰρ τρέπουσιν ἄλλοτ' ἐπ' ἄλλα. Καὶ τὸ παρὸν ἐάσαντα μεταδιώκουσι τὸ ἀπὸν, καὶ μὴ προκείμενον ἰδεῖν ποθοῦσι, κἂν αὐτοῖς κρύπτηται δυσχεραίνουσι. Παραπλησίως δὲ καὶ ὦτα, καὶ ῥῖνας ἄλλοτε ἄλλως ἰθύνουσι, τῶν μὲν ἐν ποσὶν ἀμελοῦντα, τὰ δὲ πόρρω σπουδαίως θηρώμενα. Τοῦτο δὲ ἐστὶ τοῖς περιοῦσιν αὐτοῖς τῶν μελῶν ἐπιπιάσειν, πρὸς τὸ σφίσι δοκοῦν ἀποχρώμενα. Χρῆσις αὐτόπατον· ἢ λέγειν ἀναγκασθήσεται, ὡς τὸ μὲν ἤδη διατιθὲν αὐτοῖς τὸ ὄργανον ἀδυνατεῖ κινῆσαι, κινεῖ δὲ τὸ μήπω ἐμποιῆσαν αὐτοῖς τὴν διάθεσιν. Καὶ τὸ μὲν ἐνεργοῦν οὐχὶ, τὸ δὲ μὴ, τὴν πάθησιν εἰργάσατο· ὃ πόσης ἐστὶν ἀλογίας αὐτοὶ σκοπείτωσαν οἱ περὶ Καρτέσιον.

Γ'. Καὶ μνήμης μετεῖναι πολλοῖς τῶν κτηνῶν ὁρῶμεν, καὶ φαντασίας, ἧς ἄνευ οὐδὲ μνήμη. Καὶ αἱ καθ' ὕπνους ὀνειρώξεις αὐτοῖς συμβαίνουσι φανερῶς. Καὶ ὑπὸ παθῶν δὲ ἄγεται καὶ ταῦτα, ὥσπερ καὶ ἄνθρωπος. λυπεῖσθαι γὰρ καὶ χαίρειν εἰσὶ δῆλα, καὶ ὀργίζεσθαι, καὶ τῆς ὀργῆς αὖ πάλιν ὑφίεσθαι, καὶ ἐρᾶν, καὶ μισεῖν, ἅπερ οὐκ ἂν γένοιτο πάντως

οὖσιν



οὖσιν αὐτοῖς ψιλοῖς μηχανήμασι. Καὶ οἶδα μὲν ὃ φησὶν ὁ μηχανικὸς Φιλόσοφος, ὡς τῇ δοκήσει ταῦτα πάντα, καὶ οὐ ταῖς ἀληθείαις, τοῖς ζώοις ἐνεπιφαίνεται. Ἀλλὰ τί δήποτε πρὸς τὰ αὐτὰ, οὐχ ἡ τοῦ αὐτοῦ ἀείποτε πάθους ἔμφασις; Ἀμέλει καὶ γὰρ, τὸν δὲ μὲν προσιοῦσα ἡ κύων ἔσανε, τὸν δὲ δὲ διασπάσειν ἐπέδραμε. Τὰς κατὰ κράσεις ἀποῤῥοίας μοι αἰτιάσῃ; Καὶ μὴν πρὸς τὸν αὐτὸν προσηνής τε καὶ φίλη προσέσεισι, καὶ νοσοῦντα, καὶ ὑγιαίνοντα, καὶ τῆς ἀπὸ τῶν ἐξέων διαφορὰς τῶν ἀποφορῶν, μηδεμίαν τῷ ζώῳ τοῦ προτέρου πάθους ἐμποιούσης παραλλαξιν. Εἶτα καὶ ὦ πρὶν ἐνυλάκτει, μετὰ δευτέραν, καὶ τρίτην ὄψιν ἐνασμενίζεται· πόθεν ἡ μεταβολή; ἐξ ἔθους ἐρεῖς; Τί δ' ἄλλο τὸ ἔθος, ἢ γνῶσιν τινὰ τοῦ ἐθιζομένου προϋποτίθησιν; τὸ γὰρ φύσει, καὶ μόναις ταῖς ἀναγκαίαις κινήσεσιν ἀγόμενον ἔθους παντὸς ἐστὶν ἀνεπίδεκτον. Οὐδὲν γὰρ τῶν φύσει ὄντων ἄλλως ἐθίζεται· οἷον ὁ λίθος φύσει τὴν ἐπὶ τὰ κάτω κεκληρωμένος φορὰν, οὐκ ἂν ἄνω φέρεσθαι ἐθισθείη, οὐδ' ἂν μυριάκις ἐθίζειν πειρῷτό τις ἐπὶ τὰ ἄνω ῥιπτῶν· οὐδὲ πῦρ κάτω, οὐδ' ἄλλο οὐδὲν τῶν, ἄλλως πεφυκότων, ἄλλως ἄν ποτε ἐθισθείη. (1) Ἀλλ' ὅτι δὴ ἐθίζεσθαι φύσιν ἔχει τὰ κτήνη τίς ἀγνοεῖ; Ἐὰν γὰρ ταῖς πολλάκις γινομέναις τοῦ ζώου κινήσεσιν, αὐτὸ τοῦτο τὸ τοῦ ἔθους τις θήσειεν, αἷς αὐτοῦ τὰ μόρια ὁπωσοῦν παρατριβόμενα, καὶ καταλεαινόμενα, ὥσπερ ἐπὶ τῶν κλείθρων, καὶ τῶν τοιούτων μᾶλλον καθίσταται ὀλισθηρὰ, καὶ εὐκίνητα, ἑτοιμότερον ἔσαι πάντως τὸ ζῶον, εἰς ὁρμὴν τὸ δεύτερον, ἢ τὸ πρῶτον, καὶ τρίτον, ἢ δεύτερον, καὶ ἑξῆς ὡσαύτως, ὡς μὴ ἀπὸ τῆς θηριωδίας ἐπὶ τὴν ἐναντίαν πραότητα μεταβαίνειν χρῆναι, τοὐναντίον δὲ μᾶλλον, ἐπὶ μείζονα χωρεῖν τὴν θηριωδίαν, τῶν ὁρμῶν ἐπιτεινομένων, τὸ ὑπὸ τῶν αὐτῶν αἰτίων κινούμενον.

Δ'. Εἶτα οὐ τοῦτο ἐστὶ τὸ πυκνῆς ἀχλὺν καταχέειν ἁπάσης, παντὶ τῷ ἀνθρωπίνῳ, ὅσοι ἀπὸ καταβολῆς κόσμου ἄχει τοῦδε γεγόνασι; τὸ γὰρ αἰσθάνεσθαι τὰ κτήνη, καὶ ὁ-

ρᾶν,

(1) Ἀρις. Ἠθικ. Νικομαχ. Βιβλ. Ε'. Κεφ. Α'.

ρᾶν, καὶ ἀκούειν, καὶ γνωρίζειν, καὶ τὰ τοιαῦτα ποιεῖν, οἱ πάντες ἐν ἀδιστάκτῳ πληροφορίᾳ ἡγήσαντο, καὶ σοφοὶ καὶ ἀπαίδευτοι. Καὶ ἀνατεθείη αὖ ἄρα ἡ τῆς ἀπάτης ἀρχὴ αὐτῷ τῷ Δημιουργῷ, τῷ ἡμᾶς τε κἀκεῖνα οὕτω κατασκευάσαντι, ὥστε πάντας περὶ πάντα λαμπρῶς διὰ παντὸς τοῦ βίου ἐξαπατᾶσθαι· τοῦτο δὲ τῶν ἀτοπωτάτων εἶναι φρονεῖν περὶ τοῦ ὑπεραγάθου, καὶ παναληθεστάτου Θεοῦ, καὶ αὐτὸς ἐν ταῖς μελέταις ταῖς αὐτοῦ εἰσηγήσατο ὁ Καρτέσιος.

Ε΄. Πῶς δὲ καὶ τὰ τῆς ἱερᾶς Γραφῆς θήσομεν; Εἰ μὴ γὰρ ἐκείνῳ, ἀλλ᾽ ἡμῖν μέλει, εὐσεβεῖν αἱρουμένοις, μηδὲν ὅλως παραδέχεσθαι δόγμα, ὃ τῇ ἀπταίστῳ ἀληθείᾳ, ἀντίξουν φέροιτο καὶ πολέμιον. „ Ἔγνω γάρ, φησὶν (1) ὁ βοῦς τὸν „ κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ. Καὶ (2) „ Ἀσίδα ἐν τῷ οὐρανῷ ἔγνω τὸν καιρὸν αὐτῆς, τρυγὼν, „ καὶ χελιδὼν ἀγροῦ, στρουθία ἐφύλαξε καιροὺς εἰσόδων ἑαυ„τῶν· ὁ δὲ λαός μου οὗτος οὐκ ἔγνω τὰ κρίματα Κυρίου. „ Καὶ ἴθι πρὸς τὸν μύρμηκα ὀκνηρὲ, καὶ ζήλωσον ἰδὼν „ τὰς ὁδοὺς αὐτοῦ, καὶ γενοῦ ἐκείνου σοφώτερος. (3) Τέσσαρα „ δέ ἐστιν ἐλάχιστα ἐπὶ τῆς γῆς, ( μύρμηξ ) οἱ χοιρογρύλ„λιοι (4), Ἀκρὶς, καὶ Καλαβάτης. (5) Ταῦτα δέ ἐστι σοφώ„τερα τῶν σοφῶν. (6) Ταῦτα οὖν καὶ τὰ τοιαῦτα τίνα ἔχει οἰκειότητα λόγου, περὶ ἀναισθήτων πάντῃ μηχανημάτων λεγόμενα; ἢ πῶς οὐ ψευδῆ προφανῶς ἐλεγχθήσεται, τὸ βλασφημότατον; ἢ ἀνθρωπίνως εἰρημένα ( ὃ σύνηθες αὐτοῖς λέγειν ) μεταληφθήσεται; Ἀλλ᾽ οὔτε λόγος ἐστὶν ἐνταῦθα τις ὁ ἀ-

(1) Ἡσαΐας Κεφ. Α΄.

(2) Ἱερεμ. Η΄. Ἀσίδα· ὁ μὲν Ἀκύλας ἐρωδιὸν ἐξέδωκεν· ὁ δὲ Ὀλυμπιόδωρος, Ἰνδικὸν ἐστὶ, φησὶ, γένος ὀρνέου ἡ Ἀσίδα· ὁ δὲ Σύμμαχ. ὁ Ἴκτιν.

(3) Παροιμ. ς΄.

(4) Χοιρογρύλλιος. Οἱ μὲν εἶδος ἰχθύος εἶναι φασὶν, οἱ δὲ τοὺς λαγωοὺς, οἱ δὲ τοὺς καλουμένους οἴστρους.

(5) Καλαβώτης. Ἰχθύος εἶδος, ἢ σαύρας.

(6) Παροιμ. κδ΄.



ὁ ἀναγκάζων, ἐπὶ τὸ ἀνθρωπικώτερον τὰ τοιαῦτα μεταλαμβάνειν τε καὶ ἐκδέχεσθαι, οὔθ᾽ οἱ τῶν θείων λογίων ἑρμηνευταὶ, καὶ ἱεροφάντορες, ἄλλως, ὅ,τι μὴ κυρίως τε καὶ ἀληθῶς εἰρημένα, ἐξέλαβον. Οὐδ᾽ ἂν ψεύσοιτο, ἄπαγε! ἡ αὐταλήθεια. Ὥστε οὐδὲ γνώσεως ὁποιασοῦν αἰσθητικῆς ἀπογυμνωτέον τὰ ζῶα τὰ ἄλογα.

## Θεώρημα Μ΄.

§. ψπα΄. „ Οὔθ᾽ ἡ λοιπὴ δὲ περὶ τῆς ἐν τοῖς κτήνε„σιν αἰσθητικῆς ψυχῆς δόξα, ἀτοπίας οἱασοῦν καθαρεύει, „ ἀπαντᾷ δὲ καὶ αὐτὴ ἀπορίαις ταῖς χαλεπωτάταις.

Λοιπὴ δέ ἐστι, τὸ μηδὲ ἄϋλόν τι πνεῦμα πεφυκέναι ( §. ψοζ΄. ψοη΄. ) οὐδὲ τῆς κατὰ γνῶσιν ἀντιλήψεως, μὴ τέλεον ἀμοιρεῖν. ( §. ψοθ΄. ψπ΄. ) ἡ λοιπὴ δόξα συνελόντι φάναι περὶ τῆς κτηνώδους ψυχῆς, αὕτη ἐστὶν, ἡ τὴν γνῶσιν τῇ ὕλῃ συνάπτουσα. ( §. ψος΄. ) Ἀλλ᾽ εἴπερ ἄρα, τῇ ἐνύλῳ τε καὶ σωματικῇ οὕτω τιθεμένῃ οὐσίᾳ ὡς δύναμις προσήκουσα τὸ γνωστικὸν ἀποκληρωθῇ, ἐν κινήσει πάντως τινὶ ἐκτελεσθήσεται τὰ τῆς γνώσεως αὐτῇ. (§. χϟς΄. χϟζ΄.) Κινήσεις δὲ σωματικὰς τὰς τοῦ γνωστικοῦ προσοχὰς ἐν ἡμῖν, ἐδείχθη μὴ εἶναι, ( §. χϟθ΄. ) οὔκουν οὐδ᾽ αἱ διὰ σωματικῶν εἰσὶ προσβολῶν ἔξωθεν ἐνεγειρόμεναι, (§. ψ΄.) οἵας δὴ τελεῖσθαι φαμὲν τὰς κατ᾽ αἴσθησιν. ( §. ψξε΄. ψξς΄. ) ὥστε οὐδὲ ἐπὶ τῶν κτηνῶν τοιαύτας ὑπολαμβάνειν εἰκὸς, εἰ κυρίως καὶ τούτων αἰσθήσεις εἰσίν. ( §. ψξθ΄. ) Ἢ γνώσεις τὰς ἐκείνων θετέον μὴ τοιαύτας, οἵας δὲ αὐτοὶ ἀγνοοῦμεν; Καὶ μὴν αὐτὸ τοῦτο οὐδὲν ἧττον ὑπολειφθήσεται ἀπορώτατον, πῶς ἂν διὰ κινήσεως σωματικῆς γνωστική τις ἀντίληψις, καὶ κρίσις ὁποιαδήποτε ὑποσταίη. (§. χϟς΄. χϟζ΄.) Ἔτι δὲ οὐδὲ αἱ ἀναμνήσεις πάντῃ πάντως σωματικαὶ κινήσεις εἰσίν. ( §. ψα΄. ) Ὅρα καὶ τὰ πλείω τῶν εἰρημένων, ἀπὸ §. χϟς΄. ἄχρι §. ψς΄.

Σχό-

## Σχόλιον.

§. ψπβ'. „Ἤκεν γηθήσαι Πρίαμος Πριάμοιό τε παῖδες,
„Ἄλλοι τε Τρῶες, μέγα κεν κεχαροίατο θυμῷ.

Οὐδὲν γὰρ ἄλλο. Ἐπίκουρος, καὶ οἱ ἐκείνου πάντες συνθιασῶται, ὅσοι τε παλαιοί, καὶ ὅσοι νεώτεροι, ἥδιον ἂν ἀκούσαιεν, ἢ τοῦτο σφίσιν ὁμολογούμενον, μὴ πάντῃ δηλονότι ἀποπεφυκέναι τὴν ἔνυλον φύσιν πρὸς νόησιν. Οὕτω γάρ τοι καὶ τὰς ἀτόμους τὰς ἑαυτοῦ προχειρίζεται Δημόκριτος, καὶ οἱ μετ' ἐκεῖνον· ὅ,τε Ἐμπεδοκλῆς τὰ κατ' αὐτὸν στοιχεῖα τὰ τέτταρα. Καὶ Ἡράκλειτος τὴν ἀναθυμίασιν, καὶ Ἵππων τὸ ὕδωρ, καὶ Κριτίας τὸ αἷμα, ὅ,τε Δικαίαρχος, τὴν ἁρμονίαν. (§. ψκγ'. ψκδ'.) Καὶ Λώκιος δὲ ὑποστήσεται τὴν αὐτοῦ ἡμῖν ὕλην, ὡς δεκτικὴν τὴν αὐτὴν ἐκτάσεώς τε, καὶ γνώσεως, καὶ ὁ Ὡββέσιος τὰς σωματικὰς ἐνεργήσεις τε, καὶ ἀντιδράσεις, εἰς ἐννοιῶν σύστασιν ἀποχρῆναι ἡγήσεται, καὶ πάντες ἁπλῶς οἱ Materialistæ, τοῦτο δέ ἐστιν Ὑλῖται, καθ' ἡμᾶς ἀκούοντες, διὰ τὸ μηδέν, παρὰ τὰ ἔνυλα τῶν ὄντων, ἄλλο ὑποδέχεσθαι, πάντες τὰ νικητήρια ᾄσονται. Τοῦτο γὰρ αὐτοῖς τὸ σπουδαζόμενον ἦν, τὸ μηδὲν ἀπροσφυῶς ἔχειν τὴν σωματικὴν οὐσίαν πρὸς τὸ νοεῖν· τούτου δὲ δοθέντος, καὶ ἡ ἐν ἡμῖν ψυχὴ σῶμα, καὶ οὐδ' ἁπλῆ, οὐδ' ἀθάνατος, σωματικὴ γάρ, καὶ αὐτῷ συνδιαλυομένη τῷ σώματι. Τί γὰρ ἄλλο κρεῖττόν τε, καὶ ἰσχυρότερον, εἰς κατασκευὴν τοῦ ἀθανάτου τῆς ψυχῆς ἐλαμβάνετο, ἢ τὸ ἄϋλον; Πόθεν δὲ τὸ ἄϋλον ἐκεῖνο συνεπεραίνετο, ἢ ἐκ τοῦ τῆς γνωστικῆς μετέχειν δυνάμεως; Τὸ γάρ, ὡς ἑτεροίαν τις ἐπανατείνεσθαι θέλειν, ἡ τῶν ἀλόγων κατ' αἴσθησιν γνῶσις, τῆς ἀνθρωπίνης, καὶ ἡμετέρας, οὐδὲν ὀνίνησιν. Ἑτεροία γάρ τις, ἐροῦσι, καὶ ἡ τῶν κτηνῶν κρᾶσις καὶ σύστασις, ὕλη γεμήν, τὸ κριτικὸν πλουτοῦσα, οὐκ ἄνευ τῆς τριττῆς διαστάσεως. Τὸ γὰρ νοεῖν, ἐξ ἀφορμῆς κινήσεως τινὸς τῆς ἐπισκηπτούσης τῷ σώματι (τοῦτο γὰρ δὴ ἐτίθετο τὸ αἰσθάνεσθαι) (§. ψξέ. ψξς'.), ἐκ μὲν τῆς ἀρχῆς, ὑφ' ἧς τὸ εἰς γνῶσιν ἐνδόσιμον, καὶ τοῦ πέρατος ὅ ἐστι τὸ γνωστόν, ἔχει τινὰ διαφοράν. Καθ' αὐτὸ δέ, καὶ εἰδικῶς οὕτω φάναι, ἡ ἐνέργειά τις ἐστὶν δυνάμεως γνωστικῶς ἀντιληπτικῆς, οὐδεμίαν. Οὐδ' ἐκεῖνα δέ, αὖτις πρὸς διάκρισιν, τοῦ ἐν ἀνθρώποις, καὶ τοῖς ἄλλοις ζώοις γνωστικοῦ μορίου, ἀπαντήσειε, τὸ ἡμᾶς μὲν νοεῖν ὀξύτερον πεφυκέναι, καὶ τελεώτερον, τὰ δὲ νωθέστερά πως εἶναι πρὸς τοῦτο, καὶ ἀφυέστερα. Καὶ τοὺς μὲν κρίνειν τε καὶ διανοεῖσθαι, τὰ δὲ οὐδαμῶς, οὐδ' ἐκεῖνα οἶμαι εἰς ἐκφυγὴν τῶν περιϊσταμένων ἀτόπων ἀρκέσει. Ἐροῦσι γάρ, οἱ Ὑλῖται οὗτοι, τὸ κοινῇ ἀξιούμενον ἐκεῖνο ὑπὲρ ἑαυτῶν προβαλλόμενοι, ὡς ἐκ τοῦ μᾶλλον καὶ ἧττον, οὐδεμία οὐσιώδης διαφορὰ τοῖς πράγμασι προσεγγίνεται. Ὅτι καὶ τῶν ἀνθρώπων πολλοί, οὕτω βλᾶκές εἰσι, καὶ ἠλίθιοι, ὡς μηδὲν εἶναι δοκεῖν τὰς κρίσεις, καὶ τῶν ἀλόγων βελτίονες. Ὅτι περὶ ἃ καθήκει αὐτοῖς, καὶ τὰ κτήνη κρίνειν ἐοίκασι, τάς τε ὁμοιότητας τῶν πραγμάτων, καὶ τούτων τὰς διαφοράς, εὐφυῶς διακρίνοντα, καὶ γνωρίζοντα· ὅτι τέως καὶ τὴν κατὰ διάνοιαν ἐνέργειαν οὐδὲ ταῦτα πάντῃ ἀφῄρηται. Ὁ γὰρ ἐκ (1) τοῦ Χρυσίππου, παρὰ τῷ Σέξτῳ τῷ Ἐμπειρικῷ, τοῦ κυνὸς θρυλλούμενος συλλογισμός, καὶ πᾶσι μὲν ὤν, καὶ τῷ μεγάλῳ δὲ Βασιλείῳ (2) ἀνήνεκται. „Ἃ γὰρ οἱ κατὰ πολλὴν σχολὴν τοῦ βίου
„καθεζόμενοι, μόλις ἐξεῦρον, οἱ τοῦ κόσμου σοφοί, τὰς
„τῶν συλλογισμῶν λέγω πλοκάς, ταῦτα δείκνυται παρὰ
„τῆς φύσεως ὁ κύων πεπαιδευμένος. Τὸ γὰρ ἴχνος τοῦ
„θηρίου διερευνώμενος, ἐπειδὰν εὕροι αὐτὸ πολυτρόπως σχι-
„ζόμενον, τὰς ἑκασταχοῦ φερούσας ἐκτροπὰς ἐπελθών, μο-
„νονουχὶ τὴν συλλογιστικὴν φωνὴν ἀφίησι δι' ὧν πράσσει·
„ἢ τήνδε, φησίν, ἐτράπη τὸ θηρίον, ἢ τήνδε, ἢ ἐπὶ
„τόδε τὸ μέρος. Ἀλλὰ μὴν οὔτε τήνδε, οὔτε τήνδε, λει-
„πόμενόν ἐστι, τῇδε ὡρμῆσθαι αὐτό· καὶ οὕτω τῇ ἀναιρέ-
„σει τῶν ψευδῶν, εὑρίσκει τὸ ἀληθές. Τί περιττότερον
„ποιοῦσιν οἱ ἐπὶ τῶν διαγραμμάτων σεμνῶς καθεζόμενοι,
„καὶ τὴν κόνιν καταχαράσσοντες, τριῶν προτάσεων ἀναιροῦν-
„τες τὰς δύο, καὶ ἐν τῇ λειπομένῃ τὸ ἀληθὲς ἐξευρίσκον-
„τες;



(1) Βιβλ. Α'. Πυῤῥων. Ὑποθ. Κεφ. ΙΔ'.
(2) Βασίλ. Ὁμιλ. Θ'. εἰς τὴν Ἑξαήμ.

„τες; Ἀλλὰ ταῦτα μὲν οὕτω. Ἐκεῖνο δὲ αὖθις, ὅτινες πρὸς διαφορὰν τῆς ἐν ἀνθρώποις καὶ κτήνεσιν αἰσθητικῆς δυνάμεως προτείνειν εἰώθασι, αἰσθήσεως μὲν, γνώσεως δὲ οὐδ᾽ ἧς τινοσοῦν μετεῖναι τοῖς κτήνεσι λέγοντες, λόγου ἥκιστα ἔχεσθαί μοι δοκεῖ. Πῶς γὰρ αἴσθησιν ἔχει, εἰ μὴ καὶ γνῶσιν; (§. ψξς'. ψξθ'.) „τοῦ γάρ τοι ζώου, οὐ μόνον τὸ „γεννῆσαι ἔργον (τοῦτο γὰρ κοινὸν τῶν ζώντων πάντων.) „ἀλλὰ καὶ γνώσεώς τινος πάντα μετέχουσι, τὰ μὲν πλείο„νος, τὰ δ᾽ ἐλάττονος, τὰ δὲ πάμπαν μικρᾶς. Αἴσθησιν „γὰρ ἔχουσιν. Ἡ δ᾽ αἴσθησις γνῶσίς τις. (1)

## Σχόλιον Β'.

§. ψπγ'. Περὶ μὲν οὖν τοῦ δυσχεροῦς προβλήματος, ὥσγε τὸ δυσέφικτον τοῦ ζητουμένου συνιδεῖν, καὶ τὸ πλημμελὲς, καὶ σφαλερὸν τῶν κατ᾽ ἄλλους περὶ τούτου δοξασιῶν ἀπελέγξαι, τοσαῦτα. Αὐτοὶ δὲ, τί δήποτε προελοίμεθα; ἢ τὸ ἀπορεῖν ἐν οἷς δίκαιον. Οὐδὲ γὰρ, οὐδὲ τοῦτο ἄλλως ὀλιγωρητὸν, τὸ εἰδέναι, ἅ,τε ἀποροῦντας διερευνᾶσθαι χρὴ, καὶ οἷς ἄλλοι, καίτοι πολλὰ καμόντες, τοῦ τέλους διήμαρτον. Ἐμοὶ γοῦν ταῦτα ἀμφότερα ἀεὶ πρόσεστι, καὶ νοῆσαι χαλεπὰ, καὶ διερμηνεῦσαι ἀδύνατα, ὅπως τε ἡ ἄϋλος φύσις ἔχει, πρὸς τὴν φύσει παροπηδοῦσαν τῇ ἐνύλῳ ἔκτασιν· (§. φκα'.) καὶ ὅπως ἡ ἐπὶ τῶν κτηνῶν ἄϋλος, πρὸς τὴν προσήκουσαν τῇ ἀΰλῳ γνῶσιν. Τὴν μὲν γὰρ, καὶ ταύτῃ ἀφελεῖν ἐκείνης, οὐ ξυνετὸν, καὶ προσάψαι ἄτοπον· (§. Αὐτ.) τὴν δὲ, καὶ προσάψαι ταύτῃ χαλεπὸν, (§. ψπα'. ψπβ'.) καὶ τὸ σύνολον ἀπελάσαι ἄλογον. (§. ψοθ'. ψπ'.) Ἀλλ᾽ αὐτὸς μὲν ὅπως ἐγὼ περὶ τούτων, ὑπ᾽ ἀγνοίας φρονεῖν ἐναγόμενος· γένοιτο δέ τις (εὐξαίμην γὰρ ἂν τὸ τοῦ Ὁμηρικοῦ Ἀγαμέμνονος) ἄλλος,

„........ Ὅς τις τῆσδε ἀμείνονα μῆτιν ἐνίσποι,
„Ἢ νέος, ἠὲ παλαιὸς, ἐμοὶ δέ κεν ἄσμενον εἴη.

Πε-

(1) Ἀριστ. Περὶ ζώων γενέσ. Βιβλ. Α'. Κεφ. ἐσχάτῳ.



# Περὶ Δυνάμεως Φανταστικῆς.

## Θεώρημα ΜΑ'.

§. ψπδ'. „Ἡ φανταστικὴ δύναμις, μόνη τῇ ἀρχῇ, ἀ„φ᾽ ἧς τὸ εἰς κίνησιν ἐνδόσιμον ἀμέσως αὐτῇ, τῆς αἰσθη„τικῆς ἐστὶ διαφέρουσα.

Ἔστι γὰρ οὐδὲν, ἢ δύναμις τῆς ψυχῆς ἀντιληπτικὴ, τῆς κατὰ τὰς ἐν τῷ ἐγκεφάλῳ τῶν νεύρων ἀρχὰς, κινήσεως, τῆς εἴθ᾽ ὑπὸ τῆς ψυχῆς, εἴθ᾽ ὑπὸ τοῦ ἐν ἐκείνῳ πνεύματος ἐνεγειρομένης, παραπλησίως τῇ ἄλλοτε κατ᾽ αἴσθησιν, τοῖς μὲν ἐκτὸς ὀργάνοις ὑπὸ τῶν θύραθεν προσβολῶν τὴν ἀρχὴν λαβούσης, ἐπὶ δὲ τὰς αὐτὰς ἀρχὰς διαδοθείσης. (§. χοβ'. χοδ'. καὶ §. ψοδ'. Ε'.) Ἐπεὶ ἄρα ἐπ᾽ ἀμφοῖν τῶν δυνάμεων, ἥτε τοῦ γνωστικοῦ ἀντίληψις μία ἡ αὐτὴ, καὶ ἡ ἀμέσως ἀντιληπτὴ ἐκείνῳ γινομένη κίνησις κοινή. Ἀφ᾽ ὧν δὲ τὸ πρὸς τὴν κίνησιν ἐνδόσιμον ἕτερα ταῦτα. Τῇ μὲν γὰρ ἡ ψυχὴ, ἢ τὸ κατὰ τὸν ἐγκέφαλον πνεῦμα ἀμέσως, τῇ δὲ τὰ ἔξωθεν τοῖς αἰσθητηρίοις προσαράττοντα πρώτως. Ἡ ἄρα φανταστικὴ δύναμις, κτλ.

## Σχόλιον.

§. ψπε'. Εἰκότως οὖν καὶ αἴσθησιν ἐσωτερικὴν τὴν φαντασίαν προσεῖπον, ἅτε δὴ δύναμιν ἀντιληπτικὴν τῶν ὑλῶν δι᾽ ἐνδοτέρων κινήσεων, τοῦτο τῆς ἐκτὸς διαφέρουσαν ὅτι αὕτη δι᾽ ἐξωτέρων. Ταύτῃ τοι καὶ ἀνάπαλιν, φαντασία τις οἷον „ἐξωτερικὴ ἡ αἴσθησις ἤκουσεν. Οὐδὲν γὰρ ἄλλο ἐστὶ φαν„τασία, ἢ μικρὰ αἴσθησις, ὥσπερ καὶ αἴσθησις σφοδρὰ ἐστὶ „φαντασία. (1) Ὁ γάρ τοι Χρύσιππος καὶ αὐτὴν τὴν αἰσθη-

(1) Φιλόπον. Ἐν Ὑπομ. εἰς τὸ Γ'. Περὶ Ψυχῆς.

θησιν φαντασίαν ἐκάλει, οὐ μόνον ὡς Ἀριστοτέλης (1) τὴν ἀμυδροτέραν, ᾗ οὐκ ἐναργῶς τοῦ αἰσθητοῦ ἀντιλαμβανόμεθα, ἀλλὰ καὶ τὴν μάλιστα ἐναργεστάτην. „ Πάθος γὰρ (2) εἶναι „ τοῦτο ἀποδίδου ἐν τῇ ψυχῇ γιγνόμενον, ἐνδεικνύμενον ἑαυ„τό, καὶ τὸ πεποιηκός. Ταύτην δὲ καὶ ἀπὸ τοῦ φωτὸς ἔλεγεν οὕτως εἰρῆσθαι· καθάπερ γὰρ τὸ φῶς αὑτὸ δείκνυσι, καὶ τ᾽ ἄλλα τὰ ἐν αὐτῷ περιεχόμενα, οὕτω τοι καὶ ἡ φαντασία δείκνυσιν ἑαυτήν, καὶ τὸ πεποιηκὸς αὐτήν. Εἰ δὲ τὴν αἴσθησιν φαντασίαν, καὶ τὸ αἰσθητὸν ἐκ τοῦ ἀκολούθου, φανταστὸν εἰπεῖν οὐκ ὤκνει. „ φανταστὸν γὰρ κατ᾽ αὐτὸν τὸ ποιοῦν „ τὴν φαντασίαν, οἷον τὸ λευκόν, τὸ ψυχρὸν κτ. Διαφορὰν δέ τινα ταῖς ὑπὸ τῆς φαντασίας ἀλλοκότοις καὶ ταραχώδεσι τῶν κινήσεων ἐπισημειούμενος „ φανταστικὸν ἐ„στίν, ὡρίζετο διάκενος ἑλκυσμός, πάθος ἐν τῇ ψυχῇ ἀ„π᾽ οὐδενὸς φανταστοῦ γινόμενον, καθάπερ ἐπὶ τοῦ σκιαμα„χοῦντος, καὶ κενὰς ἐπιφέροντος τὰς χεῖρας. Ὥστε κατὰ τὴν Χρυσίππειον δόξαν, τῇ μὲν φαντασίᾳ, (ἤτοι τῇ αἰσθήσει) ὑπόκειται τὸ φανταστὸν (τουτέστι τὸ αἰσθητόν·) τῷ δὲ φανταστικῷ οὐδέν. Νοητέον δὲ πράγματι, ἄλλως γὰρ ὑπόκειται καὶ τῷ φανταστικῷ τῇ δοκήσει τὸ φάντασμα, εἰς ὃ ἑλκόμεθα κατὰ τὸν φανταστικὸν διάκενον ἑλκυσμόν. Ταῦτα „ δὲ γίνεται ἐπὶ τῶν μελαγχολώντων, καὶ μεμηνότων. (3) Καὶ ὁ μὲν δὴ ταῦτα, αὐτοὶ δὲ τὸ ἐγγινόμενον πάθος τῇ ψυχῇ ὑπὸ ἐνδοτέρας κινήσεως, οὐ μόνον ἐκ μελαγχολίας, ἢ μανίας ταραττομένῃ, ἀλλὰ καὶ ἐν ἀταράχῳ τε, καὶ ἀκύμονι τῇ καταστάσει, οὐδὲν ἧττον διακειμένῃ, φαντασίαν ἀποκαλεῖν κυρίως εἰώθαμεν τοῖς τε κοινῇ δεδογμένοις στοιχοῦντες, καὶ τῆς τοῦ παρόντος αἰσθήσεως αὐτὴν ἀντιδιαστέλλοντες, καὶ πλὴν τῆς ἀρχῆς, ἐξ ἧς ἡ τοῦ πάθους ποιητικὴ κίνησις τῇ ψυχῇ, τ᾽ ἄλλα πολὺ τὸ ὅμοιον ἔχειν τῇ αἰσθήσει, τὴν φαντασίαν ἡγούμενοι. Τῷ γὰρ ὄντι οὐκ αὖ τις ἀπεικότως

ἂν

(1) Περὶ Ψυχ. Γ΄. Κεφ. Γ΄.
(2) Παρὰ Πλουτάρχ. Περὶ Ἀρεσκ. Βιβλ. Δ΄.
(3) Χρύσιπ. Παρὰ Πλουτάρχ. Αὐτ.



τὴν φαντασίαν, ἐφ᾽ ἡμισείας πως αἴσθησιν εἶναι ἀποφαίνοιτο. Πᾶσα γὰρ αἴσθησις καὶ φαντασίαν ἔχει, οὐχὶ δ᾽ ἀνάπαλιν. Ἐκείνῃ μὲν γὰρ ἀπὸ πέρατος εἰς πέρας χωρεῖ τὸ πάθος, τῶν μὲν ἀρχόμενον, τῶν δ᾽ ἀπολῆγον, (§. ψό. ψοά.) ταύτῃ δὲ κατὰ θάτερον μόνον συμβαίνει· ἐνταῦθα γὰρ ἡ ἀλλοίωσις ἔνθα δὴ καὶ ἡ ταύτης ἀντίληψις. Καὶ ἔστιν, ὡς ἁπλῶς εἰπεῖν ἡ φαντασία τῆς αἰσθήσεως οἷον τὰ τελευταῖα. Ἄλλως τε δὲ καὶ ὑποκείμενον ἐστὶ τὸ αὐτὸ δυνάμεως ἑκατέρας, ἡ τῶν νεύρων, ὡς εἴρηται, ῥίζα. Αἴσθησις γὰρ καὶ „ φαντασία τῷ μὲν ὑποκειμένῳ ταὐτά, τῷ δὲ λόγῳ ἕτε„ρα. (1) Καὶ ἀντικείμενα τὰ αὐτά, τὰ σωματικὰ τῶν ὄντων, καὶ ἔνυλα, καὶ κατὰ μέρος. Οὐδὲν τε φανταστικῶς τῇ ψυχῇ τυγχάνει ἀντιληπτόν, οὗ μὴ φθάσας δι᾽ αἰσθήσεως ὁ ἐγκέφαλος τὰ ἴχνη προαπεδέξατο. „ Ἡ γὰρ φαντασία κίνη„σίς τις δοκεῖ, καὶ οὐκ ἄνευ αἰσθήσεως γίγνεσθαι. (2) Ἀλλ᾽ εἰ καὶ τούτοις οὕτω συμφωνεῖ τῶν δυνάμεων ἑκατέρα, ἔχουσί γε μὴν καί τινας διαφορὰς πρὸς ἀλλήλας, ἃς ὁ Σταγειρίτης κατέλεξεν. (3) Εἰσὶ δὲ αὗται. Α΄. „ ὅτι ἐν ὕπνοις „ φανταζόμεθα μέν, οὐκ αἰσθανόμεθα δέ. Β΄. ὅτι αἴσθη„σις, φησίν, ἀεὶ πάρεστι, φαντασία δ᾽ οὔ. Τὰ γὰρ νεο„γνὰ (ὡς διερμηνεύει τὸ χωρίον ὁ Φιλόπονος) (4) „ οὐ φαντάζεται, βδάλλει γὰρ πάντα μαστόν, κἂν λίθινος „ ᾖ, κἂν βόειος, κἂν οἷος οὖν, ὕστερον δὲ τὸν τῆς μητρὸς „ μόνον.... Καὶ πάλαι δὲ προσομιλήσαντα, καὶ καέντα, „ πάλιν προσβάλλουσι τῷ πυρί. Ἀλλὰ γὰρ πρὸς ταῦτα οὐχ ὑγιὴς εἶναι μοι δοκεῖ, πεπονηκυῖα δὲ σφοδρῶς ἡ κατὰ Φιλόπονον κρίσις θεραπείας μόλις ἂν τύχοι τινός. Τί γάρ, ὅτι βδάλλει πάντα μαστόν, μὴ καὶ ἀναισθητεῖ; ἄμεινον δὲ λέγειν, ὡς οὐ μνημονεύει, οὐδὲ ἐκ προλήψεων κρίνει· φαντάζεσθαι δὲ καὶ αὐτὰ πᾶσα ἀνάγκη, ἐπεὶ καὶ αἰσθάνεται, οὐ-

δὲ

(1) Μιχαὴλ Ἐφέσ. ἐν Προοιμ. τοῦ περὶ μνήμ. καὶ ἀναμν.
(2) Ἀριστ. Περὶ Ψυχ. Βιβλ. Γ΄.
(3) Αὐτ. Αὐτ.
(4) Ἐν Ὑπομν. εἰς τὸ Γ΄. τῶν περὶ Ψυχ.

δὲ γὰρ ἂν χωρὶς εἴη ποτὲ αἴσθησις φαντασίας, εἰ καὶ φαντασία εἶναι ἐνδέχεται ἄνευ αἰσθήσεως. Διό μοι δοκεῖ, καὶ τὸν Φιλόσοφον νοεῖν ἐθέλειν, μὴ ἀεὶ παρεῖναι τὴν φαντασίαν τὴν μετὰ κρίσεως. Ἐπειδὴ γὰρ τοῖς ἀρτιγεννήτοις, οὐχ οἵα ἐστὶν ἡ τοῦ ἐγκεφάλου οὐσία ἁπαλωτέρα οὖσα, ἀσύγχυτα κατέχειν τὰ ἐν αὐτῇ ἐναποτυπούμενα, ταύτῃ τοι καὶ περὶ τὰς ἐξ αὐτῶν προλημμένας σφάλλεται κρίσεις, καὶ τῆς τοιᾶσδε φαντασίας μόνης λέγεται ἀμοιρεῖν, αἴσθησιν δὲ ζῶα ὄντα, ἀεὶ ἔχει. Γ'. „ ὅτι οὐ δοκεῖ φησὶ (1) πᾶσι „ τοῖς θηρίοις φαντασίαν ὑπάρχειν, οἷον μύρμηκι, ἢ με„λίττῃ, ἢ σκώληκι. Ἔχει δὲ καὶ τοῦτο ἀπορίαν, πῶς γὰρ ἂν ἐπίσταιντο τὰς καταδύσεις τὰς ἑαυτῶν οἵτε σκώληκες, καὶ οἱ μύρμηκες μάλιστα, καὶ αἱ μέλιτται τὰ σμήνη, εἰ μὴ καὶ ἀπόντων ἔφερον τὰ ἀποτυπώματα; Δ'. „ ὅτι αἱ μὲν ( αἱ „ αἰσθήσεις ) ἀληθεῖς αἰεὶ, (2) ( αἷς τῶν ὄντων παραστατι„καὶ ) αἱ δὲ φαντασίαι γίνονται αἱ πλείους ψευδεῖς, ὡς „ ἄρα καὶ τὰ μὴ ὄντα ἰνδαλλόμεναι. Ε'. (3) ὅτι αἱ αἰσθή„σεις ἐναργεῖς, αἱ δὲ φαντασίαι ἀμυδραί. Οὐ γὰρ λέ„γομεν, ὅταν ἐνεργῶμεν, ἀκριβῶς περὶ τὸ αἰσθητὸν, ὅτι „ φαίνεται ἡμῖν τοῦτο ἄνθρωπος, ἀλλὰ μᾶλλον ὅταν μὴ „ ἐναργῶς αἰσθανώμεθα, φαντασίας καλοῦντες τὰς ἀμυδρὰς τῶν αἰσθήσεων. (§. χοβ'.) ϛ'. „ ὅτι (4) φαίνεται καὶ μύου„σιν ὁράματα· ἥτις διαφορὰ παραπλησία ἐστὶ σχεδὸν τῇ πρώτῃ. Ὡς μὲν οὖν αἱ τεθεῖσαι διαφοραὶ ἅπασαι, πλὴν τῆς Β'., καὶ Γ'., περὶ ἃς καὶ λόγος τις ὕπεστιν ἀμφιβολίας, ἐκ τῆς τεθείσης ἡμῖν ἐν τῷ θεωρήματι ἐξηρτημέναι εἰσὶ, ῥάδιον συνιδεῖν παραθεμένους. Ἡ γὰρ Α'. καὶ ϛ'. δι' ἐκείνην πάντως· ὅτι καὶ καθεύδουσι καὶ μύουσι, κινεῖται μὲν τὰ πρὸς τῷ ἐγκεφάλῳ τῶν νεύρων, τὰ δ' ἐπὶ τὸ ἐκτὸς αἰσθητήριον ἥκιστα, οὕτω δηλ. ὥστε τὴν κίνησιν ἀνενεγκεῖν ἐπ' αὐτὴν

(1) Ἀρισ. Περὶ Ψυχῆς. Βιβλ. Γ'.
(2) Αὐτ. Αὐτ.
(3) Αὐτ. Αὐτ.
(4) Αὐτ. Αὐτ.



τὴν τὴν ἀρχὴν, ὅθεν ἡ αἴσθησις. Καὶ ἡ Δ'. δὲ, καὶ ἡ Ε'. τὸν αὐτὸν ἔχουσι λόγον· τὸ γὰρ τῷ αἰσθητηρίῳ ἐπενεργοῦν, ἤπερ ἐνεργεῖ, καὶ ὑφέστηκε. Τὸ δὲ κατὰ τὸν ἐγκέφαλον κίνημα, παραπλήσιον τῷ ἄλλοτέ ποτε γινομένῳ, καὶ ὑπὸ τῆς ψυχῆς ἔχοι ἂν γενέσθαι, καὶ τοῦ ἐκεῖσε πνεύματος. ( §. ψοδ'. Ε'. ) Τό,τε αἴσθημα, διὰ τῆς θύραθεν ἐπιούσης προσβολῆς ἐγειρόμενον, εἰκὸς εἶναι καὶ ἐναργέστερον, ἢ τὸ φάντασμα, ὅπερ ἐξωτερική τις αἰτία οὐδόλως πάρεστιν ἡ κινήσασα. ( §. Αὐτ. )

## Σχόλιον Β'.

§. ψπϛ'. Τῶν περὶ αἰσθήσεως ἀνωτέρω ( §. ψοδ'. ) εἰρημένων τὰ πλείω, εὕροις ἂν καὶ ταῖς φαντασίαις, ἐπιστήσας, ἐπαληθεύοντα, εἴπερ ἐξ ἡγουμένων τινῶν αἰσθήσεων, καὶ τὸ πᾶν αἰσθήσεις τινὲς εἰσὶ καὶ αὐταὶ ἐξ ἐνδοτέρων κινημάτων τὴν ἀρχὴν ἔχουσαι, καθάπερ εἴρηται. ( §. ψπε'. )

Α'. Οὖν ὥσπερ ἐπὶ τῶν αἰσθήσεων ( §. ψοδ'. Γ'. ) ἐλέγομεν, οὕτω κἀνταῦθα, μὴ ἴσων ἐμποιουμένων τοῖς πᾶσιν, οὐδὲ τῷ αὐτῷ ἀεὶ, τῶν κατὰ τὸν ἐγκέφαλον ἀλλοιώσεων, διαφέρειν εἰκὸς καὶ ἄλλους ἄλλων, καὶ τοὺς αὐτοὺς ἄλλοτε ἑαυτῶν τῇ δυνάμει, καὶ τοὺς μὲν παχυτέρους εἶναι, καὶ ἀφυεστέρους, τοὺς δ' ὀξυτέρους τε, καὶ ἑτοιμοτέρους· καὶ νῦν μὲν ἐμμελῶς ἔχοντας, καὶ εὐρύθμως, νῦν δὲ πλημμελῶς καὶ ἀτάκτως ταῖς φανταστικαῖς ἀντιλήψεσιν. Αἴτια δὲ, αἱ τῶν κράσεων διαφοραί· οἷον αὐτὴ δὴ τοῦ μορίου ἡ σύστασις, καθ' ὃ ἀμέσως ἡ πρὸς φαντασίαν τελεῖται κίνησις. Ἐπὶ μὲν γὰρ τῶν ἀρτιγεννήτων, καὶ δὴ, καὶ τῶν κομιδῇ παίδων, διὰ τὸ ἁπαλὸν εἶναι καὶ ἥκιστα ἀντερεῖδον, ἀτονώτεραι καὶ αἱ φαντασίαι. Ἐπὶ δὲ τῶν προσηβηκότων ἤδη, καὶ ἀνδρωθέντων, διὰ τὸ στεῤῥὸν, καὶ ἐλαστικώτερον, ἀκμαιότεραι. Γεγηρακότων δὲ ἤδη, διὰ τὸ ὑπαύχμηρον, καὶ ὑπόχαυνον, νωθρότεραι. Καὶ κατὰ τὴν αὐτὴν δὲ καθεστῶσιν ἡλικίαν, τοῖς μὲν ὁ ἐγκέφαλος εὐρύτερός τε ὢν, καὶ καθαρώτερος, καὶ βαθύτερος, καὶ λειότερος, τοῖς δὲ ὑπεναντίως πως διακείμενος πλείστην ὅσην παρέχεται τὴν διαφορὰν τῶν φαντασιῶν. Δαιμονίως ταῦτα ὁ

Πλατωνικὸς Σωκράτης ἐκτίθεται (1) καὶ διερμηνεύει. „Θὲς δή μοι λόγου ἕνεκα ἐν ταῖς ψυχαῖς ἡμῶν ἐνὸν κήρινον ἐκμαγεῖον, τῷ μὲν μεῖζον, τῷ δ' ἔλαττον, καὶ τῷ μὲν καθαρωτέρου κηροῦ, τῷ δὲ κοπρωδεστέρου, καὶ σκληροτέρου, ἐνίοις δὲ ὑγροτέρου, ἔστι δὲ οἷς μετρίως ἔχοντος. Θεαίτ. τίθημι..... Σωκρ. ὅταν οὖν ὁ κηρὸς ἐν τῇ ψυχῇ βαθύς τε καὶ πολὺς, καὶ λεῖος, καὶ μετρίως εἰργασμένος ᾖ, τὰ ἰόντα διὰ τῶν αἰσθήσεων, ἐνσημαινόμενα εἰς τοῦτο τὸ τῆς ψυχῆς κέαρ, ὃ ἔφη Ὅμηρος, αἰνιττόμενος τὴν τοῦ κηροῦ ὁμοιότητα, τότε μὲν καὶ τούτοις καθαρὰ τὰ σημεῖα ἐγγινόμενα, καὶ ἱκανῶς τοῦ βάθους ἔχοντα, πολυχρόνιά τε γίνεται, καὶ εἰσὶν οἱ τοιοῦτοι, πρῶτον μὲν εὐμαθεῖς, ἔπειτα μνήμονες. Εἶτα οὐ παραλλάττουσι τῶν αἰσθήσεων τὰ σημεῖα, ἀλλὰ δοξάζουσιν ἀληθῆ· σαφῆ γὰρ, καὶ ἐν εὐρυχωρίᾳ ὄντα, ταχὺ διανέμουσιν ἐπὶ τὰ αὐτῶν ἕκαστα ἐκμαγεῖα. Ἃ δὴ ὄντα καλεῖται. Καὶ σοφοὶ δὴ οὗτοι καλοῦνται. ἢ οὐ δοκεῖ σοι; Θεαίτ. ὑπερφυῶς μὲν οὖν. Σωκρ. ὅταν τοίνυν λάσιόν τις τὸ κέαρ ᾖ, ὃ δὴ ἐπῄνεσεν ὁ πάντα σοφὸς Ποιητὴς, ἢ ὅταν κοπρῶδες, καὶ μὴ καθαροῦ τοῦ κηροῦ, ἢ ὑγρὸν σφόδρα, ἢ σκληρὸν, ὧν μὲν ὑγρὸν, εὐμαθεῖς μὲν, ἐπιλήσμονες δὲ γίγνονται· ὧν δὲ σκληρὸν, τἀναντία. Οἱ δὲ δὴ λάσιον, καὶ τραχὺ, λιθῶδές τι, ἢ γῆς, ἢ κόπρου συμμιγείσης, ἔμπλεων ἔχοντες, ἀσαφῆ τὰ ἐκμαγεῖα ἔχουσιν· ἀσαφῆ δὲ καὶ οἱ τὰ σκληρά· βάθος γὰρ οὐκ ἔνι. Ἀσαφῆ δὲ καὶ οἱ τὰ ὑγρά· ὑπὸ γὰρ τοῦ συγχεῖσθαι ταχὺ γίγνεται ἀμυδρά. Ἐὰν δὲ πρὸς πᾶσι τούτοις ἐπ' ἀλλήλων συμπεπτωκότα ᾖ ὑπὸ στενοχωρίας, ἐάν του σμικρὸν ᾖ τὸ ψυχάριον, ἔτι ἀσαφέστερα ἐκείνων. Πάντες οὖν οὗτοι γίγνονται οἷοι δοξάζειν ψευδῆ· ὅταν γάρ τι ὁρῶσιν, ἢ ἀκούωσιν, ἢ ἐπινοῶσιν ἕκαστοι, ἀπονέμειν ταχὺ ἑκάστοις οὐ δυνάμενοι, βραδεῖς τε εἰσὶ, καὶ ἀλλοτριονομοῦντες. Παρορῶσί τε, καὶ παρακούουσι, καὶ παρανοοῦσι πλεῖστα. Καὶ καλοῦνται αὖ οὗτοι, ἐψευσμένοι τε δὴ τῶν ὄντων, καὶ ἀμαθεῖς.

Β'. Οὐχ

(1) Πλάτων ἐν Θεαιτήτῳ.



Β'. Οὐχ ὅπως δὲ ἐπ' αὐτὸ τὸ κέαρ ἀναθετέον τὰς διαφορὰς ταύτας, ἀλλὰ καὶ ἐπὶ τὸ ζωτικὸν πνεῦμα, ἀφ' οὗ ἀμέσως ἐκείνῳ ἐμποιεῖται ἡ κίνησις, ἧς αὐτὸ οὐδὲν ἐκμάσσεται. Τοῦ γὰρ πνεύματος ἐνδείᾳ τε, καὶ νωθείᾳ, ἀμυδρότερα πάντως τὰ ἐκμαγεῖα, ἣν δὲ δαψιλέστερον ᾖ, καὶ μᾶλλον ὀξυκίνητον, ζωηρότερα. Καὶ πάλιν οὕτως ἔχοντι τῷ εἰρημένῳ πνεύματι, ἐὰν ἡ ἀπαιτουμένη λεπτότης προσῇ, ὁμαλαὶ γενήσονται αἱ ἀνατυπώσεις, καὶ ἀτάραχοι. Ἐὰν δὲ τραχύτης τις, ἐκ δυσκρασίας ἢ διαίτης πλημμελοῦς, ἐγγένηται, πολὺ κἀντεῦθεν ταῖς φαντασίαις, τὸ ἀνώμαλόν τε καὶ ταραχῶδες. Διὸ καὶ ἀὴρ ὁ εὐκραής τε καὶ εὔπνους, ἢ τοὐναντίον, ὡς ἄρα διὰ τῶν κλοναρίων τῆς τραχείας καλουμένης ἀρτηρίας, τὰ τῆς φλεβώδους εἰσιὼν, καὶ τὸ κατὰ τὴν καρδίαν αἷμα διαψύχων τε, καὶ διαρριπίζων, οὐκ ἀσυντελὴς πάμπαν πρὸς τὸ εὖ, ἢ μὴ, φαντάζεσθαι κρίνεται τοῖς ἀναπνέουσιν. Εἰ γὰρ πρὸς τὸ φιλοσοφεῖν ὁ θαυμάσιος Πλάτων δεξιῶς ἔχειν ὑπείληφε τὸ νοσῶδες χωρίον, ἐν ᾧ ἵδρυτο ἡ Ἀκαδημία, ἔμοιγε θαυμαστὸν, εἰ μὴ τὸ φιλοσοφεῖν ἠθικώτερον ἐκλάβοι τις, τὴν τῶν ἀτιθάσσων τε καὶ δυσαγώγων ὀρέξεων ἀπονέκρωσιν, πρὸς ἣν τὸ νοσῶδες τοῦ χωρίου, οὐ μικρὰν παρείχετο τὴν συντέλειαν. Διαφέρει δὲ πολὺ, καὶ τὸ σιτίοις χρῆσθαι εὐχύμοις, ἢ δυσχύμοις, καὶ τούτοις συμμέτρως, ἢ ἐν ἀμετρίᾳ, εἰς ἀρετὴν τοῦ φανταστικοῦ, ἢ κάκωσιν, ὡς ἐξ ὧν ὁ χυλὸς, ἐξ οὗ τὸ αἷμα, ἐξ οὗ τὰ πνεύματα, δι' ὧν τὰ φαντάσματα. Δηλοῦσι δὲ τοῦτο οἱ κραιπαλῶντες, καὶ οἰνωμένοι. Διὸ καὶ τὸ (1) „πουλύποδος κεφαλὴ, ἐν μὲν κακὸν, ἐν δὲ καὶ ἐσθλόν. Ὅτι τῷ βρωθῆναι μὲν ἐστὶν ἥδιστος, δυσόνειρον δὲ ὕπνον ποιεῖ, φαντασίας ταραχώδεις, καὶ ἀλλοκότους δεχόμενον, ὡς λέγουσιν. Καὶ ὅλως καὶ ἐκ πολλῶν ἄλλων μεταβολῶν τῶν κατὰ τὸ σῶμα γινομένων, αἱ φαντασίαι ποικίλλονται· οἷον οἱ πυρέσσοντες σφοδρῶς, παραπαίουσι, καὶ οἱ πληθωρικοὶ κινδυνεύουσι.„ Καὶ οἱ μελαγχολικοὶ φανταστικοί εἰσι· τὸ γὰρ

„ τῇ

(1) Παρὰ Πλουτάρχ. ἐν τῷ πῶς δεῖ τὸν νέον Ποιημάτων ἀκούειν.

„τῇ φαντασίᾳ ἀκολουθεῖν ταχέως, μελαγχολικὸν εἶναι ἐστί. Διὸ καὶ οἱ ἰσχνόφωνοι μελαγχολικοί, προτερεῖ γὰρ ἡ ὁρμὴ τοῦ λέγειν τῆς δυνάμεως αὐτοῖς, ὡς θᾶττον ἀκολουθούσης τῆς ψυχῆς τῷ φανέντι. (1)

Γ'. Ὡς ἐπὶ τῶν αἰσθήσεων (§. ψοδ'. Η'.) οὕτω τοι καὶ τῶν φαντασιῶν, τῶν μὲν, τῷ νεύματι τῆς ψυχῆς πειθαρχουσῶν, ἔνιαι (ὅσαι δήποτε ἐκ μὴ ἑκουσίων τελοῦνται εἰσὶ τοῦ πνεύματος κινημάτων) εἰσὶν ἀναγκαῖαι· ἐνίων δὲ οὐδ' ἀποσοβοῦσα ἡ ψυχὴ τὰς ἀνατυπώσεις, ἀπαλλάττεσθαι δύναται. Καὶ ἀληθὲς ἄρα τὸ τοῦ Πλουτάρχου πρὸς Κολώτην „ὅτι τὸ φανταστικὸν, οὐδὲ βουλομένοις ἀνελεῖν ἐστίν, ἀλλ' ἀνάγκη προσεντυγχάνοντας τοῖς πράγμασι τυποῦσθαι, καὶ πάσχειν ὑπ' αὐτῶν. Καὶ αὐταὶ δὲ τῶν πραγμάτων πολλάκις ἐκ μοχθηρᾶς ἕξεως ἀπαραίτητοι αἱ φαντασίαι, τοιαῦται δὲ μάλιστα αἱ ὑπὸ πάθους τοῖς κάμνουσιν ἐγγινόμεναι. Καὶ πολλοὶ δὲ διὰ τοῦτο οἷς ἂν σφοδρῶς ἰνδάλλοιντο, ἐμμένουσιν ἀκλινῶς, καὶ εἰσὶ τῷ λόγῳ οἱ τοιοῦτοι ἀμετάπειστοι. „Τοῦ γὰρ ἐν ἐμοὶ (φησὶν ὁ Ὀλλανδὸς „Βοεράβης (2)) κοινοῦ αἰσθητηρίου οὕτω διακειμένου, ὡς ὅτε, κύκλον ἐρυθρὸν πρὸ ὀφθαλμῶν ἔχοντι, τοῦτο ἂν ὁρᾶν ἀναμφηρίστως διατειναίμην, κἂν ἐμοὶ διακόσιοι περιεστῶτες, μηδὲν τοιοῦτο παρεῖναι, οἷον ὁρᾶν δοκῶ, διισχυρίζοιντο. Ἔνθεν τοι τοὺς τοιούτους οὐ λόγοις μεταπείθειν ἐπιχειρεῖν παραινεῖ, μᾶλλον δὲ συγκατατίθεσθαι μὲν τὴν ἀρχὴν, ἀφορμῆς δὲ παρεμπεσούσης, δι' ἀντιθέσεώς τινος φυσικῆς τε, καὶ ἀνεπιτεχνήτου, τῆς καταχύσεως παραφροσύνης θεραπεύειν πειρᾶσθαι. (3)

Δ'. Ἄλλο δ' ἐστὶ φαντασιῶν εἶδος ἐκεῖνο, ἅσπερ αἰσθήσεις αὐτόσχημα εἶναι τὴν ἀφὴν αὐτοῖς διατιθείσας οἱ πάσχοντες ὑπερδιατείνονται, ὧν ὁ καρπὸς νόσος, καὶ τὰ πολλὰ θάνατος·

(1) Προβλημ. Ἀριστ. Τμήμ. ΙΑ'. Προβλ. ΛΗ'.
(2) Ἐν ταῖς Ἰατρικ. Στοιχειώτ. Τόμ. Δ'. Ἀρ. 586.
(3) Αὐτ. Αὐτ.



οἷον ὄναρ ἐδόκει ἐκεῖνος, ἐκ μαρμάρου λίθινον εἶναι αὐτοῦ τὸ ἀπὸ κεφαλῆς ἕως ποδῶν ἡμίτομον, τὸ δὲ λοιπὸν, ὥσπερ εἶχε, σάρκινον. Ἀφυπνισθέντι δὲ, ἀποπληξία ἰσχυρὰ ἐμπεσοῦσα, τὸ ὄναρ ὕπαρ ἐποίησεν, ἡμιανδριάντα, οἷον ἀποφήνασα τὸν ἄνδρα. Καὶ τῷ ποδὶ δέ τινος φλεβοτομουμένου, ἡ θεράπαινα παροῦσα, καὶ τὸν λύχνον ἐπὶ τῇ χειρουργίᾳ προσάγουσα, σφοδρῶς οὕτω τῇ φαντασίᾳ πρὸς τὴν νύξιν ἐπλήγη καταδείσασα, ὡς διὰ πολλῶν ἡμερῶν κειμένην, ὀδυνῶν δριμυτάτων ἐν τῷ μέρει αἰσθάνεσθαι. (1) Ὁ δέ τις εἰς ὄγκον οὕτω γιγάντειον, καὶ ὑπερφυῆ αὐξῆσαι πεφαντασό τε, καὶ ἀνεπέπειστο, ὡς μηδὲ τοῦ δώματος, οὗ ἦν, ἐκκύπτειν τολμᾶν, μὴ κατὰ τὴν, δι' ἧς διέλθοι πύλην, συνθλασθείη διὰ στενοχωρίαν ὑφορώμενος. Ἐπεὶ δὲ βίᾳ αὐτὸν ἐξελκυσθῆναι, ὁ τὴν θεραπείαν τὴν αὐτοῦ ἀνειλημμένος, ἐκέλευσεν, ἀντέχων μὲν τὰ πρῶτα, καὶ ἀντερείδων τὼ πόδε, καὶ τρόπον πάντα ἐνιστάμενος, εἶτα ἐν τῷ ἐξέλκεσθαι ὡς ἄρα τῷ ὄντι τὰ ὀστᾶ πάντα συντριβεὶς κατωδυνώμενος, μετ' οὐ πολὺ, καὶ τοῦ ἀλγεῖν, καὶ τοῦ ζῆν ἀθλίως παύσασθαι λέγεται. (2)

Ε'. Καὶ τὸ θαυμαστὸν δὲ ἐκεῖνο, τὸ πολλοῖς ἐπισυμβαίνειν ὁρώμενον, ἐντεῦθεν συνιδεῖν ἂν εἴη, ὅπως καὶ ἐν βαθυτάτοις τοῖς ὕπνοις, λέγουσί τε, καὶ ᾄδουσι, καὶ τῆς κλίνης ἀνεγρόμενοι, βαδίζουσι καὶ πλεῖστα ποιοῦσιν, ὡς εἰ καὶ ἐγρηγορότες ἐτύγχανον ἐπιχειροῦντες τοῖς πράγμασι. Πλυμμύρα γὰρ οἱονεί τις τούτοις τοῦ πνεύματος γίνεται, δαψιλεστέρου τε ἐπιρρέοντος, τοῖς μέλεσι, καὶ ὀξυτέρου ὄντος εἰς κίνησιν, καὶ τὰ ὄργανα εὐτόνως ἄγοντος καὶ φέροντος ᾗ πεφύκασιν ὅτε κατὰ κέλευσμα τῆς ψυχῆς, αἱ τοιαίδε, ἢ τοιαίδε κινήσεις περαίνονται. (§. ψοδ'. Ε'.)

ς'. Ὥσπερ οὖν αἴσθησις αἴσθησιν ἀμαυροῖ καὶ ἐξαφανίζει, ἡ σφοδροτέρα τε καὶ ἐπικρατεστέρα τὴν ἥττονα· (§. ψοδ'. Θ'.) οὕτω τοι κἀπὶ τῶν φαντασιῶν συμβαίνειν εὔλογον. Ἐπεὶ δὲ

(1) Μαλεβράγχ. Περὶ Ζητήσ. Ἀληθ. Μέρ. Α'. Κεφ. Ζ'.
(2) Παρὰ Ἀιδελέλλῳ Φυσικ. Μέρει Δ'. Κεφ. ΙΕ'.

δὲ κατὰ τὴν αἴσθησιν, εὐτονωτέρα ἡ τοῦ ἐγκεφάλου κίνησις, ἡ δὲ κατὰ τὴν φαντασίαν ἀμυδροτέρα, (§. ψπέ.) διὰ τοῦτο δὴ, καὶ τοὺς ὀφθαλμοὺς μύειν εἰώθασιν, οἱ ἀκριβῶς τι φαντασθῆναι βουλόμενοι, καὶ ἐν σκότῳ ἀναπολεῖν τὸ [illegible]ζόμενον, καὶ τὸ ἔξω θορύβων γίνεσθαι πειρῶνται, καὶ ἐφ' ἡσυχίας τοῦ προκειμένου ἐμμελετᾶν, ἐπιτόνιόν τι οἷον τοῦ γνωστικοῦ τοῦτο ἡγούμενοι αὐτοῖς ἔσεσθαι, εἰ τῶν ἄλλων φαντασμάτων ἑαυτοὺς ἀπαλλάξειαν, ὑφ' ὧν τὰ ἐπιβάλλοντα ἐπισκοτεῖταί πως, ἢ καὶ τέλεον ἀφανίζεται.

Ζ'. Ἔχει δὲ δὴ καὶ ταύτην, ἐπὶ ταῖς ἄλλαις ἡ φαντασία, πρός γε τὴν αἴσθησιν, τὴν διαφοράν· ὅτι αἴσθησις μὲν αἰσθήσει οὐδαμῶς ἀκολουθεῖ ὡρισμένως, ἀλλ' ὡς ἂν τύχοι τὰ κινοῦντα τὸ αἰσθητήριον. Φαντασία δὲ φαντασίᾳ ποιά τις ποιᾷ τινι παροπηδεῖ πολλάκις ἀκολουθοῦσα· φανταζόμεθα γὰρ τόδε σὺν τῷδε, καὶ τόδε μετὰ τόδε, ὡς ἄλλοτε πεφαντάσμεθα, ἢ προῃσθήμεθα· (§. χογ'.) τῶν ἐγκαταλειφθέντων, ἢ δοκεῖ ἀνατυπωμάτων, παραπλησίᾳ τῇ τάξει, κατὰ τὰς προηγουμένας διαθέσεις, ἡμῖν ἐνεγειρομένων.

## Θεώρημα ΜΒ'.

§. ψπζ'. „ Τὰ τῆς φανταστικῆς ἀμοιροῦν δυνάμεως, καὶ „ τῆς αἰσθητικῆς ἀμοιρεῖν ἐπάναγκες.

Ἡ γὰρ φανταστικὴ ἀντιληπτική ἐστι δι' ἐνδοτέρων κινημάτων, ὧν φθάσασα ἡ ψυχὴ διὰ τῶν ἐξωτέρων προῄσθετο. (§. χοβ'. ψπέ.) ὧν δὲ προϋποτίθεται ἡ ἐνέργεια, παρεῖναι δεῖ προηγουμένως τὴν δύναμιν. Ἄρα τὰ τῆς φανταστικῆς, κτ.

## Σχόλιον.

§. ψπή. Ὀρθῶς οὖν ὁ Πλάτων (1), ὅταν δι' αἰσθήσεως „ πα-

(1) Ἐν Σοφιστῇ.



„ ρῇ τινι τὸ τοιοῦτο πάθος, ἆρ' οἷόν τε ὀρθῶς εἰπεῖν ἕ-„ τερόν τι, πλὴν φαντασίαν; Οὐδέν. Ὀρθῶς δὲ καὶ Ἀριστο-„ τέλης (1) φησὶν, ὡς οὐκ ἄνευ αἰσθήσεως γίνεται. Προσφυῶς δὲ καὶ οἱ ὁριζόμενοι τὴν φανταστικὴν, δύναμιν τοῦ τὰς προγενομένας αἰσθητικὰς ἀντιλήψεις, ἀπόντων τῶν αἰσθητῶν, ἀποκαθιστᾶν. Κατὰ δὲ λόγον καὶ οἱ ἀποδεδωκότες αὐτὴν, αἴσθησιν εἶναί τινα παρατείνουσαν. Ἀλλ' ὅσα (εἴποι τις ἂν) καὶ ἐγρηγορότες, καὶ ὑπνώττοντες φανταστικῶς ἰνδαλλόμεθα, ὧν οὐδὲν, οὐδὲ τὸ τυχὸν ποτὲ κατ' αἴσθησιν προειληφότες ἐσμέν. Ἀλλ' ἐπὶ τῶν τοιούτων, εἰ μὴ τὴν συνθήκην τοῦ πλάσματος, τὰ γε μὴν στοιχείων δίκην ὄντα ἁπλούστερα αἰσθήματα, προλαβόντες ἔχομεν, ἐξ ὧν αἰσθητῶς ἤδη προεγνωσμένων, ἑκουσίως ἡμῖν, ἢ ἀκουσίως διὰ τῆς τῶν πνευμάτων συρροίας, κατὰ τὰ προγεγονότα ἄλλοτε ἴχνη, ἤτοι συνθέσει, ἢ ἀφαιρέσει, ἢ μεταπλασμῷ τινι, τὰ παράδοξα τῶν φαντασμάτων, καὶ ἀλλόκοτα συνίσταται. „ Καὶ ἀναπλαττό-„ μενα γὰρ ἀρχὰς λαμβάνει ἀπὸ τῶν αἰσθήσεων· ἐπειδὴ γὰρ „ εἶδεν ἰδίᾳ τράγον, καὶ ἰδίᾳ ἔλαφον, ἔλαβε ταύτας ἀρ-„ χὰς ἁπλᾶς οὔσας ἀπὸ τῆς αἰσθήσεως, καὶ τὸ σύνθημα „ ἀνεπλάσατο. Εἰ δὲ καὶ ἄνθρωπον οὐρανομήκη ἀναπλάττε-„ ται· ἀλλὰ πρότερον οἶδεν ἄνθρωπον τὸν καθ' ἕκαστα. (2)

## Πορίσματα.

§. ψπθ'. Α'. Διόπερ οἱ ἐκ γενετῆς τυφλοὶ, οὐδεμιᾷ ἂν μηχανῇ φαντασθεῖεν τὰ χρώματα. Οὐ χεῖρον, καὶ Ἀριστοτέ-„ λης, τοῖς μύουσιν ἔφη (3) ὁράματι φαίνεται, οὐ γὰρ τοῖς τυφλώττουσιν, ὃ τῷ Φιλοπόνῳ (4) καλῶς σεσημείωται.

Β'. Καὶ τὰ σφοδρότερον κινήσαντα τὰ αἰσθητήρια, μᾶλλον εὐφάντασα, καὶ τοὐναντίον.

Γ'. Καὶ

(1) Περὶ Ψυχ. Βιβλ. Γ'. Κεφ. Γ'.
(2) Φιλόπ. Ὑπομν. εἰς τὸ περὶ Ψυχ. Βιβλ. Γ'. Κεφ. Γ'.
(3) Ἀριστ. Αὐτ.
(4) Φιλόπον. Αὐτ.

Γ'. Καὶ τὴν προσφάτως γενομένην αἴσθησιν, ῥᾴδιον ταῖς φαντασίαις ἀνατυπούμεθα· καὶ τοὐναντίον.

Δ'. Καὶ ὧν συχναὶ γεγόνασιν αἱ αἰσθήσεις, οὐκ ἀνεξάλειπτοι αἱ κατὰ τὸ φανταστικὸν ἀνατυπώσεις· καὶ τοὐναντίον.

## Θεώρημα ΜΓ'.

§. ψγ'. „ Τὸ τῆς αἰσθητικῆς δυνάμεως λαχὸν, εἰκὸς, „ καὶ τῆς φανταστικῆς αὐτὸ συμμοιρεῖν.

Ἐπὶ γὰρ τοῦ τοιούτου, ὅτι αἱ μὲν τῶν ἔξωθεν προσβολαὶ, ἄχρι τῆς τῶν νεύρων ἀρχῆς ἀπολήγουσαι, εἰς τὸ πρὸς αὐταῖς ἔχειν τὸ κριτικὸν ἐνάγουσιν ( §. ψοδ'. Α'. ) εἰκὸς καὶ τὰς ἀρχὰς αὐτὰς, εἴθ' ὑπὸ τῆς ψυχῆς αὐτῆς, εἴτε καὶ ὑπὸ τοῦ ἐν αὐταῖς πνεύματος ἀμέσως, τοῦτο πάσχειν ἐνδέχεσθαι· τοῦτο δ' αὖ εἴη φαντάζεσθαι. ( §. ψπδ'. ) Τὸ ἄρα τῆς αἰσθητικῆς δυνάμεως, κτ.

Ἄλλως. Εἰ μὴ γὰρ, ἐνδοτέρα τις ἄρα κίνησις καὶ ἄμεσος αὐτοῖς, ὅτι μὴ ὑπὸ τῶν ἔξωθεν ἐμποιουμένη κατὰ τὸν ἐγκέφαλον, ἢ εἴτι ἄλλο ἀντὶ τούτου, τοῖς τοιοῖσδε ζώοις ἐνεγείρεται οὐδεμία. Τὸ δὲ ἤτοι παντελῆ τὴν ἀπουσίαν κατηγορεῖ τοῦ ζωτικοῦ πνεύματος, ἢ παντελῆ τὴν νωθρότητα, ἤ πως ἀδυναμίαν ἐλέγχει, καὶ αὐτῆς τῆς ἐμψυχούσης καὶ ζωούσης δυνάμεως. Ἃ πάντα τῆς τῶν αἰσθητικῶν φύσεως ἀλλοτριώτατα κρίνεται.

## Σχόλιον

§. ψγα'. Ἐμοὶ τοίνυν οὐ πιθανὸς ὁ ἐκ Σταγείρων ἐστὶ Φιλόσοφος, ἐν οἷς τὰ νεογενῆ, καὶ ἔνια τῶν θηρίων, οἷον μύρμηκας, καὶ μελίττας, καὶ σκώληκας, τοῦ φανταστικοῦ ἀμοίρους (1) παρέδωκεν. Ἡ γὰρ κατὰ γνῶσιν ἐνέργεια ἀεὶ πα-

(1) Ἀριστ. Περὶ Ψυχ. Βιβλ. Γ'. Κεφ. Γ'.



παροῦσα εἶναι ἐθέλει, οἷς περ αὖ παρῇ. ( §. ψνθ'. ψξ'. ) „ Ὅτι δὲ γνώσεώς τινος πάντα μετέχει ( τὰ αἰσθητικὰ ) „ τὰ μὲν πλείονος, τὰ δ' ἐλάττονος, τὰ δὲ πάμπαν μι„κρᾶς. Αἴσθησιν γὰρ ἔχουσιν, ἡ δ' αἴσθησις γνῶσίς τις, ἐ„κείνου λόγος ἐστίν. (1) Ἀλλὰ γὰρ τῶν καθαρωτέρων νοημάτων, οὐδὲ μετεῖναι εἰκὸς αὐτοῖς, οὐδ' εἰ μετῆν, ἐς ἀεὶ μετῆν, ὡς οὐδ' ἡμῖν. Ὥστε ὑπάρχοι αὖ κατὰ τόνδε τὸν λόγον αὐτοῖς, ἀργούσης ἐνίοτε τῆς αἰσθήσεως, τὸ φαντάζεσθαι. Ἄλλως δὲ καὶ ἐξ αὐτοῦ τοῦ Ἀριστοτέλους, δυνατὸν εἰσβαλεῖν. Τὰ γὰρ ζῶα, καὶ αἰσθητικὰ, καὶ εἰ μὴ πάσας τὰς αἰσθήσεις, πλείους ἀλλ' οὖν, ἢ τὴν ἁφὴν ἐξ ἀνάγκης ἔχοντά ἐστι. „ Τὰ „ γὰρ ζῶα, φησὶ (2) πάντα μίαν ἔχουσι τῶν αἰσθήσεων „ τὴν ἁφήν· ᾧ δ' αἴσθησις ὑπάρχει, τούτῳ ἡδονή τε καὶ λύ„πη, καὶ τὸ ἡδύ τε καὶ λυπηρόν. Οἷς δὲ ταῦτα καὶ ἡ ἐπιθυ„μία. Τοῦ γὰρ ἡδέος ὄρεξις ἐστὶν αὕτη. Ἀλλ' εἴπερ ὄρεξις, καὶ φαντασία πάντως, κἂν αὐτῷ μὴ δοκῇ. Τῇ γὰρ αἰσθήσει τοῦ ἡδέος, καὶ λυπηροῦ ἀντιλαμβάνεται. Ἀντιλαμβανόμενα δὲ κρίνει· κρίνοντα δὲ, τὸ μὲν διώκει, τὸ δὲ φεύγει. Καὶ διώκει μὲν, πρὶν ἢ καταλάβοι, φεύγει δὲ, ἤτοι ἵνα μὴ καταλάβοι, ἢ ἐπεὶ καταλάβοι· κρίνει ἄρα, καὶ πρὸ τοῦ καταλαβεῖν, καὶ μετὰ τοῦτο. Οὐκοῦν καὶ τοὺς ἰνδαλμοὺς φέρει, καὶ πρόγε, καὶ μετὰ τὰς αἰσθητικὰς τῶν ἀντιλήψεων. Ἔοικε γὰρ ἡ ἐπιθυμία τῶν ἀπόντων εἶναι, ὥσπερ καὶ ἡ φαντασία. Καὶ οὕτω μὲν κατ' αὐτοῦ τοῦ Ἀριστοτέλους, ἐκ τῶν αὐτοῦ. Συνεῖδον δὲ καὶ τῶν ἐξηγητῶν τινὲς, τῆς Ἀριστοτέλους δόξης τὸ ἀπερίσκεπτον, καὶ ἀβέβαιον· τῷ τοι ὁ μὲν Φιλόπονος (3) ἀπορήσας οὕτω· „ δοκεῖ δὲ αὐτὸ ( τὸ μὴ ἔχειν „ φαντασίαν ἔνια τῶν θηρίων ) καὶ τὸν δεύτερον λόγον ( τὸ μὴ ἀεὶ εἶναι φαντασίαν οἷς περ ἡ αἴσθησις, οἷον τοῖς νεο„γενέσιν ) „ εἶναι ἐναντίον τοῖς ἐν τῷ Β'. λόγῳ, ( ἤτοι ἐν τῷ Β'. Βιβλίῳ τῶν περὶ ψυχῆς ) εἰρημένοις· ἐλέγετο „ γὰρ

(1) Περὶ Ζώων Γεν. Βιβλ. Α'. Κεφ. ἐσχάτῳ.
(2) Περὶ Ψυχ. Βιβλ. Β'.
(3) Ὑπομν. περὶ Ψυχ. Γ'. Βιβλ. Κεφ. Γ'.

„γὰρ ἐκεῖ, ὅτι ὅπου ἐστὶν αἴσθησις, ἐκεῖ καὶ ὄρεξις ὑπάρχει. Καὶ ὅπου ὄρεξις, ἐκεῖ καὶ φαντασία· ὡς ἂν διὰ μέσης ὀρέξεως πάντως ἑπομένης τῆς φαντασίας τῇ αἰσθήσει. Πῶς οὖν φησὶν ὅτι οἱ σκώληκες, αἴσθησιν μὲν ἔχουσι, φαντασίας δὲ οὐκ ἔχουσιν; Εἶτα ἀπαντᾷ· ἢ τάχα (λέγων) (1) καὶ οἱ σκώληκες ἔχουσι φαντασίαν, ἀλλὰ συγκεχυμένην, καὶ ἀμυδράν. Προαγαγὼν δὲ αὖθις (2) ἐπὶ πλέον τὸ ἀπόρημα, καί, ἔστω, συγχωρήσας τοὺς σκώληκας μὴ ἔχειν φαντασίαν „διατί καὶ τοὺς μύρμηκας, καὶ τὰς μελίσσας, ἔφη μὴ ἔχειν φαντασίαν· ψεύδεται γὰρ ἐν τούτῳ· ἔχουσι γὰρ καὶ οἱ μύρμηκες φαντασίαν, ὡς δηλοῖ τὸ ἐπίστασθαι αὐτοὺς τὴν κατάδυσιν αὐτῶν. Ἀλλὰ μὴν καὶ αἱ μέλιτται ἔχουσι φαντασίαν, ἐπίστανται γὰρ τὰ σμήνη αὐτῶν, κἀκεῖ τὸ μέλι ἀποτίκτουσιν. Ἀπαντᾷν ὑπολαμβάνει ἱκανῶς καὶ πρὸς ταῦτα, λέγων ὅτι „διττὴ ἡ φαντασία, ἡ μὲν ἀναμνηστική, ἡ δὲ διδακτή, καθ᾽ ἣν διδασκόμεθα, ἣν καὶ ψιττακὸς ἔχει, κατ᾽ αὐτὴν γὰρ διδάσκονται τοὺς ἀνθρωπίνους λόγους. Ποίαν οὖν ἄρα φαντασίαν ἀπὸ τούτων τῶν ζώων ἀφαιρεῖται ὁ Ἀριστοτέλης; καὶ λέγομεν, φησίν, ὅτι οὐ τὴν ἀναμνηστικήν, ἀλλὰ τὴν διδακτικήν. Ὁ δὲ Σιμπλίκιος καὶ αὐτὸς ἐπιστήσας τῷ πράγματι, τὴν μὲν διωρισμένην, καὶ οὕτω φάναι ἀτομικὴν φαντασίαν, διερμηνεύων τὸν Ἀριστοτέλους λόγον, ἀπήγαγε τῶν τοιούτων, παρέλιπε γε μὴν φαντασίαν τινὰ γενικωτέραν, καὶ μᾶλλον ἀόριστον· „μύρμηξι γάρ, φησί (3), καὶ μελίσσαις, καὶ ἐναργέστερον σκώληξι, οὐχὶ ἑκάστου ὡρισμένως (ὁ φανταστικὸς τύπος ἐγγίνεται.) ἀλλὰ κοινότερον ξοφῆς, οὐκ εἰ καὶ τῆς ἐν τῷδε τῷ ἄλσει, ὡς ἐπὶ μελισσῶν, ἀλλ᾽ οὐχὶ καὶ τῆς ἀπὸ τοῦ ἀτόμου τοῦδε τοῦ αὖθις. Οὕτω γὰρ ἀκριβέστερον μὴ ἐν πᾶσιν ὑπάρχειν τὴν φαντασίαν, ἀλλ᾽ οὐχ ὡς μηδόλως ὑπαρχούσαν. Ἐν πᾶσι γάρ, κἂν μὴ ση-

„σημ.

(1) Ὑπόμν. περὶ Ψυχ. Γ΄. Βιβλ. Κεφ. Γ΄.
(2) Αὐτ. Αὐτ.
(3) Σιμπλίκ. ἐν Ὑπομν. εἰς Ἀριστοτέλους περὶ Ψυχ. Αὐτ.



„σημήνῃ. Ἐξ ὧν οὕτως ὑπολαβεῖν εἰσὶ φανεροί, ὡς εἰ καὶ τὸ φανταστικὸν ἐνίοις τῶν ζώων ὑπάρχειν ἔοικεν ἀτελέστερον, οὐδὲν ἀλλ᾽ οὖν ἧττον οὐδὲ ταῦτα, τὴν τοῦ ἀνατυποῦσθαι τὸ ἀπόν, οὐ πάμπαν ἀφῄρηται δύναμιν, ἣν εἰκὸς πάντα ζῶα φύσει ἀπαιτεῖν, οἷα που καὶ τὴν αἴσθησιν.

## Θεώρημα ΜΔ΄.

§. ψϙβ΄. „Ἡ κοινὴ τῷ Ἀριστοτέλει προσειρημένη αἴσθησις, οὐδὲν ἀλλ᾽ ἢ ἡ αἰσθητική, καὶ ἡ φανταστικὴ ἅμα συνιοῦσαι εἰσὶ δυνάμεις.

Κοινὴ γὰρ αἴσθησις εἶναι λέγεται καθ᾽ ἣν ἡ ψυχὴ κρίνει ὅτι τοδί, φέρε τὸ λευκόν, ὃ τοῖς ὀφθαλμοῖς πρόκειται ἰδεῖν, ἐστὶ γλυκύ, ἢ ὅτι πικρόν, ἢ ὅτι ψυχρόν, ἢ ὅτι βαρύ, κτλ. Ἀλλ᾽ ἡ μὲν τοῦ παρόντος, δι᾽ ὄψεως, τοῦ λευκὸν εἶναι, ἐπίγνωσις τῆς αἰσθήσεως ἐστίν· (§. ψοδ΄. Α΄.) ἡ δὲ τοῦ γλυκέος, ἢ τοῦ πικροῦ, ἢ τοῦ ψυχροῦ, ἢ τοῦ βαρέος, ὡς μὴ παρόντων τῇ γεύσει, ἢ τῇ ἀφῇ, φαντασίας (§. ψπδ΄. ψπέ.). Ἡ ἄρα κοινὴ αὕτη καλουμένη αἴσθησις, κτ.

## Σχόλιον.

§. ψϙγ΄. Ὁ μέλι ποτὲ ἰδόντι, καὶ ἁψάμενος, καὶ γευσάμενος διὰ τριῶν κινήσεων τῶν ἐν τῷ ἐνδοτάτῳ αἰσθητηρίῳ γινομένων αὐτῷ, τρία τὰ πάθη αἰσθητικὰ διατελεῖ πεπονθώς, ὧν ἑκάστου ἔσχεν ἡ ψυχὴ τὴν ἀντίληψιν. (§. ψξέ) Ἐὰν οὖν καὶ δεύτερον αὐτῷ γένηται διὰ τῆς ὁράσεως, τὴν παραπλησίαν ἐκ τοῦ χρώματος, καὶ τῶν ἄλλων τῶν ἐν τῷ μέλιτι ὁρατῶν, κατὰ τὸν ἐγκέφαλον παθεῖν ἀλλοίωσιν, πείσεται ἅμα καὶ τὰς ἄλλας, τὴν ἔκ τε τοῦ χυμοῦ, φημί, καὶ τῆς ἀφῆς, καίτοι ἔξωθεν τῶν αἰσθητηρίων μὴ κατ᾽ αὐτὰ κινηθέντων. Καὶ δὴ ἡ ψυχὴ πρὸς μὲν τὴν μίαν ἔξωθεν, πρὸς δὲ τὰς λοιπὰς δύο ἔσωθεν ἐναγομένη, τρεῖς ἅμα τὰς ἀντιλήψεις, εἴδει ἀλλήλων διαφερούσας ἐπιδέδεκται, ὧν τὴν μὲν κατ᾽ αἴσθησιν, τὰς δὲ κατὰ φαντασίαν, παρὰ

τὴν διαφορὰν τῶν ἀρχῶν, ἐξ ὧν ἡ κίνησις. (§. ψνγ΄.) Καὶ τοῦτο ἡ κοινὴ αἴσθησίς ἐστιν. Ἣν οὐδὲν θαυμαστὸν, καὶ τοῦτο, εἰ σωρείαν τινὰ τῶν ἔξω αἰσθήσεων, ὁ Νεώτερος Γασσένδος ὠνόμαζε. (1) Aggeriem externorum sensuum· ὑπειπὼν ὅτι καὶ ταύτῃ ἡ ἔξω συνδιαφθείρεται, οὐκ ἀνάπαλιν δέ, ὅτι δὴ εἰκὸς τῷ ὅλῳ τὸ μέρος, καὶ μὴ τῷ μέρει τὸ ὅλον εἶναι συμπαθαινόμενον. Ταύτῃ δὲ τῆς κοινῆς ἀναπτυχθείσης αἰσθήσεως, καὶ τὰ περὶ αὐτῆς, ὑπὸ Ἀριστοτέλους λεγόμενα ἀληθεύσειεν. „ Οὔτε γὰρ σὰρξ τὸ ἔσχατόν ἐστιν αἰσθητήριον, (2) τοῦ γὰρ σώματος τὸ μεταξὺ ἔστιν ἐνεργεῖν, οὐ γὰρ κεχωρισμένως ἐνδέχεται κρίνειν τὸ κρῖνον, „ δεῖ δὲ ἐνί τινι ἄμφω δῆλα εἶναι. Οὕτω μὲν γὰρ ἔχει (εἰ μὴ τὸ αὐτὸ δηλονότι ἀπλούστατον ἔκρινε περὶ ἀμφοῖν) „ κἂν εἰ τοῦ μὲν ἐγώ, τοῦ δὲ σὺ αἴσθοιο. Καὶ τότε ὥσπερ ἐν ἡμῖν, κατὰ Πλάτωνα, παραπλήσιόν τι συνέβαινεν αὐτοῖς ἐν τῷ Δουρείῳ ἵππῳ, οἷς οὐκ ἦν μία τε καὶ κοινὴ αἴσθησις. Ἀλλ᾽ ἔστι τοῦτο οὐδέν, κατὰ τὴν γινομένην ἡμῖν θεωρίαν· τὰ γὰρ κατὰ τὴν κοινὴν αἴσθησιν διαφέροντα κινήματα, ἐπ᾽ αὐτὴν τὴν ψυχὴν τυγχάνει ἀναφερόμενα, τὴν ἁπλουστάτην τε οὖσαν, καὶ τὴν αὐτὴν μόνην περὶ πάντων κρίνουσαν, καὶ ἐν τῷ τινὰ τῶν θύραθεν ἐπιόντων κρίνειν, καὶ ταῖς κρίσεσι τῶν ἄλλοτέ ποτε κατὰ τὸ αὐτὸ ἐπελθόντων, κατὰ συνείδησιν ἅμα προσέχουσαν. (§. χογ΄.) Ὁμοίως δὲ καὶ τὸ ἀχρόνως ὁρᾶν σώζοιτ᾽ ἂν καθ᾽ ἡμᾶς, ἤτοι (ὡς ἐκεῖνός φησιν (3)) „ τὸ ἐν ἀχωρίστῳ χρόνῳ, ἅμα δηλ. τῆς ψυχῆς, τῶν πλειόνων παθημάτων ἀντιλαμβανομένης. Λύοιτο δ᾽ ἂν ἔτι καὶ τὸ ἀπόρημα „ ὡς ἀδύνατον ἅμα τὰς ἐναντίας κινήσεις κινεῖσθαι τὸ αὐτό, ᾗ ἀδιαίρετον, καὶ ἐν ἀδιαιρέτῳ χρόνῳ (4). Αἱ γὰρ ἐναντίαι κινήσεις, αἵτινες κατὰ τὴν κοινὴν αἴσθησιν συμβαίνουσιν, ἥκιστα μὲν τῇ κοι-

νῇ

(1) Φυσιολ. Τμῆμ. Γ΄. Μέλος Β΄. Βιβλ. Η΄. Κεφ. Δ΄.
(2) Ἀριστ. περὶ Ψυχ.
(3) Αὐτ. Αὐτ.
(4) Αὐτ. Αὐτ.



νούσῃ ψυχῇ, τῶν τοιούτων οὔσῃ ἀνεπιδέκτῳ, αὐτῷ δὲ ἐμποιοῦνται τῷ ἐγκεφάλῳ, ἢ τοῖς ἐν αὐτῷ πνεύμασι, μερισταῖς· τῆς δὲ ψυχῆς ἴδιον εἶναι τὸ καὶ περὶ πολλῶν, καὶ ἀντικειμένων, κατὰ τὸ αὐτὸ κρίνειν, εἴρηται. (§. χοη΄.)

## Θεώρημα ΜΕ΄.

§. ψνδ΄. „ Πολλῶν ἅμα καὶ διαφερουσῶν κινήσεων, ἐν „ διαφέρουσι μορίοις τοῦ ἐγκεφάλου συμπιπτουσῶν, πολλὰς „ ἐπανάγκες, καὶ τὰς φανταστικὰς ἀντιλήψεις, καὶ διαφερούσας „ κατὰ τὸ αὐτὸ εἶναι· ἢν μὴ τοιαῦται δηλ. ὦσιν, οἵας „ ὑπ᾽ ἀλλήλων ἀναιρεῖσθαι αὐτάς.

Οὐ γὰρ ἔστι λέγειν ὡς τῆς μὲν ἀντιλήψεται, τῆς δὲ οὐχί. Ἢ οὐδὲ ἀντίληψις τῶν ἐνδοτέρων κινημάτων εἴη ἡ φαντασία. Ἀλλ᾽ ἔστι τοιαύτη. (§. ψπδ΄. ψπέ.) Ἄρα τὸ Α΄.

Ἐὰν δὲ αἱ κινήσεις τῶν ἀμοιβαδὸν τύχωσιν ἀναιρουμένων, ἤτοι ἰσοσθενῶν οὐσῶν οὐδετέρα γίνεται, ἀλλ᾽ ἀποσβέννυνται. (§. χιή. Β΄.) Καὶ τῆς κινήσεως ἀπούσης οὐδὲ φαντασία ἔσται. (§. ψπδ΄.) Ἢ ἡ ἐπικρατεστέρα διαρκέσασα τῷ γε ὑπερβάλλοντι, μία μὲν ὑπολειφθήσεται κίνησις, μονωθήσεται δὲ καὶ ἡ φαντασία. Ἄρα καὶ τὸ Β΄.

## Πορίσματα.

§. ψνέ. Α΄. Δῆλον ἄρα ὅθεν ἡμῖν συμβαίνει, τὸ ἄλλα μετ᾽ ἄλλα, καὶ σὺν ἄλλοις φαντάζεσθαι. (§. χογ΄. ψπς΄. ς΄. ψνγ΄.) Οὐ γὰρ ἄλλοθεν, ἢ ἐκ τοῦ ἄλλας μετ᾽ ἄλλας, καὶ σὺν ἄλλαις, ἐν διαφέρουσι μορίοις τοῦ ἐγκεφάλου συμπίπτειν ἅμα κινήσεις (§. ωιωτ.) μὴ ὑπ᾽ ἀλλήλων ἀναιρουμένας.

Β΄. Παραδεκτέον τοίνυν καὶ ἡμῖν τὸν καλούμενον τῆς φαντασίας νόμον. Καθ᾽ ὅν, φασί, διὰ τῆς ἐν μέρει αἰσθητικῆς προσλήψεως, ὁλοσχερὲς τὸ φανταστικὸν ἀνακαθίστασθαι ἴνδαλμα.

Γ'. Οὐκ ἀποδεκτέος δὲ ὁ Γερμανὸς Βαυμειστέριος (1), ὃς τῶν συνισταμένων ἰδεῶν μηδαμῶς ἀντιφασκουσῶν, τὸ κατὰ τὴν φαντασίαν πλάσμα δυνατὸν, ἀντιφασκουσῶν δὲ, ἀδύνατον ὡς ἐκ τοῦ ἀντικειμένου ἀπεφήνατο εἶναι. Ἔνθα γὰρ αἱ ἰδέαι ἀντιφάσκουσι, καὶ αἱ φανταστικαὶ κινήσεις ἀμοιβαδὸν εἰσὶν ἀναιρέμεναι. (§. ψϟδ'. διὰ τὸ Β'.) Καὶ οὐδὲ τὴν ἀρχὴν τὸ πλάσμα παρίσταται. Καὶ οὐχ ὅπως τὸ ἀδύνατον ἔσται ὁ ἐξεικονισμὸς, ἢ αὐτῷ δοκεῖ, ἀλλὰ καὶ πάμπαν ἀδυνάτως ἔχει συσταθῆναι αὐτὸ τὸ ἴνδαλμα. Ὅσῳ γὰρ ἂν καὶ ἐπείγοιτο, οὐδεὶς ἂν ἔχοι ποτὲ φαντασίαις ἑαυτῷ παραστήσασθαι τετράγωνον περιφερὲς, ἢ κύκλον γωνίας ἔχοντα, οὐδὲ τῶν τοιούτων οὐδὲν, ὧν διὰ τὴν ἐγχωροῦσαν μάχην τὰ εἴδη ἀσυμβάτως ἔχουσι.

## Θεώρημα Μϛ'.

§. ψϟϛ'. „Καὶ τά γε ἐνύπνια τοῦ φανταστικοῦ μορίου ἐ-„νέργειαι εἰσί.

Εἰσὶ γὰρ ἀντιλήψεις τῶν κατὰ τὸ ἐνδότατον αἰσθητήριον γινομένων κινημάτων, ἐν ὁλοτελεῖ ἀργείᾳ τῶν ἔξω αἰσθητηρίων μενουσῶν. (§. χοβ'. ψοδ'. Ε'.) Τοιαῦται δὲ αἱ τοῦ φανταστικοῦ ἐνέργειαι. (§. ψπδ'.) Ἄρα κτ.

## Πορίσματα.

§. ψϟζ'. Α'. Ὅσα ἄρα περὶ φαντασιῶν εἴρηται, (§. ψπϛ'.) αὐτὰ δὴ ταῦτα καὶ περὶ τῶν κατ' ὄναρ εἰρήσεται· ὥστε πολὺ μὲν πρὸς τὸ τῶν ἐνυπνίων χρῶμα καὶ τὴν κατὰ τὰς κράσεις συντελεῖν διαφορὰν, καὶ ἀέρα, καὶ αἷμα, καὶ σιτία, καὶ τ' ἄλλα, ἅπερ ἀνωτέρω ἐλέγετο. (§. ψπϛ'. Α'. καὶ Β'.) ἥκιστα δὲ τῷ νεύματι τῆς ψυχῆς τὰ ἐνύπνια πειθαρχεῖν. (§. Αὐτ. Γ'.)

(1) Ἐν Ἐπιτομ. Μεταφ. Πορίσματ. §. 191.



(§. Αὐτ. Γ'.) προδρόμους δὲ οἷον πολλῶν καὶ παντοίων νοσημάτων αὐτὰ πολλάκις ἡγεῖσθαι. (§. Αὐτ. Δ'.) παραίτια δὲ καὶ πολλῶν ἐξωτερικῶν κινημάτων (οἷα τοῖς ἐξεγρηγορόσι μάλιστα προσήκοντα ἐστί.) γίνεσθαι. (§. Αὐτ. Ε'.). Καὶ ἄλλο ὑπ' ἄλλου, τὸ ἀμαυρότερον δηλ. ὑπὸ τοῦ ἐναργεστέρου ἐξαφανίζεσθαι. (§. Αὐτ. ϛ'.) Τὸ δὲ ἐφεξῆς, κατὰ τὰς προγεγονυίας ἀνατυπώσεις ἐν τάξει χωρεῖν, ἔστι μὲν ὅτε, καὶ ἐπὶ τῶν ἐνυπνίων συμβαίνει, (§. Αὐτ. Ζ'.) τὰ δέ τοι πλεῖστα ἐπὶ τούτων ἀτάκτως χωρεῖ, καὶ ὡς ἂν τύχοι κινεῖσθαι τὸ πνεῦμα αὐτομάτως, ἢ ὑπὸ τοῦ προστυχόντος αἰτίου ἀγόμενον ἄνευ τοῦ τῆς ψυχῆς ἐπιτάγματος.

Β'. Ἐπεὶ δὲ φαντασίαι εἰσὶ καὶ τὰ ἐνύπνια (§. ψϟϛ'.), φαντασίαι δ' οὐκ ἂν εἶεν ἄνευ προηγουμένων αἰσθήσεων (§. ψπή.), οὐδ' ὄναρ ἄρα ἰδεῖν ἐνέσται ποτὲ, ὧν μὴ φθάσωσι, ἤτοι καθόλου, ἢ κατὰ μέρη πρότερον ἡμῖν αἱ αἰσθήσεις ποτὲ ἐγένοντο. Ὥστε καὶ τὰ ἀνωτέρω (§. ψπθ'.) Πορίσματα, τοῖς ἐνυπνίοις ἐφαρμοστέον.

## Σχόλιον.

§. ψϟή. Τὸ φανταστικὸν ἐν ὕπνοις, ὑπὸ διαφερουσῶν ἂν αἰτιῶν κινηθείη. Ἤτοι γὰρ ὑπὸ τοῦ ἐν ἡμῖν ζωτικοῦ πνεύματος, ἢ ὑπὸ Θεοῦ, ἢ (τοῦ Θεοῦ ἐπιτρέποντος) καὶ ὑπό τινος, φέρε, τῶν κακοδαιμόνων. Ἃ δὴ καὶ ἐκ τοῦ τέλους, οἷα ποτὲ ἐστὶ, καὶ ὅθεν τὴν ἀρχὴν ἔχοντα, μάλιστα αὖτις διακρίνεται. Τῶν μὲν γὰρ τὸ τέλος συμφέρον, καὶ θεοφιλὲς, τῶν δὲ τοὐναντίον. Καὶ περὶ μὲν ἐκεῖνα μαντικὸν εἶναι, θεῖον. Καὶ ᾧπερ ἂν δεδομένον ἄνωθεν ᾖ, ἐξ ἀποκαλύψεως. Διὸ καὶ πρὸς τὸν τὴν ὀπτασίαν διηρμηνευκότα προφήτην ὁ βασιλεὺς (1) „ἐπ' ἀληθείας ὁ Θεὸς ὑμῶν αὐτὸς ἐστὶ Θεὸς „Θεῶν.... ὁ ἀποκαλύπτων μυστήρια, ὅτι ἠδυνήθης ἀπο-„καλύψαι τὸ μυστήριον τοῦτο. Περὶ δὲ τὰ ὑπὸ τοῦ κακοδαι-

(1) Δανιὴλ Κεφ. Β'.

δαίμονος τυχόν, ἢ τινων αἰτίων ἄλλων φυσικωτέρων ἠρτημένα, τὸ τῆς μαντικῆς ἀπατηλόν τε, καὶ ψευδές, καὶ τὸ πολὺ φλυαρεῖον τινὰ ἡγουμένους, μᾶλλον τὴν ἀρχὴν ἀφ᾽ ἧς ζητητέον, ἢ τὸ τέλος, μηδὲν ὂν σπουδαῖον, ὃ ταῦτα προσημαίνειν τοῖς ἁπλουστέροις πιστεύεται. Παραίτια δὲ τῶν κατὰ φύσιν ἐνυπνίων, ἥτε τοῦ σώματος ἕξις μάλιστα, καὶ πάθος τὸ ἐπικρατοῦν, διό, καὶ κατὰ τὰς τούτων διαφοράς, κἀκεῖνα ποικίλλεται· οἷον χολερικῶν μὲν φασὶν ἐνύπνια εἶναι ἐμπρησμούς, καυπελασμούς, χροιάς τε ξανθὰς καὶ φλογώδεις, ἔρεις, στάσεις, μάχας, φυγάς, διώξεις, καὶ ὅσοις τὶς ὀξύτης ἐνεπιφαίνεται ἤθους τε, καὶ κράσεως. Μελαγχολικῶν δὲ ζόφους, ἀχλύας, ὁμίχλας, καπνοὺς μελαντέρους, ἄλας κυανοειδάς, πλάνας διὰ συνηρεφῶν, καὶ κατασκίων ἐρήμων, φάσματα ἐκδειματοῦντα, μορφὰς ἀλλοκότους καὶ φρικώδεις ἐμποιούσας, ἐπ᾽ ἀβύσσοις χάσμασιν ἐπικύψεις, καὶ κατ᾽ αὐτῶν μελλούσας καταλισθήσεις· ἀνιαρὰ τὰ πάντα, καὶ φόβου πρόξενα. Τῶν δὲ φλεγματωδεστέρων τὴν κρᾶσιν, ὑδάτων ἐμφάσεις, βαλανείων, πλόων, καταδύσεις τε καὶ καταποντώσεις, ἄχθη ὑπερβριθέστερον πιέζοντα, καὶ τὴν κίνησιν διακωλύοντα, δεσμούς, ἁλύσεις, πέδας, καὶ ὅσα ἕξεως ἐλέγχει νωθείαν τε καὶ ἀμβλύτητα. Τῶν δὲ αἱματωδεστέρων τε καὶ πληθωρικῶν, πανηγύρεις, θαλίας, εὐωχίας, ὀρχήσεις, συμφωνίας μουσικῶν ὀργάνων, περιπτύξεις τε καὶ ἀσπασμοὺς τῶν φιλουμένων μετὰ γλυκυθυμίας, ἐμφάσεις αὐγοειδεῖς, καὶ τερπνάς, καὶ οἷς ἁπλῶς ἐπιγελᾷ τὸ φαιδρόν τε καὶ χαρίεν. Οὕτω μὲν οὖν καὶ ἐρώντων αἱ μετὰ τῶν παιδικῶν αὐτοῖς ὁμιλίαι, ὄνειροι εἰσίν, αἱ φίλαι καὶ ὑπερήδιστοι, καὶ διψώντων πηγαί τε καὶ κρῆναι ἀέρροον νάουσαι, καὶ ῥύακες ἡδὺ αὐτοῖς κελαρύζοντες, καὶ νάματος ψυχροῦ, ἀπὸ φρεάτων ἀνιμήσεις, καὶ ἐξαντλήσεις, καὶ μὲν δὴ καὶ εὔδροσοι αὖραι, καὶ πνοαὶ ἠρέμα τὸν ἀέρα διαρριπίζουσαι, καὶ τὸ περιέχον ταῖς ἀναπνοαῖς διαψύχουσαι. Καὶ ἐπὶ τῶν ἄλλων δὲ ἀναλόγως τοῖς πάθεσι, καὶ τοῖς ὑφ᾽ ὧν κρατεῖται ἡ ψυχὴ ἑπομένως. Καὶ γὰρ (1) καὶ „ ἠματίαις φροντίσιν ὁμοῖα φάσματα νυ-
„ κτός.

(1) Ναζιανζηνοῦ Ἔπος.



„ κτός. Ὁ γοῦν Ἡρόφιλος (1) περὶ τοὺς ὀνείρους τοὺς θεοπνεύστους, οὓς καὶ κατ᾽ ἀνάγκην ἔλεγε γίνεσθαι, καὶ τοὺς συγκραματικοὺς αὐτοῦ ὀνομαζομένους τούτους „ οὓς ἐκ ταὐτομάτου συμ-
„ βαίνειν ἐδόξαζε κατ᾽ εἰδώλων πρόσπτωσιν, ὅταν ἃ βουλό-
„ μεθα βλέπομεν, ὡς ἐπὶ τῶν τὰς ἐρωμένας ἔχειν ἐν ὕ-
„ πνῳ δοκούντων, καὶ τρίτον ὀνείρων εἶδος εἰσῆγεν, οὓς καὶ φυ-
„ σικοὺς ἐκάλει, παρίστασθαι δὲ τούτους ᾤετο, ἀνειδωλοποιου-
„ μένης τῆς ψυχῆς τὸ συμφέρον αὐτῇ, καὶ τό, πρὸς τούτοις,
„ ἐσόμενον. Ἀμέλει τοι ἐντεῦθεν καὶ τὸ ὀνειροπολικὸν εἶδος τῆς μαντικῆς, περὶ ὃ μὴ μόνους τοὺς ἀγελαίους τῶν ἀνθρώπων, ἀλλὰ καὶ τοὺς ἐπ᾽ ἄκροις σοφίας θαμίσαντας, αὐτούς τε Πλάτωνας καὶ Ἀριστοτέλεις σπουδάσαι, τίς οὐκ ἂν θαυμάσειε; ἢ οὐ θαυμαστὸν τῷ ὄντι τῇ ψυχῇ τοῦ καθεύδοντος, ἢ τῇ τοῦ ἐγρηγορότος πλεῖόν τι νέμειν δυνάμεως; Ἀλλὰ καὶ περὶ ἐνυπνίων ἅλις.

## Περὶ Μνήμης.

### Θεώρημα ΜΖ΄.

§. ψνθ΄. „ Η μνήμη περὶ τὰ παρῳχηκότα ἐστίν.
Ἡ γὰρ μνήμη ἀντίληψίς τις ἐστίν, ἐξ ἑτοίμου τε καὶ προχείρως, τῶν ἄλλοτέ ποτε ὑπελθόντων τῷ γνωστικῷ τῆς ψυχῆς, τῆς σαφῶς συνειδείας, ὅτι τὰ αὐτὰ καὶ πρότερόν ποτε αὐτῇ διέγνωστο· (§. χογ΄.) Ἄρα ἡ μνήμη, κτ.

### Σχόλιον.

§. ω΄. „ Οὔτε οὖν τὸ μέλλον ἐνδέχεται μνημονεύειν, ἀλ-
„ λ᾽ ἔστι δοξαστόν, καὶ ἐλπιστόν, ὡς Ἀριστοτέλης (2) φησίν,
„ οὔτε

(1) Παρὰ Πλουτάρχ. Ἀρεσκ. Βιβλ. Ε΄. Κεφ. Β΄.
(2) Ἀριστ. ἐν τῷ περὶ Μνήμ. καὶ Ἀναμν. Κεφ. Α΄.

„ οὔτε τοῦ παρόντος, ἀλλ᾽ αἴσθησις. Ταύτῃ γὰρ, οὔτε τὸ μέλ„ λον, οὔτε τὸ γινόμενον γνωρίζομεν, ἀλλὰ τὸ παρὸν μόνον. „ Ἡ δὲ μνήμη τοῦ γινομένου. Ἐξ ὧν ὀρθῶς ἐπιφέρει, ὡς „ ὅσα χρόνου αἰσθάνεται, ταῦτα μόνα τῶν ζώων μνημονεύει· „ οἷον ὁ πεπτωκὼς ὄνος πέρυσιν εἰς τόνδε τὸν βόθρον, „ τήμερον δὲ ἰδὼν αὐτὸν, καὶ ἀναχωρήσας, ᾔσθετο ὅτι πρό„ τερον πέπτωκεν ἐν αὐτῷ. Αἰσθάνεται οὖν καὶ τὰ λοιπὰ „ τοῦ χρόνου (1).

## Θεώρημα ΜΗ΄.

§. ωά. „ Οὐχὶ πᾶσα γνῶσις τῶν παρῳχηκότων κατὰ „ μνήμην ἐστί.

Μνημονεύει γὰρ ὁ συνειδὼς ἑαυτῷ, ὅτι καὶ ἄλλοτε τὸ αὐτὸ γνωστικῶς προσελάβετο. (§. χογ΄.) Δυνατὸν δὲ γνόντα καὶ πρότερον, ἤδη ἀγνοεῖν ὅτι ἐγνώκει. (ὡς δῆλον.) Ἆρα οὐχὶ πᾶσα, κτ.

## Σχόλιον.

§. ωβ΄. „ Ἀεὶ γὰρ ὅταν ἐνεργῇ κατὰ τὸ μνημονεύειν, οὕ„ τως ἐν τῇ ψυχῇ λέγει, ὅτι πρότερον τοῦτο ἤκουσεν, ἢ „ ᾔσθετο, ἢ ἐνόησεν. (2) Τὰ δὲ πρότερον μὲν ὑπελθὸν τὸν νοῦν, εἶτα παραρρυὲν, καὶ αὖθις ὡς νεαρὸν ἤδη καὶ πρόσφατον αἴσθημα, ἢ φάντασμα, ἢ νόημα, ἔκ τινος αἰτίας ἀνακαλούμενον, τῆς ψυχῆς μηδόλως ἐπιγινωσκούσης αὐτὸ, ὡς οἰκεῖον καὶ συνῆθες, οὐ μνήμης τὸ τοιοῦτον, ἀλλὰ γνωστικῆς τινὸς προσλήψεως ἄλλης κρίνεται. Θαυμάζειν οὖν ἔπεστιν, ὅπως ἀναμνήσεις ἐτίθεντο τὰς μαθήσεις, οἱ περὶ Πυθαγόραν, καὶ Πλάτωνα (3). Ἔστω γὰρ ὅτι κατὰ τὰς γινομένας

(1) Μιχαὴλ ὁ Ἐφέσιος Ὑπόμν. Αὐτ. εἰς Ἀριστοτέλην.
(2) Ἀριστοτέλης ἔνθα ἀνωτ.
(3) Πλάτων ἐν Θεαιτήτῳ.



μένας πρότερον τῇ ψυχῇ, ἐν ἄλλοις σώμασι περιόδους, ἢ καὶ κατὰ τὸν νοερὸν ἐν ἀρχῇ κόσμον, τὰς ἐννοίας ἔχειν, ἃς κατὰ μέρος ἤδη, διὰ μαθήσεως ἀναλαμβάνει, καὶ συμπορίζεται. Ἀλλ᾽ ἐπεὶ τοιοῦτον οὐδὲν καθ᾽ ἑαυτὴν ἡ ψυχὴ σύνοιδέ τε, καὶ συναισθάνεται, οὐδ᾽ ἀμυδρὰν γοῦν ἐπίκρισιν ἔχει, ὡς ᾔδει καὶ ἄλλοτε τοιαῦτ᾽ ἄττα, κἂν ἀορίστως (§. χογ.) ὃ δεῖγμα ἐστὶν ἀναμνήσεως, μεταμαθήσεις μὲν ἴσως, καὶ ταύτας ἀγνοοῦντος πάντῃ αὐτοῦ τοῦ μεταμανθάνοντος, ἀναμνήσεις δὲ καλεῖν τὰς τοιαύτας ἐπίπαν ἄλογον. Ἀλλ᾽ ὁ διδασκόμενος, φασὶ, δοκεῖ πως κατὰ τὴν ἀκρόασιν τοῖς λεγομένοις κατανεύειν καὶ ἕπεσθαι, ὡς ἐπὶ καὶ προεγνωσμένων αὐτῷ ἐπιχαίρων τε, καὶ ἀσμενιζόμενος. Αὐτὸ δὲ τοῦτο, ὅτι προσῆκόν ἐστι, καὶ φίλον τῇ ψυχῇ τὸ ἀληθὲς, καὶ τοῖς πρώτοις τοῦ λόγου σπέρμασι κατάλληλον, καὶ σύμφωνον τὸ ἤδη νοούμενον ὑπὸ τοῦ μαθητιῶντος, συμβαίνειν ἐροῦμεν. Δεῖ γε μὴν τὴν ψυχὴν ἑαυτῇ συνειδέναι πως ἔχειν, τὴν περὶ τὸ κατ᾽ ἀνάμνησιν ἐπαναληφθὲν, φθάσασαν προεπίγνωσιν, μηδ᾽ ὡς πρῶτον τουτὶ ἐπιὸν αὐτῇ νόημα παραδέχεσθαι. Οἱ δὲ τὰ πρώτως νοητὰ, κατ᾽ ἀνάμνησιν ἔχειν ὑπολαμβάνοντες, εἰ τοῦτο μετὰ πληροφορίας ὑπολαμβάνουσιν, οὐκ ἄνευ πάθους οὕτω φρονοῦσιν, συνέβη γὰρ πότε καὶ Ἀντιφῶντί τινι „ Ὠρείτῃ φρενιτιῶντι, ἀπομνημονεύσεις εἶναι ἡγεῖσθαι τῶν „ παρῳχημένων, καὶ ἃ κινούμενος ἤδη τὰ αἰσθητήρια προσε„ λάμβανεν (1).

## Θεώρημα ΜΘ΄.

§. ωγ΄. „ Οὔτε ἐν μόνῃ τῇ ψυχῇ καθ᾽ αὑτὴν ἡ μνήμη „ οὔτε ἐν μόνῳ τῷ ζωτικῷ πνεύματι, ἀλλ᾽ ἐν αὐτῷ τῷ „ πρώτῳ αἰσθητηρίῳ, ὡς ἐν ὑποκειμένῳ, ἤτοι τῷ ἐγκεφά„ λῳ ἑδράζεται.

Ἐπειδὴ γὰρ ἄλλοι ἄλλων εἰσὶ μνημονικώτεροι, ἔδει δήπου καὶ

(1) Ἀριστ. ἐν τῷ περὶ Μνήμ. καὶ Ἀναμν. ἔνθα ἀνωτ.

καὶ τὰς ψυχὰς ἐν τούτοις μεταφυσικῶς διαφέρειν τῆς τελειότητος. Οὐ γὰρ δὴ φυσικῶς ἂν εἴποιεν, τὸ εἰς τοῦτο τεῖνον σῶμα, ἐκ μέσου ποιούμενοι. (§. ψνζ'.) Ἀλλὰ γὰρ φυσικῶς μὲν διαφορὰν πρὸς ἀλλήλας αἱ ψυχαὶ ἴσχουσι, μεταφυσικῶς δ' οὔ. (§. Αὐτ.) Οὐκ ἄρα μόνῃ τῇ ψυχῇ τὴν μνήμην ἀναθετέον. Ο. Η. τὸ Α'.

Τὰ δέ τοι πνεύματα, ἐπεὶ διηνεκῶς, διά τε τῶν καρωτίδων, καὶ τῶν σπονδυλείων ἀρτηριῶν, διηθούμενα, κατὰ τὸν ἐγκέφαλον, καὶ τὴν παρεγκεφαλίδα τοῦ καθαρωτέρου αἵματος, ἀποσκευάζεται· (§. ψοδ'.) οὕτως ἀδιαλείπτως ἀπορρεῖ τε καὶ ἀποφέρεται, ὡς ἀεὶ καινὰ ἐπὶ ταῖς αἰσθητικαῖς καὶ φανταστικαῖς ἐνεργήσεσιν ἀντεισάγεσθαι, καὶ ἦν ἄρα ἐπάναγκες συναπορρεῖν αὐτοῖς καὶ τὸ μνημονικὸν, καὶ ἐξίτηλον ἀεὶ γίνεσθαι. Ἀλλ' οὐκ ἔστιν. Ἄρα καὶ τὸ Β'.

## Σχόλιον.

§. ωδ'. Ἅπαντας, ὅσους ἄν ποτε περὶ μνήμης γράφοντας μετελθεῖν σοι γένοιτο, καὶ τῶν πάλαι καὶ τῶν ὕστερον, αὐτῷ τῷ πρώτῳ αἰσθητηρίῳ, εὕροις ἂν τὸ μνημονικὸν τῆς ψυχῆς ἀνατιθεμένους. Καὶ γὰρ καὶ Πλάτων, ἐκεῖνο δὴ τὸ κέαρ τὸ ὁμηρικὸν ὑποτιθέμενος „ δῶρον τοίνυν αὐτὸ φῶμεν εἶναι,
„ φησὶ, (1) τῆς τῶν μουσῶν μητρὸς μνημοσύνης, καὶ ἐς τοῦτο,
„ ὅ,τι ἂν βουλήθωμεν μνημονεῦσαι, ὧν ἂν ἴδωμεν, ἢ ἀ-
„ κούσωμεν, ἢ αὐτοὶ ἐννοήσωμεν ὑπέχοντες αὐτὸ ταῖς αἰ-
„ σθήσεσι, καὶ ἐννοίαις ἀποτυποῦσθαι, ὥσπερ δακτυλίων ση-
„ μεῖα ἐνσημαινομένους. Καὶ ὃ μὲν ἂν ἐκμαγῇ μνημονεύειν
„ τε καὶ ἐπίστασθαι, ἕως ἂν ἐνῇ τὸ εἴδωλον αὐτοῦ, ὅταν δὲ
„ ἐξαλειφθῇ, ἢ μὴ οἷόν τε γένηται ἐκμαγῆναι ἐπιλελῆ-
„ σθαί τε, καὶ μὴ ἐπίστασθαι. Καὶ Ἀριστοτέλης δὲ (2). Δῆ-
„ λον γὰρ ὅτι δεῖ νοῆσαι τοιοῦτο τὸ γιγνόμενον διὰ τῆς αἰ-

„ σθή-

(1) Πλάτων ἐν Θεαιτήτῳ.
(2) Ἀριστ. Ἐν τῷ περὶ Μνήμ. καὶ Ἀναμν.



„ θήσεως ἐν τῇ ψυχῇ, καὶ τοῦ μορίου τοῦ σώματος τοῦ ἔ-
„ χοντι αὐτὴν (τὴν αἴσθησιν) οἷον ζωγράφημά τι τὸ πά-
„ θος, οὗ φαμὲν τὴν ἕξιν εἶναι μνήμην. Ἔνθα μόριον μὲν τοῦ σώματος, τὸ τὴν αἴσθησιν ἔχον, τὸ πρῶτον καλεῖ αἰσθητήριον, πάθος δὲ τὸν τύπον καὶ τὸ ἐγκατάλειμμα· ἕξιν δὲ τὴν εὐκολίαν ἣν ἔχει τὸ μόριον τοῦ σώζειν τοὺς τύπους διαρκεῖς, καὶ δυσεξαλείπτους. „ Ἡ γὰρ γινομένη κίνη-
„ σις, φησὶν, (1) ἐνσημαίνεται, οἷον τύπον τινὰ τοῦ αἰσθή-
„ ματος, καθάπερ οἱ σφραγιζόμενοι τοῖς δακτυλίοις. Ὥστε πᾶσαν εἶναι ἀνάγκην ἐκεῖσε τυποῦσθαι τὴν μνήμην, ἔνθα τελεῖται ἡ αἴσθησις, ὡς τῶν ἀδυνάτων ὂν, ἄλλῃ μὲν τὴν κίνησιν γίνεσθαι, ἄλλῃ δέ πῃ τὴν διὰ τῆς κινήσεως ἀνατύπωσιν. Παραπλησίως δὲ τούτοις, καὶ Ὠριγένης ὑπειληφὼς φέρεται, (2) „ φαντασίαν ἐγκαταλελειμμένην ἀπό τι-
„ νος αἰσθήσεως, τὴν μνήμην εἶναι ἀποδεδωκώς. Οὐ γὰρ ἡ ἀπὸ τῆς αἰσθήσεως φαντασία ἐγκαταλείπεται, ἐκεῖσε φανερὸν ὡς ἡ μνήμη ἔχει τὴν ἕδραν. Καὶ Μιχαὴλ ὁ Ἐφέσιος (3). „ Ἀνάγκη δὴ πάντως λέγων, ἐν ᾧ τῆς ψυ-
„ χῆς αἰσθανόμεθα, ἐν τούτῳ καὶ φαντάζεσθαι, καὶ μνημο-
„ νεύειν ἡμᾶς. Ἡ γὰρ κατὰ τὴν γινομένην αἴσθησιν ἐναπόμαξις, κατὰ ἕξιν διαρκῆ τε καὶ μόνιμον, τοῦτο μνήμη. Εἰ γοῦν τὸ πάθος μόνῳ τῷ λόγῳ τυγχάνει διακρινόμενον, καὶ τὸ ἐν ᾧ αὐτὸ, τὸ αὐτὸ ἔσται, δηλαδὴ ὁ ἐγκέφαλος· καὶ οὐχ ὅπως, ἀλλὰ καὶ ἐν μέρει τῷ αὐτῷ. Τῇ γοῦν δόξῃ προστίθενται καὶ οἱ Νεώτεροι ὅλοις ξίφεσι (4). Ἡ δὲ τοῦ Νεμεσίου δόξα ἐπιεικῶς ἀφελὴς „ τοῦ ὄργανον εἶναι τοῦ μνημονευτι-
„ κοῦ, τὴν ὄπισθεν κοιλίαν τοῦ ἐγκεφάλου εἶναι φάσκον-
„ τος, (5) ἣν καὶ παρεγκεφαλίδα καὶ παρακρανίδα καλοῦσι,

„ καὶ

(1) Ἀριστ. ἔνθα ἀνωτ.
(2) Παρὰ Νεμεσ. Περὶ Ἀνθρώπου Κεφ. ΙΓ'.
(3) Ὑπομν. εἰς τὸ Περὶ Μνημ. καὶ Ἀναμν. ἐν Προοιμ.
(4) Καρτέσ. Περὶ Παθ. Ψυχ. Μέρ. Α'. Ἀρθ. ΜΒ'. Μαλεβράγχ. Βιβλ. Β'. Περὶ Ἐξετ. Ἀληθ. Κεφ. Ε'. §. Γ'. Γασσενδ. Τμήμ. Γ'. Φυσικ. Μέλη Β'. Βιβλ. Η'. Κεφ. Γ'. Μαϊγναί. Φυσιολογ. Κεφ. ΚΔ'. Ἄρθρ. ΛΔ'. καὶ τ.
(5) Νεμέσ. Περὶ Ἀνθρώπου Κεφ. ΙΓ'.

» καὶ τὸ ἐν αὐτῇ ψυχικὸν πνεῦμα. Καὶ οὕτω τὰς δυνάμεις, ὧν ὑποκείμενον τὸ αὐτὸ, τόπῳ χωρίζοντας. » Τῶν » γὰρ αἰσθήσεων (προστίθησιν) ἀρχὰς καὶ ῥίζας τὰς ἔμ» προσθεν εἶναι κοιλίας φαμὲν τοῦ ἐγκεφάλου, τοῦ δὲ διανοη» τικοῦ τὴν μέσην, τοῦ δὲ μνημονευτικοῦ τὴν ὄπισθεν. Οὐδὲ γὰρ ἱκανὸν εἰς ἀπόδειξιν (ἢ ἐκείνῳ δοκεῖ) τοῦ τοιούτου, ὅτι τινὲς τῶν φρενιτιώντων, τὸ μὲν διανοητικὸν, διαφθείρονται, τὸ δὲ αἰσθητικὸν ὑγιαίνουσιν. Οἱ δὲ τυχὸν τὸ μνημονικὸν πεπονθότες, τ᾽ ἄλλα εὖ ἔχουσιν. Ἐπείτοιγε δυνατὸν τὸ αὐτὸ ὄργανον τῶν μὲν πρὸς αἴσθησιν ἀλλοιώσεων εἶναι δεκτικὸν, τῶν δὲ πρὸς μνήμην ἐγκαταλειμμάτων, ἀνεπίδεκτον. Ἢ οὐχὶ καὶ ὕδωρ, φέρε, ἥτι τῶν ἄλλων ὑγρῶν, τὴν μὲν ἐγγινομένην κίνησιν προσεδέξατο, τὸ δὲ καταγραφὲν ἴχνος αὐτίκα συνέχεεν, οὐδὲν οὐδοτιοῦν ἐγκατάλειμμα κατέχειν οἷόν τε ὂν, καὶ διασώζειν; Ἀλλ᾽ ἐνταῦθα ἐκεῖνό μοι μάλιστα σημειούσθω, ὡς ἐπὶ τοῦ περὶ μνήμης, καὶ τῶν παραπλησίων δυνάμεων λόγου, τὰ ζωγραφήματα ταῦτα, καὶ τὰ ὥσπερ ἐναποσφραγίσματα δακτυλίων, καὶ τοὺς τύπους, καὶ τὰ τοῖς νεωτέροις λεγόμενα ἴχνη, μεταφορικῶς ἐκληπτέον, ὅπερ ὁ Ἐφέσιος Μιχαὴλ φθάσας παρῄνεσεν. » Χρὴ » δὲ καὶ τοῦ τύπου κοινότερον (1) ἐπὶ τῆς φαντασίας ἀκούειν. » Κυρίως μὲν γὰρ τύπος τὸ κατ᾽ εἰσοχήν τε, καὶ ἐξοχὴν, ἢ » τὸ τοῦ τυποῦντος ἐν τῷ τυπουμένῳ σχῆμα γινόμενον, οἷα » ὁρῶμεν τὰ ἐπὶ τῶν σφραγίδων ἔχοντα· οὐχ οὕτω δὲ καὶ » τὰ ἀπὸ τῶν αἰσθητῶν ἐγκαταλείμματα ἐν ἡμῖν γίνεται, » οὐδὲ τὴν ἀρχὴν κατὰ σχήματι, ἡ τῶν αἰσθητῶν ἀντίληψις. » Ποῖον γὰρ σχῆμα τὸ λευκὸν, ἢ ὅλως τὸ χρῶμα; ἢ ποῖον » σχῆμα ἡ ὀσμή; Ἀλλὰ δι᾽ ἀπορίαν κυρίου τινὸς ὀνόμα» τος, τὸ ἴχνος, καὶ ἐγκατάλειμμα, τὸ ὑπομένον ἀπὸ τῶν » αἰσθητῶν ἐν ἡμῖν, τύπον καλοῦμεν μεταφέροντες τοὔνομα. Πῶς γὰρ αὖ οἷόν τε ἦ τοσούτων πληθὺν πραγμάτων τοὺς τύπους, ἐν οὕτω σμικρῷ μορίῳ ἐγκεχαράχθαι ἡλίκος ὁ ἐγκέφαλος; Πῶς δὲ καὶ ἐν συστάσει σώματος ἁπαλωτέρου, καὶ

ῥευ-

(1) Ὑπομν. εἰς τὸ Περὶ Μνήμ. καὶ Ἀναμν. ἐν Προοιμ.



μυρίας ὅσαι ὧραι τὰς ἀπὸ τῶν δι᾽ αὐτοῦ φερομένων ὑγρῶν ἀλλοιώσεις ὑφισαμένου, τὰ ἴχνη ταῦτα ἀσύγχυτα διασώζοιτο; νοήσαις ἂν ἄρα, δεξιότητα τινὰ, καὶ προσφυΐαν τοῖς τοῦ ἐγκεφάλου πόροις ἐγκαταλείπεσθαι, καθ᾽ ἣν ἑτοιμότερον προσαρμόζονται, καὶ διατίθενται πρὸς τὸ δέον πειθαρχοῦντες τῷ γνωστικῷ ἐπιτάσσοντι, καὶ οὕτως ἑτοίμως ἔχουσι, πρὸς τὴν διὰ τούτων τοῦ πνεύματος διέξοδον, νεύματι τῆς ψυχῆς, τῆς κινούσης αὐτὸ, ὡς ἄλλο τε πρὸς ἀντίληψιν καὶ γνῶσιν, τῶν προεγνωσμένων κεκίνηται. (1) Ἢ ἕξιν τῶν ἰνῶν, ἐξ ὧν ὁ ἐγκέφαλος, καθ᾽ ἣν διὰ πολλῶν ἤδη κινηθεῖσαι ἐνεργημάτων, ῥᾳδίως πρὸς τὴν ἀπαιτουμένην κίνησιν ἔχουσιν. (2) Οὕτω γὰρ ἂν ἴσως ἐπιλύσειέ τις εὐμαρῶς, καὶ τὸ Ἀριστοτέλους ἐκεῖνο περὶ μνήμης ἀπορημάτιον » πῶς ποτε τοῦ μὲν » πάθους παρόντος, τοῦ δὲ πράγματος ἀπόντος μνημονεύει » τὸ μὴ παρόν; (3) Καὶ χωρὶς γὰρ τῆς διαιρέσεως ἢ πρὸς τοῦτο ἀπαντῶντες χρῆσθαι εἰώθασιν, ὡς ἔνι θεωρεῖν τὸ φάντασμα, καὶ καθ᾽ αὐτὸ, καὶ ὡς εἰκόνα, ῥητέον ὅτι τοῦ μὲν ἑτοίμως ἀντιλαμβάνεσθαι τοῦ πράγματος, ἡ ἐμποιηθεῖσα ἐκ προηγουμένων ἐνεργειῶν διάθεσις τῷ ἐγκεφάλῳ παραίτιος. Τοῦ δὲ μὴ ἀντιλαμβάνεσθαι τὴν ψυχὴν τοῦ ἀπόντος ἁπλῶς ὡς φαντάσματος, μνημονευτικῶς δὲ θίγειν, αἴτιον, ὅτι καὶ ἣν ἤδη ἔχει τὸ μόριον ἑτοιμότητα πρὸς κίνησιν, ἡ ψυχὴ ἐπιγιγνώσκει, καὶ τὸ παρελάσαν τοῦ χρόνου, τοὐλάχιστον γοῦν ἀορίστως συνεπισκέπτεται, κἀκ τούτων κρίνει, ὅτι καὶ ἄλλοτε τοῦτο αὐτὸ προσελάβετο, ὃ μνήμης τυγχάνειν γνώρισμα ἰδιαίτατον εἴρηται. (§. ωα΄. ωβ΄.) Οὐ χεῖρον, τὸ τοῦ Νεμεσίου ἔχει ὀρθῶς » ὅτι τῶν ἀπόντων μὲν » ἐστὶν ἡ μνήμη, οὐ μὴν δὲ ἀπὸ τῶν ἀπόντων γίνεται. (4)

Πο-

(1) Καρτέσ. ἔνθα ἀνωτ.
(2) Μαλιβράγχ. ἔνθα ἀνωτ.
(3) Ἀριστ. Περὶ Μνήμ. καὶ Ἀναμν.
(4) Περὶ Ἀνθρώπου. Κεφ. ΙΓ΄

## Πορίσματα.

§. ωέ. Α'. Ἐντεῦθεν φανερὸν ὅτι τῶν αἰσθητῶν τε, καὶ φαντασῶν κυρίως εἰσὶν αἱ μνῆμαι, τῶν δὲ διανοητῶν κατὰ συμβεβηκός, καὶ οὐκ ἄλλως, ἢ καθ' ὅσον ἐκ προλαβούσης φαντασίας περιγίνεται. „ Τὰ δὲ νοητὰ (1) ὅτι μὲν ἐμάθομεν,
„ ἢ ἠκούσαμεν μεμνήμεθα, τῆς δὲ οὐσίας αὐτῶν μνήμην οὐκ
„ ἔχομεν, οὐ γὰρ ἐκ προηγουμένης φαντασίας ἡ τῶν νοητῶν
„ ἀνάληψις, ἀλλ' ἐκ μαθήσεως, ἢ φυσικῆς ἐννοίας.

Β'. Ἐπεὶ δὲ τῷ ἐγκεφάλῳ ὡς ἐν ὑποκειμένῳ ἡ μνήμη ἑδράζεται ( §. ωγ'. ) τύπων οἱονεί τινων αὐτῷ ἐνσημαινομένων ( §. ωδ'. ), ἢ ἄμεινον εἰπεῖν διαθέσεως τῆς προσηκούσης, καὶ δεξιότητος αὐτοῦ, τῆς ἐπὶ τὸ ἑτοίμως, κατὰ τὰς τοῦ γνωστικοῦ ἐνεργείας κινεῖσθαι, ἐγκαταλειπομένης ( §. αὐτ. ), ἐπανάγκες ἂν εἴη ταῖς κατὰ τὰς κράσεις τοῦ μορίου διαφοραῖς τε καὶ ἀλλοιώσεσι, καὶ τὴν μνήμην συνδιατίθεσθαι. Ταύτη-
„ τοι καὶ τοῖς (2) μὲν ἐν κινήσει πολλῇ διὰ τὸ πάθος
„ ( τουτέστι διά τινα ἐπιτηκύψασαν νόσον ) ἢ δι' ἡλικίαν οὖ-
„ σιν, οὐ γίνεται μνήμη, καθάπερ ἂν εἰς ὕδωρ ῥέον ἐμ-
„ πιπτούσης τῆς κινήσεως, καὶ τῆς σφραγῖδος. Τοῖς δὲ διὰ
„ τὸ ψύχεσθαι, ( καὶ οἱονεὶ θρυλλίζεσθαι ) καθάπερ τὰ
„ παλαιὰ τῶν οἰκοδομημάτων, καὶ διὰ σκληρότητα τοῦ δεχο-
„ μένου τὸ πάθος ( ἤτοι τὸ τῆς κινήσεως ) οὐκ ἐγγίνεται
„ ὁ τύπος. Διὸ οἵ τε σφόδρα νέοι, καὶ οἱ γέροντες ἀμνήμο-
„ νες εἰσί· ῥέουσι γάρ, οἱ μὲν διὰ τὴν αὔξησιν, οἱ δὲ διὰ
„ τὴν φθίσιν. Ὁμοίως δὲ καὶ οἱ λίαν ταχεῖς, καὶ οἱ λίαν
„ βραδεῖς, οὐδέτεροι φαίνονται μνήμονες. Οἱ μὲν γάρ εἰσιν
„ ὑγρότεροι τοῦ δέοντος, οἱ δὲ σκληρότεροι· τοῖς μὲν οὖν οὐ
„ μένει τὸ φάντασμα ἐν τῇ ψυχῇ, τῶν δὲ οὐχ ἅπτεται.
Οἱ δὲ ἐπὶ τὸ ὑγρότερον μέν, οὐ μὴν δὲ μεθ' ὑπερβολῆς, κλίνοντες, οἷοι οἱ εὐφυεῖς, ἀναμνηστικοὶ μᾶλλον εἰσίν. Ὥσπερ οὖν οἱ ἐπὶ τὸ σκληρότερον, ἀλλ' οὐ πέρα τοῦ μετρίου, οἷοι οἱ μετὰ πόνου καὶ πραγματείας παραδεχόμενοι, μνημονικοί, ὡς ὁ Νεώτερος Κάτων παρὰ Πλουτάρχῳ λέγεσθαι ἱστόρηται. (1) „ Νωθρὸς μὲν γὰρ ἦν ἀναλαβεῖν καὶ βραδύς, ἀ-
„ ναλαβὼν δὲ κάτοχος, καὶ μνημονικός. Πολλοὶ γοῦν τῆς συμμέτρου καὶ ἀκριβοῦς εὐμοιρήσαντες εὐκρασίας, θαυμαστοὶ ἀνεφάνησαν καὶ τὰς μνήμας· οἷον Σενέκας φασὶν (2) ὁ Ῥωμαῖος δισχιλίων φωνῶν ἀσυνδέτων ἅπαξ ἀκούσας, ἀπταίστως ἀπεδίδου. Καὶ Πόρτιος ὁ ἐκείνου ἑταῖρος, ἁπάσας ὅσας ἐν τοῖς δικαστηρίοις φθάσας ἠγώνιστο, ἀπεμνημόνευε τὰς δημηγορίας. Καὶ Κινέας ὁ ὑπὲρ Πύρρου πρεσβεύσας πρὸς τὴν Ῥωμαίων Σύγκλητον, ἅπαντας ὅσοις τῇ προτεραίᾳ ἐντετυχηκὼς ἦν, ἐξ ὀνόματος τῇ ὑστεραίᾳ προσεῖπε, δῆμον ὅλον. Καὶ Κῦρος δὲ τοὺς ὑπ' αὐτὸν στρατευομένους ὀνομαστὶ ἅπαντας προσφωνεῖν εἰώθει. Καὶ Λύκιος δὲ Σκιπίων, τοὺς τὴν Ῥώμην οἰκοῦντας ὁμοίως. Καὶ Χαρμίδης, ἢ ὡς ἄλλοι Καρνεάδης, τὰ ἐν ταῖς κατὰ τὰς βιβλιοθήκας, σωζομέναις δέλτοις, ἅττα ἂν ἐρωτηθείη, ὡς ἀναγινώσκων ἕκαστα, ἑτοίμως ἀπαγγέλλων ἦν, καὶ ἀπροσκόπως. Οὐχ ἧττον δὲ θαυμάσειέ τις ἐν τοῖς μνήμοσι καὶ Οὐαλλίσιον τὸν Νεώτερον Φιλόσοφον, ὃς ἐν σκότῳ τὰ προτιθέμενα οἱ τῶν ἀριθμητικῶν προβλημάτων εὐστόχως ἐπιλυόμενος, ἐξ ἀριθμῶν, οἷς ὑπὲρ τοὺς πεντήκοντα ἐπληθύνοντο οἱ χαρακτῆρες, τὰς τετραγωνικὰς ῥίζας ἐξῄρει. Εὐδαίμονες τῷ ὄντι τῆς εὐληψίας!

Γ'. Ἀκόλουθον δὲ ἐστὶ καὶ τὰς προσφερομένας τροφάς, καὶ δίαιταν τὴν περὶ αὐτάς, καὶ ἀέρα τὸν ἀναπνεόμενον, καὶ τ' ἄλλα ὡς περὶ τῆς φαντασίας ἐλέγετο, ( §. ψπϛ'. Β'. ) διαφέρειν εἰς μνήμην. Διὸ καὶ τὸν οἶνον (3) μνήμης εἶναι ἐπιβοήθημα φασί, τοῖς μετρίως δηλονότι χρωμένοις, ἅτε δὴ τῇ τοῦ πνεύματος διαθερμάνσει εὐτονωτέρας τοῦ ἐγκεφάλω

1) Περὶ Ἀνθρώπου. Κεφ. ΙΓ'.
2) Ἀριστοτέλης. Ἐν τοῖς περὶ Μνήμ. καὶ Ἀναμν.



(1) Ἐν Βίῳ αὐτοῦ.
(2) Ἐν Λεξικ. Εὐφραίμ. τοῦ Χάμβηρς ἐν φωνῇ Μνήμ.
(3) Αὐτ. Αὐτ.

λῳ ἐνεργαζόμενον τὰς κινήσεις· ὥστε καὶ τὴν ἀπὸ τῆς ἰατρικῆς ἐπιχειρίαν, μὴ πάντῃ δέον ἡγεῖσθαι εἰς τοῦτο ἀλυσιτελῆ, οὐδ' ἀπρόσφορον. Ἀεὶ γὰρ τὸ νοσοῦν καὶ κακούμενον, καὶ ὑγιάνσεως δεκτικὸν εἶναι πέφυκεν. Ὅτι δὲ τὸ μνημονικὸν τῆς ψυχῆς, νόσοις ὑπόκειται ταῖς χαλεπωτάταις, ἔκ τε τῆς τῶν κράσεων διαφορᾶς (§. ωέ. Πόρ. Β΄.) ἔνι τεκμαίρεσθαι, καὶ ἐκ τοῦ Ἑρμογένει τῷ Ταρσεῖ συμβάντος, περὶ ὃν τὸ Ὁμηρικὸν ἀτεχνῶς ἠλήθευσεν, τὸ τοὺς λόγους εἶναι πτερόεντας. (1).

Δ΄. Ἐπεὶ δὲ, ἐν τῇ τοῦ ῥάδιον ἐπιδέχεσθαι τὰς ἀπὸ τοῦ ζωτικοῦ πνεύματος ἀντιληπτικὰς κινήσεις, ὧν ἂν βούλοιτο ἡ ψυχὴ μνημονεύειν, ἑτοιμότητι τοῦ ἐγκεφάλου (§. ωῦ.), ἡ μνήμη κεῖται. Ἡ δὲ ἑτοιμότης ἐκ πλειόνων ἐνεργειῶν ἐπιγίνεται, (§. αὐτ.) φανερὸν (2) ὅτι ἡ μνήμη, καθάπερ καὶ Ἀριστοτέλης (3) αὐτὴν ἐκάλεσεν, ἕξις ἐστὶ Κυριώτατα. Τοιαύτην δὲ καὶ πολλοὶ τῶν Ἀρίστων ἐν Νεωτέροις (4) ἀποδεικνύουσι. Ταύτῃ τοι καὶ ῥᾷδιον μνημονεύομεν, ἐφ' οἷς πλεονάκις προσέχομεν, καὶ οἷς ἐμπαθῶς, καὶ ἀτενέστερον ἐνεκύψαμεν, καὶ ἁπλῶς ὅσα κινεῖ πως σφοδρότερον. „ Διὸ „ καὶ τὰς τῶν πράξεων μνήμας (5) οὐδεὶς οὐδ' ἂν βουληθείη „ ἐκστήσειεν ἑαυτοῦ, ὡς ὑφ' ὧν μάλιστα κεκίνηται.

Ε΄. Ἐντεῦθεν δὲ ῥᾴδιον, καὶ τί δήποτε ἀνάμνησις ἐστὶ διορίσαι· Τῶν γὰρ κατὰ τὸ αἰσθητήριον ἐφεξῆς τεταγμένων πλειόνων ἰχνῶν, οἷον α, β, γ, δ, κτ. εἴγε αὐτῶν, ἢ ἓν ἢ πλείοσι ῥᾳδίως ὑπενδιδῶσι τῷ δι' αὐτῶν τὴν ἀντίληψιν ἐνεργαζομένῳ πνεύματι, τὰ λοιπὰ ὑπὸ χρόνου, ἢ πάθους ἀμυδρότερα γενόμενα, μὴ ἑτοίμως συνυπενδιδῶσι, μὴ δ' ἐχομένως, ὡς ἄλλοτε, ταῖς ἡγουμέναις τὰς ἐφεξῆς ἀντιλήψεις ἐπικάσας παρέχωνται, τέως δὲ τῇ ἐκεῖθεν, συνεπείξει τῆς ψυχῆς ἀρχομένῃ κινήσει, ἐπὶ τὰ βαθύτερα καὶ

ταυ-

(1) Σουΐδ. ἐν Λεξ. Ἑρμογ.
(2) Ἐν τῇ Λογικ. Περὶ Ποιότητος.
(3) Περὶ Μνήμ. καὶ Ἀναμν.
(4) Λώκιος. Περὶ Νοῦ Βιβλ. Β΄. Κεφ. Ι΄. Καὶ Γενουήσ. Πρῶτ. ΝΛ΄.
(5) Πλούταρχ. ὅτι οὐδὲ ζῆν ἐστὶν ἡδέως κατ' Ἐπίκουρον.



ταῦτα μεταβαλόντα, τὸ πρότερον ἀναζωπυρήσωσι πάθος, καὶ τὴν ἐξ ἀρχῆς ἀνακτήσωνται δεξιότητα, τοῦτο ἔσται τὸ συμβαῖνον, ὃ καλεῖν εἰώθαμεν ἀνάμνησιν. „ Ὥστε διαφέρειν „ μνήμης ἀνάμνησιν, τῷ τὴν ἀνάμνησιν εἶναι ἀνανέωσιν „ προτέρας μνήμης, ἐπὰν λήθη γενομένη, τὸ συνεχὲς ἀ- „ ναλύσῃ. Καὶ ἔστιν αἴτιον ἀναμνήσεως, ἡ τῶν προτέρων „ κινήσεων ἀνανέωσις. (1) Καί τις ἂν ὀρθῶς οἶμαι ταύτην ὁρίσειε, ἀπὸ λήθης εἰς μνήμην εἶναι, διὰ μνήμης μετάβασιν. Εἰ μὴ γὰρ διὰ μνήμης, οὐκ ἔσται ἀνάληψις. Εἰ δὲ μὴ ἀπὸ λήθης, ἀπομνημόνευσις. Τὸ μὲν εἰ πρῶτόν τις ἀναλάβοι, τὸ δὲ, εἰ δεύτερον ὑπομνησθείη. Διὸ καὶ ὁ Σταγειρίτης (2) εὐστόχως „ οὔτε μνήμης ἐστὶν ἀνάληψις, φη- „ σὶν, ἡ ἀνάμνησις, οὔτε λῆψις. Ὁ δὲ Νεώτερος Γενουώσιος (3) καὶ πάνυ ἡμαρτημένως, ἀποδοὺς, τοσούτῳ μνήμης „ διαφέρειν ἀνάμνησιν, ὅσῳ καὶ ἕξεως τὴν κατ' αὐτὴν ἐ- „ νέργειαν. Ἡ γὰρ ἐνέργεια τῆς καθ' ἕξιν μνήμης ἐστὶν ἡ ἀπομνημόνευσις, οὐχ ἡ ἀνάμνησις. Ἀνάμνησις γὰρ λέγε- „ ται (4) ὅταν λήθη μεσολαβήσῃ τὴν μνήμην, ἔστι γὰρ „ ἀνάμνησις μνήμης ἐξιτήλου γενομένης ἀνάκτησις.

ϛ΄. Ἐπεὶ οὖν κινήσεώς τις συνεχισμὸς, τὸ τὴν ἀνάμνησιν ἐστὶν ἐργαζόμενον (διὰ τὸ ἀνωτ.) φανερὸν, ὡς ὧν τινων αἱ κινήσεις ὦσι μᾶλλον ἀλλήλων ἐχόμεναι, τούτων καὶ αἱ ἀναμνήσεις ῥᾷσται. Τοιαῦτα δὲ μάλιστα τὰ πρὸς ἄλληλα ἐστὶν ἔχοντα, τούτων γὰρ καὶ αἱ φύσεις ἅμα, καὶ αἱ γνώσεις, εἰ δὲ αἱ γνώσεις, καὶ αἱ κινήσεις, δι' ὧν τὸ γνωστικὸν αὐτοῖς προσέχειν ἐνάγεται. Διὸ καὶ οἱ ἀναλαμβάνειν τῇ μνήμῃ ἑτοίμως βουλόμενοι, πρὸς ταῖς ἀναφοραῖς τὸν νοῦν ἔχουσι. „ Καὶ ὅσα τάξιν τινὰ ἔχει, εὐμνημόνευτά ἐστιν· „ ἐν ἀναφορᾷ γὰρ ἡ τάξις. (5)

Περὶ

(1) Μιχαὴλ ὁ Ἐφέσ. εἰς τὸ Περὶ Μνήμ. καὶ Ἀναμν. ἐν Προοιμ.
(2) Ἀριστ. Περὶ Μνήμ. καὶ Ἀναμν.
(3) Ἐν Ψυχολογ. Ὁρισμ. Ζ΄. καὶ ἐν τῷ Σχολ.
(4) Νεμέσ. Περὶ Ἀνθρώπου Κεφ. ΙΓ΄.
(5) Ἀριστ. Περὶ Μνήμ. καὶ Ἀναμν.

# Περὶ Δυνάμεως, ἣν ἰδιαίτερον Νοῦν καλοῦμεν.

## Θεώρημα Ν'.

§. ωϛ'. „ Ὅτι καὶ περὶ ὕλης παντοίας ἀπηλλαγμένη ἡ „ λογικὴ ψυχὴ γνωστικῶς πέφυκεν ἐνεργεῖν, ὁμόλογον.

Περὶ τούτου τὴν ἐν ἑκάστῳ ἐνοῦσαν συνείδησιν μαρτυρόμεθα. (§. χοϛ'.)

Ἄλλως· ἅτε δὴ μὴ πρὸς ἑαυτὴν οὖσα ἡ ψυχὴ ἀνεπίστροφος, ἑαυτήν τε γινώσκει, καὶ τὰς ἐνεργείας τὰς κατ' αὐτήν. Ἃ δὴ ὕλης παντοίας φύσει ἀπήλλακται. (§. ψκϛ'. ψκζ'.)

Ἄλλως· τοῦ γνωστικοῦ τῆς ψυχῆς ἀντικείμενον τὸ ὄν, ἢ ἀληθὲς ὡμολόγηται. Ἀληθὲς δὲ οὐδὲν ἧττον τοῦ ἐν ὕλῃ, τὸ ὕλης ἐκτός, εἰ μὴ καὶ πλέον. Ἄρα κτ.

## Σχόλιον.

§. ωζ'. Οὐδεὶς ἂν ἔξαρνος τούτου γένοιτο·

„ Οὐδ' εἰ ψεύδεα μὲν ποιῇ ἐτύμοισιν ὁμοῖα,
„ Γλῶσσαν ἔχων ἀγαθὴν Νέστορος ἀντιθέου.

Τί γάρ; οὐ τὰ καθόλου ἡ ψυχὴ περισκέπτεται, οὐ τὰ προσόντα τῶν οἷς πρόσεστι δι' ἀφαιρέσεως ἀποσπάσασα, καθ' αὑτὰ ἀναπολεῖ; οὐ τάξεις, οὐ λόγους, καὶ σχέσεις, οὐ τὴν ἀλήθειαν αὐτήν, οὐ δυνάμεις, οὐκ ἐνεργείας ἁπλῶς τε καὶ ἀορίστως, χωρὶς τῶν ὧν τε εἰσί, καὶ οἷσπερ ἔνεισι ταῦτα διανοεῖται; Οὐκ εἴδη τινὰ ὅλως τῆς ὕλης ἐξῃρημένα, οὐ κεχωρισμένα ὄντα; οὐ τὸν Θεὸν αὐτόν; οὐχ ἑαυτήν; Δοῦμεν γὰρ πρὸς βραχύ, ὅτι καὶ ἐκ τῆς ὕλης ἀεί ποτε ὁρμωμένη τὸ πρῶτον, εἰς ταῦτα ποιεῖται διὰ συλλογισμοῦ τινὸς μετάβασιν, ἀλλ' ἵσταται δήπου μεταβᾶσα, καὶ τούτων ἐναστίζει ταῖς φύσεσι καὶ τοῖς λόγοις, αὐτὰ δὴ πέρας λαβοῦσα τέως τῶν ἑαυτῆς κινήσεων τὰ ἀσώματα, καὶ εἴπερ ἐξ ὕλης τυχοῦσα τὸ εἰς θεωρίαν ἐνδόσιμον, οὐ μὴν καὶ μεθ' ὕλης ταῦ-

τα



τα περισκοπεῖ. Ἀλλ' ὥσπερ ἀΰλῳ νεύματι τῷ τῆς ψυχῆς ἀγόμενον ἐπὶ τὰ ἄϋλα τὸ σῶμα, ἢ τοιαῦτα, τὰς κατ' αὐτὸ ἐνεργείας περαίνει, ὥστ' εἰ κἂν δοίημεν ἀεὶ διὰ σωματικῆς τινὸς προηγουμένης κινήσεως τὴν ψυχήν, ἐπὶ τὴν τῶν ἀσωμάτων θεωρίαν ἐνάγεσθαι, ἀσωμάτως ἀλλ' οὖν καὶ αὐτή, ἀσώματος οὖσα, τῶν ἀσωμάτων, ἢ τοιαῦτα θίξει. Εἰ μὴ μέλλοι, ἤτοι τοῦ σώματος αὐτοῦ ἀφυεστέρα κρίνεσθαι, ἢ ὡς οὐκ ἔχει, τουτέστιν ὡς ἄϋλα τὰ ὑπὲρ τὴν ὕλην ἀνατυποῦσθαι. Τὸ τοίνυν Θεώρημα οὐδ' Ἀριστοτέλης αὐτός, οὐδ' ὁ Νεώτερος Μεταφυσικὸς Λώκιος, οἱ μηδὲν εἶναι τῷ νῷ, ὃ μὴ πρότερον ἐν τῇ αἰσθήσει ὑπερδιατεινόμενοι, ἀποφήσειαν. Ὁ μὲν γὰρ εἰκασίαις τε καὶ συλλογισμοῖς καθ' ἑαυτὴν προχρωμένην, καὶ τῶν ἀϋλωτέρων ἐννοιῶν ἐπιδεκτικὴν τὴν ψυχὴν εἶναι δίδωσιν· ὁ δὲ καὶ τὰ ὕλης παντοίας κεχωρισμένα ὄντα ἀποφαίνεται. Ταύτῃτοι καὶ τοὺς ἀρχαίους (τὸν Ἐμπεδοκλέα καὶ τὸν Ὅμηρον λέγων) οὐκ ἐπαινεῖ (1) τοὺς οὕτω πεποιηκότας, ὡς εἴγε ταὐτὸν ἦν τῇ φαντασίᾳ καὶ τῇ αἰσθήσει, ἡ νόησις. „ Ὁ μὲν γάρ, πρὸς παρεόν, φησί, μῆ„ τις ἀέξεται· ὁ δέ, ῥαψῳδεῖ·

„ Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων,
„ Οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε.

Εἰ δὲ καί τινας προτείνας ἀπορίας Ἀριστοτέλης (2), τὰς τῇ ἐναντίᾳ δόξῃ συνηγορεῖν δοκούσας, οὐχ οὕτω σαφεῖς ἔπειτα προστίθεται τὰς ἐπιλύσεις, ἔστι γεμὴν ἐκ τῶν αὐτοῦ, ἐν ἄλλοις που αὐτῷ εἰρημένων, καὶ τὰς πρὸς ἐκείνας ἀπαντήσεις κομιδῇ ῥᾴδιον προχειρίσασθαι. Βέλτιον δὲ ἴσως ἐκ τῶν τοῦ Φιλοπόνου λαβεῖν τὸν περὶ τούτου λόγον ἀξίως τε προβαλλόμενον, καὶ πολλὴν πρὸς διασάφησιν τοῦ προκειμένου παρεχόμενον τὴν συντέλειαν. (3) „ Ἀριστοτέλης λέγει, „ ὅτι τριττὰ εἰσὶ τὰ νοητά· ἔστι γὰρ ἄϋλα νοητὰ πρῶτα, „ δεύτερα νοητὰ μέσα, καὶ τρίτα τὰ ἔνυλα. Καὶ ἐπὶ μὲν

„ τῶν

(1) Ἀριστ. Περὶ Ψυχ. Βιβλ. Γ'.
(2) Αὐτ. Αὐτ.
(3) Φιλόπον. Ἐν Ὑπομν. εἰς τὸ Γ'. Βιβλ. τῶν περὶ Ψυχ. Ἀριστ.

„ τῶν ἀΰλων, φησὶν, ὅτι οὐκ ἔστι χρεία φαντασίας· ἀφαν-
„ τάστοι γὰρ αἱ νοήσεις. Ὅταν δὲ, φησὶ, τὰ μαθήματα
„ νοῇ, ὑποκειμένῳ κέχρηται τῇ φαντασίᾳ. Εἰ δὲ καὶ ὡς
„ ὑποκειμένῳ αὐτῇ κέχρηται εἰς τὸ εἰδέναι τὰ μαθηματι-
„ κὰ, οὐ παρὰ τοῦτο τὰ αὐτὰ ἐστὶ φαντάσματα καὶ μαθή-
„ ματα. Τὰ γὰρ φαντάσματα μόνῃ φαντασίᾳ ὑπόκειται.
„ Τὰ δὲ μαθήματα ψυχῇ, ὑποκειμένῳ κεχρημένῃ τῇ φαν-
„ τασίᾳ. Τὰ δὲ ἔνυλα γινώσκει ἡ ψυχὴ ὀργάνῳ κεχρη-
„ μένη τῇ αἰσθήσει, καὶ φαντασίᾳ. Εἰ οὖν ἐστὶν ἀφάνταστος
„ ἐνέργεια, δυνατὸν ἄρα τὸν νοῦν ἐν τῇ φύσει ὄντα, εἰ-
„ δέναι ταύτην τὴν ἐνέργειαν. Οὐδενὸς γὰρ δεῖται εἰς τὸ
„ εἰδέναι ταύτην. Συνηγορεῖ δὲ τῇ δόξῃ τῇ λεγούσῃ ὅτι
„ ὁ νοῦς οὐ γινώσκει τὰ πάντῃ ἄϋλα εἴδη. Ταῦτα δὲ χω-
„ ριστὰ τῆς ὕλης ἐστίν· ὤφειλεν οὖν καὶ αὐτὸς χωριστὸς εἶναι
„ τῆς ὕλης ἵνα νοήσῃ ταῦτα. Εἴγε δεῖ ἐξομοιοῦσθαι κατὰ
„ πάντα τὸ γινῶσκον τῷ γινωσκομένῳ. Ἀλλ' ἐν τῷ ζώῳ
„ οὐ κεχώρισται, οὐκ ἄρα νοεῖ αὐτά. Αὕτη μὲν ἡ πρώτη
„ συνηγορία. Ψευδὴς δὲ ἐστὶν ὦ Ἀριστότελες. Εἰ γὰρ οὐ
„ νοεῖ ὁ νοῦς ἐν τῷ ζώῳ ὢν τὰ πάντῃ ἄϋλα, πῶς ἐν τῇ
„ μετὰ τὰ φυσικά σου πραγματείᾳ καὶ ἐζήτησας τὰ πάντῃ ἄϋ-
„ λα εἴδη, καὶ εὗρες, καὶ ἀπήγγειλας ἡμῖν; Ὥστε δῆλον ὅτι καὶ
„ ὁ νοῦς ἐν τῷ ζώῳ ὢν γινώσκει τὰ πάντῃ ἄϋλα εἴδη....
„ Δευτέρα συνηγορία. Ὁ νοῦς οὐ νοεῖ τὰ ἄϋλα εἴδη, ἐπει-
„ δὴ οὐδὲ ἔστιν ὅλως ἄϋλα εἴδη... Πρὸς ἣν λέγομεν ὅτι
„ πῶς ταῦτα λέγεις ὦ Ἀριστότελες, ὃς ἐν ἄλλαις πραγ-
„ ματείαις διαῤῥήδην βοᾷς, εἶναι τὰ θεῖα εἴδη, ἅτινα ἐ-
„ στὶ τὰ ἄϋλα; ... Τρίτη συνηγορία. Ὁ νοῦς ἀεὶ μετὰ φαν-
„ τασίας ἐνεργεῖ.... καὶ ὅτε περὶ τὰ θεῖα ἐνεργεῖ.... ἐκ
„ γὰρ τοῦ γνῶναι τὸν νοῦν τὴν εὐταξίαν τοῦ κόσμου, καὶ τὴν
„ ἀρετὴν τῶν πραγμάτων, ἀνάγεται ἐπὶ τὸ γνῶναι τὴν
„ αὐτὰ διακοσμήσασαν πρόνοιαν.... ἡ δὲ φαντασία ἀεὶ τὰ
„ ἔνυλα γινώσκει, μόνα γὰρ ἐκεῖνα οἶδεν, ἃ ἡ αἴσθησις οἶ-
„ δεν.... ἡ δὲ αἴσθησις μόνα τὰ ἔνυλα οἶδεν. Ὁ νοῦς ἄ-
„ ρα μόνα τὰ ἔνυλα οἶδεν.... Καὶ πρὸς ταύτην δὲ ἀντι-
„ λέγομεν, ὅτι ὁ νοῦς ὅτε περὶ τὰ μερικὰ αἰσθητὰ ἐνερ-
„ γεῖ, τότε μετὰ φαντασίας ἐνεργεῖ, καὶ οὐκ ἀφίσταται αὐτῆς
„ ἀπ' ἀρχῆς ἕως τέλους, ἀλλὰ μετ' αὐτῆς ἐστὶν ἐν τοῖς αἰ-

„ σθη-



„ σθητοῖς. Ὁπηνίκα δὲ τὰ θεῖα νοεῖ, τηνικαῦτα διὰ φαν-
„ τασίας μὲν ἐνεργεῖ· εἴπομεν γὰρ ὅτι διὰ τῆς εὐταξίας καὶ
„ εὐκοσμίας τῆς θεωρουμένης ἡμῖν μεταγόμεθα ἐπὶ τὸ
„ θεῖον· ὥστε διὰ μὲν φαντασίας, οὐκέτι δὲ μετ' αὐτῆς.
„ Οὐδὲ γὰρ ἔτι δεῖται αὐτῆς. Τὰ γὰρ ἀσώματα καὶ χωρὶς
„ φαντασίας νοοῦνται.... Τετάρτη συνηγορία. Οὐ δύναται
„ ὁ νοῦς νοεῖν τὰ ἄϋλα, διότι ὁ νοῦς ὁ αὐτός ἐστι τῇ φαν-
„ τασίᾳ· ὥσπερ γὰρ ἡ φαντασία οὔτε ἀληθεύει, οὔτε ψεύ-
„ δεται.... Πρὸς ἣν λέγομεν ὅτι οὐκ ἔστιν ὁ νοῦς ταὐτὸν
„ τῇ φαντασίᾳ, διότι ἡ φαντασία ποιότητας μόνον γινώ-
„ σκει, ὡς καὶ αἱ αἰσθήσεις γινώσκουσιν. Οὐδὲν γὰρ οἶδεν ἡ
„ φαντασία, ὃ μὴ καὶ ἡ αἴσθησις οἶδεν· ὁ δὲ νοῦς τὰς οὐ-
„ σίας οἶδεν.... Οὐκ ἄρα ὁ νοῦς φαντασία ἐστίν. Ὅθεν
„ καὶ ἐν Θεαιτήτῳ ὁ Πλάτων φησὶν, ἡ δὲ φαντασία ἀτυχὴς
„ οὐσίας· ἀντὶ τοῦ οὐ τυγχάνει αὐτῇ γνῶσις οὐσίας· ὥστε
„ οὐκ ἔστι ταὐτὸν νοῦς καὶ φαντασία. Καὶ ταῦτα μὲν ἐξ Ἀ-
ριστοτέλους καὶ πρὸς Ἀριστοτέλην ἡμῖν ὁ Φιλόπονος. Οἱ δὲ
περὶ Θωμᾶν (1) Ἀριστοτελίζοντες, ἀντικείμενον τῷ νῷ ἐν
τῇ μετὰ σώματος καταστάσει, τὸ τί ἦν εἶναι τῆς ἐνύλου καὶ
αἰσθητῆς οὐσίας τιθέμενοι, ὡς ἄρα καὶ δι' εἰδῶν αἰσθητῶν
νοοῦντι, καὶ παρὰ τὸ τῇ ὕλῃ συνῆφθαι, τὸ ἀνάλογόν πως
πρὸς τὰ νοητὰ διασώζοντι, οὐ μὴν πάντῃ τὴν ψυχὴν, καὶ
ἐν σώματι οὖσαν, τῆς περὶ τὰ ἄϋλα ἀποστεροῦσι γνωστικῆς
δεξιότητος. Ὁμολογοῦσι καὶ γὰρ ἐνεργεῖν αὐτὴν, καὶ περὶ
τὰ ἐκ τῶν αἰσθητῶν διὰ συλλογισμοῦ μὲν ἐπιφερόμενα, αἰσθή-
σει δὲ μηδεμιᾷ γινώσκεσθαι φύσιν ἔχοντα· οἷα εἰσὶν (2) αἱ
ἀναλογίαι, καὶ αἱ σχέσεις, καὶ οἱ καθόλου λόγοι τοῦ ὄντος,
τοῦ ἀληθοῦς, τῆς ἐνεργείας, τῆς δυνάμεως, τῆς αἰτίας, τοῦ
αἰτιατοῦ, καὶ τῶν παραπλησίων· μᾶλλον δὲ, καὶ ἑαυτὴν, φα-
σὶ, καὶ τὰς κατ' αὐτὴν ἐνεργείας σαφῶς ἐπιγινώσκει· ὥστε
ἡμῖν ἀναμφίλεκτον κεῖσθαι τὸ δόγμα, καὶ παρ' αὐτοῖς τοῖς
δοκοῦσιν ὁπωσοῦν ἀντιφέρεσθαι, ἐγκρινόμενον.

Θεώ-

(1) Ἀκινάτ. Α'. Μέρ. Ζητήμ. ΙΒ'. Ἄρθρ. Δ'. καὶ Ζητήμ. ΠΕ'. Ἄρθρ. Λ'.

(2) Γασσένδ. Φυσικ. Δ'. Μέρ. Ζητήμ. Δ'. Περὶ Νοῦ. Ἄρθρ. Β'.

## Θεώρημα ΝΑ'.

§. ωή. „ Τὴν λογικὴν ψυχὴν, μηδὲν ὅλως καθ' ἑαυτὴν γνωστικῶς ἐνεργεῖν οἵαν τε εἶναι, ἀεὶ δὲ ἐξηρτημένως „ τοῦ σώματος, οὐ δοκεῖ.

„ Εἰ γὰρ ἀεὶ ἐξηρτημένως, ἤτοι ὡς ἐξ αἰτίου, ἢ ὡς ἐκ συναιτίου, ἢ τέως ὡς ἐξ ἀφορμῆς εἰς τοῦτο αὐτὴν ἐναγούσης. Ἀλλὰ τὸ μὲν ὡς ἐξ αἰτίου, ἢ ὡς ἐκ συναιτίου, σχολῇ γ' ἂν λέγοιεν τοῖς ἀσώματον εἶναι οὐσίαν (§. ψκϛ'. ψκζ'.) αὐτὴν πεπεισμένοις, καὶ διὰ σωματικῶν κινήσεων, ἀδύνατον εἶναι γνῶσιν τελεσθῆναι, ἤδη (§. χυθ'. κξ.) ἀποδεδειχόσι. Λοιπὸν δὲ ἄρα τὸ τρίτον. Καὶ συνηλεῖν τινα δῆθεν ἀεὶ σωματικὴν κίνησιν τῇ ψυχῇ ὑποληπτέον, καὶ ἐν οἷς τι τῶν ὄντων ἄυλον ὅπῃ νοεῖ, (§. ωϛ'. ωζ'.) ἢ ὅτι ῥᾴδιον διὰ τῆς κινήσεως, ἢ ὅτι οὐκ ἄνευ. Ἀλλ' ἐστὶν οὐδέτερον· ἡ γάρ τοι κίνησις, ἤτοι πρὸς ἑαυτὴν τὸ γνωστικὸν ἀνακαλοῦσα προσέχειν αὐτῇ ποιεῖ, ἢ οὐχί. Καὶ εἰ τοῦτο, παραπλήσιον ἂν εἴη, ὡς εἰ μηδὲ τὴν ἀρχὴν ὅλως ἐγίνετο. Εἰ δ' ἐκεῖνο, ἀπάγοι ἂν ὡς εἰκὸς ἀπὸ τοῦ ὑποκειμένου (§. χοδ'.), καὶ πρὸς ἑαυτὴν ἀφέλκουσα, αἰσθήσεως μᾶλλον, (§. ψοδ'. Α'.) ἢ φαντασίας, (§. ψπϛ'. Γ'.) νοήσεων δὲ τῶν καθαρωτέρων (§. χοϛ'.) οὐδεμιᾶς παραίτιος γίγνοιτο, τοῦ νοητοῦ μάλιστα μηδὲν ἔχοντος κοινὸν πρὸς τὰ κινοῦντα τὴν αἴσθησιν. Πᾶσα ἄρα ἀνάγκη, ἢ μηδὲν τῶν πάντῃ ἀΰλων ὑπολαμβάνειν νοητὸν εἶναι τῇ ψυχῇ, ἢ μὴ ἀεὶ ἐξηρτῆσθαι αὐτὴν γνωστικῶς ἐνεργοῦσαν τοῦ σώματος. Ἐκεῖνο δ' οὐκ ἔστιν. (§. ωϛ'. ωζ'.) Τοῦτο ἄρα.

Ἢ καὶ οὕτως· Πότερόν ποτε τὴν λογικὴν ψυχὴν, χωρὶς τοῦ σώματος, κατ' οὐσίαν τουτέστι τὴν ἑαυτῆς ἀνασκεψάμενοι, γνωστικῆς ἁπάσης δυνάμεως ἄμοιρον θήσομεν; ἢ οὐχί; Εἰ μὲν γὰρ ἄμοιρον, χωρισθεῖσα δηλονότι τοῦ σώματος [illegible]ματι, ἢ πέφυκεν, (§. ψλγ'. ψλδ'. Καὶ ψκε'.) [illegible] ἔσαι νοήσεως οὐδόλως μετέχουσα, καὶ οὐδὲ ψυχὴ ὅλως. Ὅπερ ἄτοπον. Εἰ δ' οὐχὶ, οὐσιωδῶς δὲ αὐτῇ τὸ γνωστικὸν τῆς δυνάμεως προσοφείλεται, ἐπείπερ ἐν σώματι οὔσῃ, τῆς μὲν τοῦ καὶ ἄνευ σώματος γινώσκειν δυνάμεως μέτεστιν (ἐξ

ὑποθ.),



ὑποθ.), τῆς δ' ἐνεργείας οὐδαμῶς, ἐμποδὼν αὐτῇ εἶναι τὸ σῶμα ῥητέον, τοῦ μὴ εἰς ἔργον ἀγαγεῖν ἔχειν τὴν αὐτῇ προσοῦσαν δύναμιν, ἤτοι ἀφέλκον ἐπὶ τὰς αὐτοῦ ἐπισυμβαινούσας κινήσεις, ἢ τέλεον αὐτὴν οἱονεὶ καταδεσμεῦον, καὶ ἀργεῖν ποιοῦν. Ἀλλ' εἰ τοῦτο, οὐδὲν ὅλως γνώσεται ἡ ψυχή· τὸ ἀλογώτατον. (§. χξη'. κξ.) Εἰ δ' ἐκεῖνο, γνώσεται μὲν, προσέξει δὲ ἀεὶ ταῖς τούτῳ γινομέναις κινήσεσιν. Ἀεὶ δὲ ἄρα ἤτοι αἰσθήσεται, (§. ψοδ'.) ἢ φαντασθήσεται (§. ψπϛ'.) τῶν δὲ ὕλης πάντῃ ἀπηλλαγμένων νοήσει οὐδέν. Ἀλλ' οὐκ ἔστιν. (§. ωϛ'. ωζ'.) Ἄρα κτ.

## Σχόλιον.

§. ωθ'. Κἀνταῦθα πάλιν ἡμῖν πρὸς Ἀριστοτέλην γίνεται διαφέρεσθαι, καὶ οὐ μόνον, ἀλλὰ καὶ πρὸς ἅπαντας μονονουχὶ τοὺς ἐνδοξοτάτους τῶν Νεωτέρων, εἴπερ ἀληθὴς ὁ εἰπὼν (1) vix hodie in Europa reperias, qui sit nominis alicujus, ejus doctrinæ Patronum. „ μόλις καθ' ἡμᾶς εἶναι τινὰ, τῶν κατὰ τὴν Εὐρώπην ἐν Φιλοσοφίᾳ περιωνύμων, ὃς τῆσδε τῆς δόξης προΐσταται. Ἀμέλει τοι τὸ μηδὲν εἶναι ἐν τῷ νῷ, ὃ μὴ πρότερον ἐν τῇ αἰσθήσει εἴη, οὕτω κοινὸν οἱόν τι δόγμα, καὶ πάνδημον, παρὰ τοῖς νῦν Σοφοῖς διατεθρύλληται. Καίτοι τοὺς μὲν τὴν ψυχὴν κατασωματώσαντας οὕτω φρονεῖν εἰκὸς ἐστὶ, καὶ ἀκόλουθον, τοὺς δὲ ἄϋλόν τινα φύσιν αὐτὴν εἰδότας, ἐπ' αὐτὸ τοῦτο ἐκείνοις συγκατενεχθῆναι τὸ φρόνημα, οὐκέτι οἶμαι λόγου τινὸς ἐχόμενον εἶναι, οὐδὲ ἀνεκτόν. Οὗτοι καὶ γὰρ οὕτω τῶν συγκροτούντων τὴν ἀνθρώπου φύσιν, τῷ μὲν ἀτιμοτέρῳ καὶ χείρονι παρέχονταί τι, καὶ καθ' ἑαυτὸ ὑπὸ ἄλλων κινεῖσθαι, μὴ πειθαρχοῦντι ψυχῇ τῇ κρείττονι· (§. ψξα'.) ταύτην δὲ χωρὶς ἐκείνου τό γε νοεῖν πάντῃ ἀδρανῆ ἀποφαίνονται. Καὶ δυ-

σὶ

(1) Γενουήσ. Μεταφ. Μέρ. Β'. Περὶ τοῦ Συστήματος τῶν ἐμφύτ. ἰδεῶν.

σι τούτοις μάλιστα τὴν ψυχῆς οὐσίαν χαρακτηρίσαντες, τῷ τε κινητικῷ, καὶ τῷ γνωστικῷ (1) κατὰ μὲν ἐκεῖνο ταύτῃ τὸ σῶμα, καλῶς ποιοῦντες, κατὰ δὲ τοῦτο ταύτην τῷ σώματι, οὐκ ὀρθῶς δήπου, πάντῃ πάντως φέροντες καθυπέβαλον. Αὐτοκίνητόν τε (μάλιστα οἱ μετὰ Ἀριστοτέλην) λέγειν ἀξιώσαντες, ἐπ' οὐδενὸς καὶ αὐτογνωστικὴν ἀποκαλεῖν φέρουσιν. Ἀλλ' ἐξεταστέον (οὐδὲ γὰρ μικροῦ τινος λόγου τὸ πρᾶγμα δοκεῖ) τὸ λεγόμενον. „Οὐδὲν φασὶν ἐν τῷ νῷ, ὃ μὴ πρότε„ρον ἐν τῇ αἰσθήσει. Πότερον οὖν, τὸ αὐτὸ ὑποκείσονται τῶν δυνάμεων ἑκατέρα, ἢ τῇ ἑτέρᾳ ἕτερον; Εἰ μὲν γὰρ τὸ αὐτό, οὐκέτι δύω, μία δὲ ἀμφότεραι δυνάμεις ἔσονται, ἡ αὐτή. Τοῖς γὰρ ἀντικειμένοις περὶ ἃ ἐνεργοῦσι τὰς δυνάμεις εἰδοποιεῖσθαι, καὶ διακρίνεσθαι, οἱ πάντες φασίν. Εἶναι δὲ τὴν αὐτὴν δύναμιν νοῦν τε καὶ αἴσθησιν, οὐδεὶς ἂν φαίη, οὐδ' ἣν φαίη, οὐδὲ τούτοις ἀποδεκτὰ ἐρεῖ, πρὸς οὓς περ διαφερόμεθα. Εἰ δ' ἕτερον, τοὐναντίον ἄρα, τὸ ἐν τῷ νῷ οὐδὲ πρότερον ἐν τῇ αἰσθήσει, οὐδ' ὕστερον, οὐδ' οὐδέποτε γένοιτο ἄν. Πρὸς ταύτῃ γε μὴν ἐκεῖνο ἀπαντᾷ αὐτοῖς λείπεται, τὸ μὴ εἰδικῶς, ταυτικῶς δέ, καὶ τῷ λόγῳ τοῦ ὑποκειμένου. Τῶν γὰρ ἐφ' ἑκάστου ἐπιθεωρουμένων, ἔστι μὲν ὧν ἀντιληπτικὴ τυγχάνει οὖσα ἡ αἴσθησις, οἷον τῶν χροιῶν, τῶν ὀσμῶν, τῶν χυμῶν, τῶν ἤχων, τῶν μεγεθῶν, τῶν σχημάτων, τῶν κινήσεων, καὶ τῶν παραπλησίων, ἄλλη ἄλλων, ἔστι δ' ὧν ὁ νοῦς, οἷον τῶν αἰτίων, τῶν σχέσεων, τῶν δυνάμεων, τῶν οὐσιῶν, καὶ τῶν τοιούτων. Καὶ τὸ αὐτὸ ἄρα οὐκ ἄν γε οὕτω ποτὲ παρείη τῷ νῷ, εἰ μὴ ἐκείνως πρότερον φθάσαν κινήσῃ τὴν αἴσθησιν. Ἀλλὰ Α'., εἰ μὲν περὶ ὑπάρξεως αὐτοῖς ὁ λόγος, ὀρθῶς ἂν ὁπωσοῦν χωροίη. Εἶναι γὰρ ἐνεργείᾳ τόδε καὶ τόδε, τάς δε καὶ τάς δε τὰς νῷ μόνῳ ληπτὰς τελειότητας, ἐκ τῶν αἰσθήσει τῷ αὐτῷ ἐπιφαινομένων ποιοτήτων, καλῶς συμβάλλομεν· οἷον ἐπεὶ ἐνεργεῖ περί τι τῶν ἡμετέρων αἰσθητηρίων, πάρεστι τεκμήριον ὅτι, καὶ δυνάμεως ἀμοιρεῖ, ἔστι καὶ οὐσία τις ἐρεῖ, ὅτι καὶ ὑπάρχει, καὶ ὅσα τοιαῦτα. Εἰ δὲ

περὶ

(1) Ἀρισ. Περὶ Ψυχ. πολλαχοῦ.



περὶ τοῦ τί ἦν εἶναι τούτων ἕκαστον λέγοιεν, κομιδῇ ψευδὲς τὸ λεγόμενον. Οὐ γὰρ τῆς αἰσθήσεως ἐστὶ τὸ διδάσκειν τί τὸ ὂν καθ' ἑαυτό, καὶ ἡ οὐσία, καὶ τὸ εἶναι, καὶ τί δύναμις, καὶ τί τὸ φύσει πρότερα εἶναι ταῦτα τῶν ἐνεργειῶν, καὶ ὅσα τοῦ τοιούτου γένους. Ἐπεὶ οὐδὲ θίγειν ὅλως πέφυκε τούτων ἡ αἴσθησις· ἢ τοῦτ' ἂν ὅμοιον εἴη, τῷ τυφλὸν ὑπὸ τυφλοῦ ὁδηγεῖσθαι, εἰ μὴ ἄλλοθεν ὁ νοῦς τὰς καθαρωτέρας ἔχων ἐννοίας, ὑπὸ τῆς αἰσθήσεως ἕξειν ἐλπίσειεν τῆς οὔτ' ἐχούσης, οὔτε ὅλως λαβεῖν δυναμένης. Β'. Εἰ δὲ καὶ ἐπὶ τῶν ἐξ ἀφαιρέσεως νοητῶν, οἷα τὰ εἰρημένα, ἔχειν τι καὶ λέγειν ἐοίκασιν, ἀλλ' ἐπὶ τῶν φύσει ἀΰλων, οἷον τὸ θεῖον, οἷα τὰ κεχωρισμένα εἴδη, οἷα ἡ ἐν ἡμῖν ψυχή, τί ποτε φήσουσιν; ἢ ὅτι ἐκ τῶν ἐνεργημάτων καὶ ταῦτα τῶν ταῖς αἰσθήσεσιν ὑποπιπτόντων καθίσταται πρόδηλα; Ἀλλ' εἴγε τὸ ὅτι, ταύτῃ γε ᾗπερ ἐνεργεῖ, οὐ μὴν καὶ τὸ ὅ,τι ἐστὶ τούτων ἕκαστον, δῆλον γίνεται. Εἰ δὲ καὶ τοῦτο, ἀλλ' αἰσθητῶν ἤδη τῶν ἐνεργειῶν ὑποτιθεμένων, καὶ ἑπομένως σωματικῶν, πολλοῦ γ' ἂν δέοι ἐξ αὐτῶν ἔννοιαν ἡμᾶς ἔχειν τῆς ἐκείνων ἀϋλίας λαβεῖν, οἵαν καὶ ἔχομεν. Τοὐναντίον δὲ καὶ σωματικὰ ἂν ἡγοίμεθα, καὶ λαμπρῶς ἐπικυρίζοντες, οὐδὲν ὅ,τι μὴ ἔνυλον ἐν τοῖς οὖσιν εἶναι εἰκότως ὑπολαμβανοίμεν. Εἶτα κωφὸς ἀνήρ, ἤχου αἴσθησιν οὐκ ἂν λάβοι, καίτοιγε τὰς ἄλλας συγκεκροτημένος αἰσθήσεις, ὅτι τούτων οὐδεμία δεξιῶς ἔχει πρὸς τὴν τῶν ἤχων ἀντίληψιν. Οὐσίας δὲ ἀΰλου τε καὶ ἀσωμάτου, πρὸς ἣν πᾶσα αἴσθησις μακρῷ ἀφυεστέρα, ἢ πρὸς τὰς ἀέρος πληγὰς ἡ ὄψις, ἔστιν ἡμῖν ἐλπίσαι δι' αἰσθήσεως ἔννοιαν λήψεσθαι; Ἐμοὶ δὴ δοκεῖ, ὡς τῷ μηδὲν ἐνεῖναι τῷ νῷ, ὃ μὴ πρότερον ἐνείη τῇ αἰσθήσει διατεινομένῳ, εἰ σύμφωνα μέλλοι τῇ δόξῃ φρονεῖν, πάντα εἶναι σωματικὰ κατὰ τοὺς πάλαι, καὶ νεωτέρους τῶν Ἐπικουρείων ὑποληπτέον, καὶ τὴν μὲν τῆς ἀΰλου οὐσίας ὕπαρξιν ἐκ τῶν ὄντων, τὴν δ' ἔννοιαν ἐκ τῆς ψυχῆς τέλεον ἀποκρουστέον. Γ'. Ἀλλ' ἔστω δή τις ἄνθρωπος (ἐν ὑποθέσει οὐκ ἀδυνάτῳ ὅτι μὴ φύσει.) ἅπαντα πεπηρωμένος τὰ αἰσθητήρια, ἢ γοῦν ἅπαντα πλὴν τῆς ἀφῆς (ὃ τυχὸν οὐδὲ φύσει ἀδύνατον). Κείσθω δὲ καὶ τὸν περὶ τὸ ἀναισθητοῦν τοῦτο σῶμα ἀέρα, ἰσομέτρως ἔχειν τῇ ἐγκεκραμένῃ αὐτῷ θερμότητι, ὡς μηδὲ οὕτως αἰσθάνεσθαι.

θαι. Τί οὖν; οὐδὲν ὅλως νοήσει ἡ ἐν αὐτῷ ψυχή, ἢ τί; Ἀλλ' εἴ τι νοήσει, διά τινος ποτὲ αἰσθήσεως; εἰπεῖν οὐκ ἂν ἔχοις. Εἰ δ' οὐδέν, θαυμαστή γε νὴ Δία ἡ ἐν τούτῳ ψυχή, ἢ ὀπτῆς πλίνθου ἀφυεστέρα. Καὶ μὴν εἰ μηδὲν ἄλλο, ὅτι μέντοι ὑπάρχει ἡ ψυχὴ αὕτη γνώσεται, καὶ ὡς τοῦτο εἰδὼς συνεπιγνώσεται. Δ'. Ἐρωτήσαντες δὲ καὶ τοὺς προϊσταμένους τοῦ δόγματος, ὅπως τοῦτο ὑπειλήφασι, τὴν ἀπὸ τοῦ αἰσθήματος γένεσιν τοῦ καθαροῦ νοήματος, ἔτι ἀδυνατωτέραν εὑρήσομεν. Τί γὰρ ὁ Περιπατητικός; Ἀπὸ τοῦ αἰσθητοῦ, φησίν, ἔνυλόν τι εἶδος ἐντυποῦται τῷ αἰσθητηρίῳ, ᾧ προσβλέψας ὁ κατ' ἐνέργειαν νοῦς, τὸ εἶδος δημιουργεῖ τὸ ἄϋλον· ἢ προὸν ἤδη, καὶ ἀτρεμοῦν τέως διεξανίστησιν. Ἔστω οὕτω. Τελείσθω ταῦτα ὡς πλάττεται. Ἀλλ' εἰ τὸ ἄϋλον ἔκτυπον ἐστὶ τοῦ ἐνύλου, ὡς καὶ αὐτὸς ὁμολογεῖς, αὐτὸ τοῦτο κοινὸν καταστήσει τὸ αἴσθημα, οὐκ ἄρα δι' αἰσθήσεων αἱ ἔννοιαι τῶν καθαρωτέρων. Ἐπεὶ τοῦτο δι' ἐκεῖνο οὐχ ἕπεται. Οὐ γὰρ μὴ εἴποις ὅτι καὶ τὰ ἀμιγῆ πρώτως φανταστὰ γίνεται, εἶτ' ἔπειτα καὶ αὐτὰ νοητὰ καταστῇ, παρὰ γὰρ τὸ μηδαμῶς οὕτως ἔσεσθαι, φαντασίας τε καὶ καθαρᾶς νοήσεως τὴν ἑτέρων, καὶ βέλτιον ἀτεχνῶς τῇ παχύτητι περιαμπέχειν, τό, ἐφ' ᾧ νοηθῆναι, ὅσον παχύτητος ἔχει, ἀπαραιτήτως ἀπογυμνοῦσθαι ὀφεῖλον· φύσει γὰρ τῆς ὕλης ἀπηλλαγμένον, οὔτ' ἂν περιβάλλοιτο, ὃ οὐ πέφυκεν, οὔτ' ἂν ἀποβάλοιτο, ὃ οὐκ ἔχει, καὶ οὐδόλως ἂν εἴη δι' αἰσθήσεως εἰς τὸν νοῦν τῷ τοιούτῳ εἰσιτητέα. Καὶ πρὸς μὲν τὸν ἐκ τοῦ Περιπάτου τοσαῦτα. Τί δὲ ὁ Λωκιανός; Συνθέσει ἀπαντᾷ, καὶ ἀφαιρέσει, καὶ ἐπιστασίᾳ νοῦ, καὶ προσοχῇ, καὶ συλλογισμῷ, ἐκ τῶν ἡγουμένων, καὶ ἑπομένων, καὶ συνημμένων, ὁπόσαι ἡμῖν αἱ ἔννοιαι· νεανικώτερα νὴ Δία. Ἀλλ' οὐκ ἂν φθαίοι ἡμᾶς ἐκδιδάσκων, ὅπως διὰ τῶν χρωμάτων, καὶ ἤχων, καὶ ὀσμῶν, καὶ χυμῶν, καὶ ἐκ τῶν ἁπτῶν, τὸ μηδενὸς τούτων ἐν μετέχον, καθ' ἕνα δή τινα τῶν εἰρημένων τρόπων, νοητὸν κατασταθείη, οἷον ἡ ψυχή, οἷον ὁ νοῦς, οἷον αὐτὴ ἡ νόησις. Πότερον συνθέσει χρωμάτων· (ταῦτα δὲ λεγέσθω καὶ περὶ τῶν ἄλλων ποιοτήτων) ἀλλ' οὔπω τι ἔσται ἡμῖν πολύχρουν. Ἀλλ' ἀφαιρέσει; ἀλλ' ἔτι ἔσται τῶν πολλῶν χρῶμα ἤτοι ἁπλοῦν, ἢ τῶν ἐκ μίξεως. Ἀλλ' ἐκ τῶν συνημμένων; τίνι τρόπῳ;

πῳ;



πῳ; Τοιαῦτα γὰρ ἂν εἴη τὰ πρὸς ἄλληλα. Ἡ δὲ τῶν ἀποίων πρὸς τὰ ποιὰ σχέσις ὁποία τις; Ἀλλ' ἐκ τῶν ἡγουμένων καὶ ἑπομένων. Καὶ μὴν ταῦτα γένη τε καὶ εἴδη ἐστίν, ἢ τοιαῦτά τινα συνεισάγοντά τε καὶ συναναιρούμενα, καὶ συνεισαγόμενα καὶ συναναιροῦντα. Τὸ δὲ σωματικὸν πρὸς τὸ ἀσώματον πάντῃ ἕτερον. Σὺ δέ μοι καὶ τοῦτο κάτεχε. Ὡς οὐδενὶ τῶν ἀνωτέρω τρόπων ἔννοιαν καθαρὰν πρώτην, τῇ ψυχῇ δυνατὸν ἐγγενέσθαι διὰ αἰσθήματος. Ἀνάγκη δὲ τὰς πρώτας αὐτὴν ἔχουσαν, ἐξ ἐκείνων οὕτως ἐνεργεῖν, ἤτοι προστιθεῖσαν, ἢ ἀφαιροῦσαν, ἢ συλλογιζομένην. Πῶς γὰρ ἂν προσθέσει λάβοι πρώτην ἔννοιαν, δέον πρῶτον γινώσκειν τὰ προστιθέμενα; πῶς δ' ἂν ἀφαιρέσει; δέον προειδέναι τό,τε ἀφαιρούμενον, καὶ τὸ ἀφ' οὗ; Πῶς δ' ἂν συλλογισμῷ; μὴ ἐκ προγινωσκομένων; Ἢ γὰρ ἐκ τῶν ὁμοίων καὶ συνημμένων, καὶ ὅλως τῶν ἀναφορὰν πρὸς ἄλληλα ἐχόντων τινὰ συλλογιεῖται, καὶ τὴν τούτων προοίσεται οἰκειότητα· ᾧ δ' ἂν ἡ σχέσις ᾖ δήλη τούτῳ καὶ τὰ ἀντισχετικὰ πάντως· ἢ ἐκ τῶν ἡγουμένων τὰ ἑπόμενα εἰσβαλεῖται, καὶ ταῦτα ἐν ἐκείνοις ὡς μέρη τῶν ἐνεργείᾳ προσυνόψεται· ἢ ἐκ τῶν καθόλου τὰ κατὰ μέρος, κἂν τοῖς ἐκείνων λόγοις ταῦτα πρότερον ἐμπεριειλημμένα θεάσεται. Ὅλως γὰρ ἐφ' οἵασουν ἐπιφορᾶς τὸ ἐπαγόμενον τοῖς κειμένοις ἐνεπιθεωρεῖσθαι ἀναγκαιότατόν ἐστιν· ὡς καὶ αὐτοὶ δὴ οἱ κἂν ἀκροθιγῶς τῶν λογικῶν μεθόδων ἁψάμενοι ἴσασιν. Τοῖς δὲ σωματικοῖς κινήμασιν, λεγέτωσαν, τίνι δήποτε λόγῳ ἐνεπιθεωρηθείη τὰ ἀσώματα; ἢ (ὡς ἂν τῇ φιλτάτῃ φράσει τῶν νεωτέρων τούτων προσχρήσωμαι) πῶς ἂν τὸν ἀποχρῶντα λόγον τῆς τοῦ ἀσωμάτου ἐννοίας, περιέχοι τὸ συμβαῖνον τῷ σώματι; Ἀλλ' εἶναι σῶμα καὶ τὴν ψυχὴν αὐτήν, καὶ σωματικάς τινας κινήσεις αὐτῆς τὰς ἐννοίας τοπάζει Λώκιος. Εἴπερ οὖν, οὐδὲ ἡμᾶς ἄρα πιστοὺς ἕξει, τοὺς τἀναντία διατεινομένους, καὶ διὰ πολλῶν δείξαντας· (§. χϟζ'. χϟθ'. ψ'. ψα'. ψβ'. ψγ'. ψδ'. ψε'. ψς'. ψθ'. ψι'. ψια'. ψιγ'. ψιδ'. ψιε'. ψις'. ψιζ'. ψιη'. ψιθ'. ψκ'. ψκς'. ψκζ'. ψκη'. ψκθ'. ψλ'. ψλγ'. ψλδ'. ψλζ'. ψλη'.) ἀλλὰ τοὺς ἐκ τῆς ἀγέλης τοῦ Ἐπικούρου, οἷς ἡδὺ καὶ θυμῆρες τῷ βορβόρῳ καὶ τῇ ἰλύϊ τῆς ὕλης αὐτῷ ἐκείνῳ συμπεριστρέφεσθαι.

Θεώ-

## Θεώρημα ΝΒ΄.

§. ωί. „Τῶν ἐννοιῶν τὰς μὲν καθαρωτάτας, καὶ ἀφαντάστους, καὶ πρώτας, πρόσθ' ἑαυτήν, καὶ τὰς ἐνεργείας τὰς ἑαυτῆς ἡ λογικὴ ψυχὴ ἐπιστρέφουσα, τὰς δὲ μετὰ φαντασίας, τῷ ὅπερ εἰδοποιεῖν ἐπάχθη σώματι προσέχουσα, προσπορίζεται.

Πρὸς ἑαυτὴν γὰρ ἡ πέφυκε (§. χξή.) καὶ τὰς κατ' αὐτὴν ἐνεργείας ἐπιστρέφουσα, οἶδεν ὅτι ἐστί, κἀντεῦθεν αὐτῇ ἡ τοῦ ὄντος ἐγγίνεται ἔννοια. Καὶ ὅτι δύναται νοεῖν, καὶ βούλεσθαι, καὶ ὅτι νοεῖ, καὶ βούλεται, κἀντεῦθεν αὐτῇ ἡ ἔννοια τῆς δυνάμεως, καὶ τῆς ἐνεργείας, καὶ ἁπλῶς τῆς τελειότητος. Καὶ ὅτι ἐξ αὐτῆς τὸ νοεῖν, καὶ οὐκ ἄλλοθεν, αὐτὴ δὲ οὐκ ἐκ τοῦ νοεῖν, κἀντεῦθεν αἱ ἔννοιαι τοῦ αἰτίου, καὶ τοῦ αἰτιατοῦ. Καὶ ὅτι αὐτὴ καὶ νοεῖ, καὶ νοεῖται, κἀντεῦθεν ἡ σχέσις αὐτῇ παρίσταται. Καὶ ὅτι ὅ,τι περ ἂν βούλοιτο, καὶ νοεῖ, οὐ μὴν ὅ,τι νοεῖ καὶ βούλεται, κἀντεῦθεν τὸ φύσει πρότερον καὶ τὸ ὕστερον, νοητὸν ἐστί, καὶ τὸ ἡγούμενον, καὶ τὸ ἑπόμενον. Καὶ ὅτι οὐκ ἐπὶ πᾶν, ὃ ἂν αὐτὴ προθῆται, ἐξαρκεῖ πρὸς ἀκριβῆ περινόησιν. Οὐθ' ὅτι βούλεται πλεῖον ἔχει, κἀντεῦθεν ὅτι ἀτελὴς συνοῖδεν. Καὶ ὅτι αὐτὴ ἐστὶν ἡ μικρῷ πρόσθεν, καὶ οὐκ ἄλλη, κἀντεῦθεν ἡ ἔννοια αὐτῇ τῆς ταυτότητος, καὶ τῆς μονάδος. Καὶ ὅτι νῦν μὲν τῇδε, νῦν δ' ἄλλως πως ἔχει κατὰ γνῶσιν, ἢ βούλησιν, κἀντεῦθεν ἡ τῆς ἑτερότητος καὶ τοῦ ἀριθμοῦ. Παραβάλλουσα δὲ καὶ τὰς ἑαυτῆς ἐνεργειῶν ἄλλας ἄλλαις, τὸ ὅμοιον συνορᾷ καὶ ἀνόμοιον. Συνειδεῖα δὲ καὶ ὅτι ἦν, καὶ ἐστί, τῆς κατὰ τὴν διαμονὴν παρεκτάσεως, καὶ τοῦ προτέρου καὶ ὑστέρου τοὺς λόγους φέρει. Συνεπιγινώσκουσα δὲ ἑαυτῇ, καὶ ὅτι πρὸς ὃ ἤδη ἐστὶ πρότερον οὐκ ἦν διανοήματι, τὴν ἀπὸ τοῦ μὴ ὄντος ἐπὶ τὸ εἶναί τι μετάβασιν ἐννοεῖ. Συνεπισταμένη δὲ καὶ ὅτι οὐκ ἀεὶ ἦν, ἤδη δ' ἐστί, τὴν ἰδίαν ἑαυτῆς παραγωγὴν ἀπὸ τοῦ μὴ ὄντος διενθυμεῖται, καὶ πρὸς τὸν δόντα αὐτῇ τὸ εἶναι ἀναφέρεται. Κτ. Κτ. Ἄρα τὸ Α΄.

Ἔννοιαι δὲ μετὰ φαντασίας εἰσίν, αἱ διὰ τῶν ἐν τῷ αἰσθητηρίῳ κινήσεων τῇ ψυχῇ γινόμεναι, οἷον αἱ χροιῶν, σχη-

μα-



μάτων, χυμῶν, ὀσμῶν, καὶ τῶν λοιπῶν ποιοτήτων αἰσθητικαί, καὶ φανταστικαὶ ἀντιλήψεις (§. χοβ΄.). Τὰς δ' ἀντιλήψεις ταύτας, τῷ κατ' αὐτὰς κινουμένῳ σώματι, ὅπερ εἰδοποιεῖ ἡ ψυχὴ προσέχουσα ἀναδέχεται (§. ψξέ. ψξς΄. Καὶ ψπδ΄. ψπέ.). Ἄρα κτ.

## Σχόλιον

§. ωιά. Οὗτος ἐκεῖνος ὁ πρὸς ἑαυτὸν συννενευκὼς κύκλος, ὁ ἐκ τῆς ζωτικῆς εὐθείας διαμορφωθείς, ὃν ὁ Δημιουργὸς τήν τε οὐσίαν, καὶ τὸ ταὐτόν, καὶ τὸ ἕτερον, τουτέστι τὰ στοιχεῖα τῶν ὄντων ἁπάντων κεράσας, παρήγαγε, καὶ εἰς λόγους τοὺς ἁρμονικωτάτους κατέτεμε· (§. ψιβ΄.) οὕτως ἂν μόνως, καὶ οὐκ ἄλλως ἁρμονία λέγοιτο ἡ ψυχὴ ὀρθῶς, τὰς τῶν πολυμιγέων, καὶ δίχα φρονεόντων νοημάτων ἀρχὰς ἐν ἑαυτῇ συμπεριειληφεῖα. „Οὕτω δὲ καὶ ἀριθμὸς ἑαυτὸν κινῶν ἂν εἴη, διὰ τὸ πλήρωμα εἰδῶν εἶναι, καὶ λόγον ἐκ τῶν λόγων (1). Οὕτω δὲ καὶ τόπος εἰδῶν. Οὕτω δὲ πως, καὶ γνωρίζειν ἂν ἔχοι τῷ ὁμοίῳ τὸ ὅμοιον. Οὐκ ἐκ τῶν πραγμάτων ἁπάντων συγκεκροτημένη, ὃ ματαίως τοὺς ὑπειληφότας Ἀριστοτέλης (2) ἀπήλεγξεν, ἀλλ' ἐξ ἑαυτῆς μὲν τὰς ἀρχικωτάτας, καὶ ἁπλουστάτας ἐννοίας, δι' ὧν καὶ περὶ τῶν ἐκτὸς αὐτῆς κρίνει, προφέρουσα, διὰ δὲ τοῦ σώματος, ᾧ συνῆπται, ποικιλαχῶς κινουμένου, τὰς ἐνυλωτέρας τῶν ποιοτήτων ἀντιλήψεις λαμβάνουσα.

## Πορίσματα.

§. ωιβ΄. Α΄. Τὸ αὐτὸ ἄρα γνωστικὸν τῆς ψυχῆς, κατάγε τὸν δεύτερον τοῦ ἐνεργεῖν τρόπον (§. ώ.), αἴσθησις (§. ψοδ΄.

---

(1) Φιλόπον. Ἐν Ὑπομν. εἰς τὸ Περὶ Ψυχ. Ἀρισ.
(2) Ἀριστοτέλης ἐν Α΄. Περὶ Ψυχ.

(§. ψοδ'. Α'.) καὶ φαντασία (§. ψπδ'. ψπε'.), καὶ αἴσθησις κοινή, (§. ψϟβ'. ψϟγ'.), καὶ μνήμη, (§. ωγ'. κζ.) κατὰ δὲ τὸν πρῶτον (§. ω'.), νοῦς (§. χοϛ'.) προσείρηται. Καί εἰσιν ἄρα δυνάμεις τῷ μὲν ὑποκειμένῳ αἱ αὐταί, λόγῳ δὲ ἕτεραι. Τούτων τὴν διαίρεσιν, ὡς ἐκ τῆς τῶν Ἀρχαίων διδασκαλίας, παρὰ τῷ Φιλοπόνῳ εὑρίσκομεν οὕτω γινομένην. „(1) Ἡ γνῶσις, φησίν, ἡ περὶ τὰ ἔξω καταγίνεται, καὶ ποιεῖ τὴν αἴσθησιν, ἡ περὶ τὰ ἐντὸς καὶ ποιεῖ τὴν κοινοτέραν νόησιν. Καλῶς δὲ εἶπον κοινοτέραν, ἐπειδὴ καὶ ἡ φαντασία περὶ τὰ ἐντὸς ἐνεργεῖ, ἥτις καὶ παθητικὸς νοῦς λέγεται. Ἀλλ' ἡ περὶ τὰ ἐντὸς ἐνέργεια, ἢ περὶ καθόλου τι καταγίνεται, ἢ περὶ μερικόν. Καὶ εἰ μὲν περὶ μερικόν, ποιεῖ φαντασίαν, εἰ δὲ περὶ καθόλου, ποιεῖ τὸν κυρίως νοῦν. Ἀλλ' αὕτη ἡ περὶ τὰ καθόλου γνῶσις, ἢ κρείττων γίνεται ἢ κατὰ συλλογισμόν, καὶ ποιεῖ τὸν θεωρητικὸν νοῦν, τὸν καθ' ἕξιν, καὶ κατ' ἐνέργειαν· ἢ κατὰ συλλογισμὸν ἐνεργεῖ, καὶ ποιεῖ τὴν κυρίως διάνοιαν, καὶ κοινοτέραν ὑπόληψιν. Ἡ γὰρ ὑπόληψις καὶ κατὰ διανοίας καὶ κατὰ δόξης φέρεται. Εἰ δὲ χειρόνως ἢ κατὰ συλλογισμὸν ἐνεργήσει, ποιεῖ τὴν κυρίως δόξαν καὶ ὑπόληψιν. Ἡ μέντοι διάνοια ἢ περὶ θεωρητὰ γίνεται, καὶ ποιεῖ τὴν ἐπιστήμην, ἢ περὶ πρακτά. Καὶ εἰ μὲν βουλῆς δεῖται τὰ πρακτὰ ποιεῖ φρόνησιν· ἐνδεὴς γὰρ βουλῆς ἡ φρόνησις. Εἰ δὲ οὐ δεῖται βουλῆς τὰ πρακτὰ ποιεῖ τὰς τέχνας. Καὶ τὸν νοῦν δὲ αὐτὸν τετραχῶς εἶναι καὶ λέγεσθαι παρὰ Ἀριστοτέλους ἐκδιδαχθέντες, οὐ συμφώνως οἱ διερμηνευταὶ ἐκλαμβάνουσιν. Ἀλέξανδρος γὰρ οἴεται εἶναι, τὸν μὲν καὶ κατὰ τὸ εἶναι δυνάμει, ὡς ἐπὶ τῶν παίδων· τὸν δὲ καθ' ἕξιν μὲν τὸ εἶναι, δυνάμει δὲ τὸ ἐνεργεῖν ἔχοντα, ὡς ἐπὶ τῶν ἀνδρῶν· τὸν δὲ μόνον ἐντελεχείᾳ καὶ κατ' ἐνέργειαν, οἷον τὸ θύραθεν. Πλούταρχος δέ, τὸν μὲν τῶν παίδων καθ' ἕξιν· τὸν δὲ τῶν τελείων καθ' ἕξιν καὶ ἐνέργειαν, κατ' ἐνέργειαν δὲ μόνως τὸν θύραθεν. Ἀμμώ-

νιος

(1) Φιλόπον. Ἐν Ὑπομν. εἰς τὸ Περὶ Ψυχ. Ἀυτ. Γ'.



νιος δὲ ἀμφοτέρους κοινῇ κακίσας, ἅτε δὴ τὸν θύραθεν οἷς μὴ δέον ἐγκαταμίξαντας, καὶ ἰδίᾳ τοῦ μὲν καθήψατο, ὅτι τὴν ψυχήν, τὴν τῶν εἰδῶν εἶδος οὖσαν κατ' Ἀριστοτέλην, ψιλόντι δυνάμει, καὶ ἀφυεστάτην ὕλην ἀνέδειξε. Τοῦ δέ, ὅτι εἰς τὸ πλατωνικὸν δόγμα τὴν Ἀριστοτέλους γνώμην μεθείλκυσε, καὶ τόγε κατὰ τοῦτον ἄγραφον γραμματεῖον, γράψαι κατ' ἐκεῖνον ἐτόλμησεν. Ὁ δὲ Φιλόπονος, τὸν μὲν τῶν παίδων δυνάμει πως καὶ οὐ δυνάμει, τὸ μὲν τὰ εἴδη, τὸ δὲ τὸ εἶδος αὐτὸν εἶναι, ὑπέθετο· τὸν δὲ τῶν τελείων, ὅταν ἔνδον νοῇ, καθ' ἕξιν, τὸν δὲ ἐπὶ τῶν αὐτῶν νοούντων, καθ' ἕξιν καὶ κατ' ἐνέργειαν, περὶ οὗ καὶ ἀνωτέρω φθάσας ἡμῖν εἴρηκεν. Καὶ ταῦτα μὲν οὕτοι. Αὐτοὶ δὲ ἀληθολογεῖν αἱρούμενοι, ἢ ἀρχαιολογεῖν, οὐθ' ἃ περὶ τῶν πραγμάτων κρίνουσιν ἄλλοι, ἃ δ' ὤφειλον, ἀσπαζόμενοι, ἄλλως πως καὶ τὰ περὶ τούτων διοριζόμεθα. Νοῦς μὲν γὰρ ἡμῖν ἐστὶν ἡ γνωστικὴ δύναμις τῆς ψυχῆς, οὐ περὶ μόνα τὰ Καθόλου, ἀλλὰ καὶ περὶ τὰ ἀμιγῆ τῆς ὕλης (§. ωϛ'. ωζ'.), ἤτοι κατ' ἀφαίρεσιν, οἷα τὰ Καθόλου αὐτά, ἢ καὶ κατὰ φύσιν, κἂν ἄλλως μερικώτατα ᾖ, οἷα ἡ ψυχή, καὶ αἱ κατ' αὐτὴν ἐνέργειαι, καθ' ἑαυτήν, καὶ μὴ ἐξηρτημένως τοῦ σώματος, (§. ωη'. ωθ'.) ἀλλὰ πάντῃ ἀφαντάστως, (§. ωι'.) ἐνασχολουμένη. Ἡ δὲ δύναμις αὕτη, ἅτε δὴ οὐσιώδης τῇ ψυχῇ (§. ωτ'.) καὶ παισί, καὶ τελείοις, καὶ τοῖς παιδείας μετέχουσι, καὶ τοῖς μή, πᾶσιν ἁπλῶς τοῖς ἀνθρώποις φύσει προσήκουσα (ὡς ἄρα καὶ κατ' αὐτὴν μάλιστα τῶν ἀλόγων διακρινομένοις, οἷς καὶ φαντασίας μέτεστι καὶ αἰσθήσεως.) καὶ καθ' ἕξιν ἐστί, καὶ κατ' ἐνέργειαν. Συνεχέστερον δὲ τῇ δυνάμει ταύτῃ, παίδων μέν, οἱ τέλειοι τὴν ἡλικίαν, τῶν δὲ τελείων οἱ πεπαιδευμένοι, προσχρώμενοι εἰσίν, ἐπεὶ καὶ ἧττον ὑπὸ τῶν αἰσθητικῶν κινημάτων συναρπαζόμενοι. Καὶ δὴ καὶ τελεώτερον, παρὰ τὸ τῆς χρήσεως συνεχές, ἐπὶ πλείονά τε, καὶ ἐπὶ πλέον τῆς δυνάμεως, τοῖς νοητοῖς ἐνδιατρίβειν προσεθιζομένης.

Β'. Τὸ περὶ τοῦ Νοῦ ἀπόρημα, πότερον ἆρα μόνα τὰ ἄϋλα νοεῖν πέφυκεν, ἢ παρ' αὐτά, καὶ τὰ ἐν ὕλῃ, ῥᾷστα ἐπιλυσόμεθα, τὸ τῆς φωνῆς σημαινόμενον στήσαντες μόνον, εἰ περὶ τοῦ ἐν σώματι νοῦ ᾖ ὁ λόγος. Εἰ γὰρ τὸν κυριώτα-

τα

τα τῶν ὑποθείημεν, εὔδηλον ὅτι μόνων ὄντος τῶν τῆς ὕλης ἀπηλλαγμένων, ἢ ἀφαιρέσει, ἢ φύσει (Πόρ. Α΄.) ἔσιν ὡς εἴρηται ἀντιληπτικός. Εἰ δὲ περὶ τοῦ τῆς ψυχῆς γνωσι- κοῦ ἡ πεῦσις πλατύτερον γίγνοιτο, τῶν τε ὑπὲρ τὴν ὕλην, καὶ τῶν ἐν ὕλῃ, ἐπίσης ἅπτεσθαι αὐτὸ φήσομεν. Ἡ γὰρ αὐ- τῷ ὑποκειμένῳ δύναμις οὖσα (Αὐτ.), καὶ λόγῳ διαφέ- ρουσα μόνῳ, ἢ αὐτὸ τῆς ἀπὸ τοῦ σώματος, ἀφαντάσως ὡς δέδεικται (§. ωί.) μόνων ἐπιδράσεται τῶν αὔλων, ἢ καὶ τῶν ἐνύλων αὐτῶν, ὡς ὀργάνῳ προσχρωμένη τῷ σώματι. Καὶ τοῦτο δὲ βούλεται καὶ ὁ Σταγειρίτης εἰπὼν „ ὅτι ἄλλῳ, „ καὶ ἄλλως ἔχοντι κρίνει ὁ νοῦς (1). Οὐχὶ τῷ μὲν ἐνύλῳ ἑαυτοῦ τὰ ἔνυλα, τῷ δ᾽ αὔλῳ τὰ ἄυλα, ὡς Ἀλέξανδρος, καὶ Πλούταρχος ἐξειλήφατον (οὐδὲ γὰρ ὕλης ἐστὶν ὅλως μετ- χων, φύσει (§. ψκϛ΄.) ἀσώματος ὤν. Ὁ δὲ παντὸς πε- τῆ σώματος κεχωρισμένος ὢν νοῦς, καὶ τῶν ἐνύλων αὐτῶν ἀντιληπτικὸς εἶναι ὁμολογητέος, καὶ αὐτὸ τῆς παρὰ τοῦ σω- ματος ὑπουργίας. Ἄτοπον γὰρ τοὺς πολλῷ τῶν ἐνσωματωμέ- νων κρείσσονας ὄντας, διὰ τὸ ἐλευθεριάζειν νόας, περὶ τὰς ὑποβεβηκυίας τε καὶ ταπεινοτέρας φύσεις, κομιδῆ ἀποφαίνε- σθαι αὐόας.

Γ΄. Ἀλλὰ καὶ ἡ ἀπορία, ὡς ὁ νοῦς ὑπὸ τῶν ἐνύλων ἄρα πάσχει ἀλλοιούμενος, ἡνίκα ἂν νοῇ αὐτά, καὶ ἑπομένως τοῖς ἐστὶν ὁμόϋλος, ἣν ἐκ τοῦ μὴ πᾶν τὸ ποιοῦν ἀντιπάσχειν, εἰ μὴ καὶ ὁμόϋλον ᾖ, ἐπιλελυκέναι τινὲς ἐνόμισαν, ὁ δὲ Ἀρι- στοτέλης ἐκ τοῦ τὸ πάθος τοῦτο τελειωτικὸν εἶναι λέγειν, οἷον ὃν ἄξιον εἴη καλεῖσθαι ἀπάθεια, ἀποκλίνειν ἔδοξε, ῥᾳ- δίαν ἔχει καὶ αὐτὴ τὴν ἐπίλυσιν. Αἱ γὰρ ἀντιδράσεις καὶ ἀντιπαθήσεις αὗται, ἐπὶ τῶν σωματικῶν κινημάτων τῷ ὀρ- τι συμβαίνουσιν· (§. χιή. Γ΄.) ἡ δὲ τῷ ἐγκεφάλῳ πα- τ᾽ αἴσθησιν, ἢ φαντασίαν, ἐνεγειρομένη κίνησις, οὐδόλως αὐ- λῳ πεφυκότι τῷ γνωστικῷ τῆς ψυχῆς κοινωνεῖται, μόνον δὲ ὡς ἀντικείμενον γνωστικῶς ὑποβάλλεται, προσεχούσης ἐκεῖ- νότι τῆς ψυχῆς, τῷ, ᾧπερ συνήφθη, σώματι, (§. ωί.) καὶ

(1) Ἀριστ. Περὶ Ψυχ. Βιβλ. Γ΄.



καὶ τὰς συμβαινούσας διαθέσεις, τῷ κατ᾽ αὐτὸ αἰσθητηρίῳ, μηδαμῶς ἀγνοούσης.

Δ΄. Φανερὸν δὲ ἐντεῦθεν οὐχ ἥκιστα, καὶ ὅπως ὁ νοῦς αὐτὸ γίνεται τὸ νοητόν. Εἰ γὰρ νοῦς μάλιστα ἐστὶ τὸ γνωστικὸν τῆς ψυχῆς, ᾗ τοῖς ὕλης κρείττοσιν ἐστὶ προσέχον, (διὰ τὸ Β΄.) πορίζεται δὲ τὰς τοιαύτας ἀφαντάστους ἐννοίας ἡ ψυχή, πρὸς ἑαυτὴν, καὶ τὰς ἐνεργείας τὰς κατ᾽ αὐτὴν γνωστικῶς ἐπιστρέφουσα, (§. ωί.) τὸ αὐτὸ ἄρα ἀφ᾽ οὗτε καὶ πρὸς ὃν τῆς νοήσεως γίνεται ὅρος. Ἐὰν δὲ καὶ πρὸς αὐτὰ τὰ ἐν τῷ σώματι κινήματα ἐπιστρέψασα, αἴσθησίν τινος, ἢ φαντασίαν προσλάβηται, (§. Αὐτ.) εἶτ᾽ ἐπανακάμψασα, ἐννοήσῃ ὅτι καὶ οὕτω κατὰ γνῶσιν ἐνήργησε, τὴν διὰ τοῦ σώματος ἐνέργειαν ἑαυτῆς, ἀντὶ νοητοῦ ἅμα ἔχουσα, κατὰ τὴν λεγομένην συνείδησιν (§. χξή.) αὐτὸ καὶ οὕτω πάλιν ἔσαι ὁ νοῦς, ὅπερ ἐνόησεν.

Ε΄. Ἐκ δὲ τούτων ἐπιλύσιμος καὶ ἡ ἀπορία ἐστὶ, πότερον ὁ νοῦς ἑαυτὸν νοῶν, καθὸ νοῦς, καὶ νοεῖται; ἢ ἄλλῃ; δοκεῖ γὰρ, ὡς, εἴπερ, ἄρα καὶ καθὸ νοεῖται νοῦς ἐστί· καὶ νόες ἐκ τοῦ ἀκολούθου ἅπαντα τὰ νοούμενα. Εἰ δὲ μὴ διπλοῦς, εἰ ἄλλῃ πῃ, καὶ ἄλλῃ νοῦς, καὶ νοούμενος. Ἡ γοῦν ἐπίλυσις πρόχειρος. Ὁ γὰρ αὐτὸς νοῦς, καὶ νοῶν ἐστὶ, καὶ νοητὸς, ἅτε δὴ πρὸς ἑαυτὸν ἐπιστρεπτικὸς, (§. χξή. καὶ ψκζ΄. ΙΒ΄. ΙΓ΄.) καὶ ἐν ἑαυτῷ τοὺς ἁπλουστάτους λόγους τῶν ἑαυτοῦ ἐννοιῶν περιέχων. (§. ωί.)

ϛ΄. Ἐπεὶ δὲ ἅμα ἑαυτῇ τε, καὶ τῷ ᾧπερ συνῆπται σώματι ἡ ψυχὴ, γνωστικῶς προσέχειν οὐ πέφυκεν, τούτου δὴ χάριν, τοῖς μὲν νοητοῖς ἐμβατεύουσα τῶν κινημάτων ἀμελεῖ τῶν κατ᾽ αἴσθησιν, τοῖς δὲ αἰσθήμασι προσανέχουσα, τῶν καθαρωτέρων νοημάτων ἐξίσαται. „ Καὶ τοῦτο ἄρα τοῦ μὴ „ ἀεὶ νοεῖν τὸ αἴτιον, ὅπερ ἐπισκεπτέον μὲν εἶναι Ἀριστοτέλης παρῄνεσεν (1), ἐκθέσθαι δὲ καὶ ἀποδοῦναι σαφῶς οὐκ ἠξίωσεν. Εἰ γὰρ καὶ πάρεστιν αὐτὴ ἑαυτῇ ἡ ψυχὴ ἀεί ποτε, ἀλλὰ καὶ τῷ αἰσθητηρίῳ οὐδὲν ἧττον ἀεὶ παροῦσα ἐστὶν, ἐν ᾧ

(1) Ἀριστ. Περὶ Ψυχ.

ᾧ αὖ τὴν συνάφειαν ἔχῃ τὴν μετὰ σώματος. Διὸ ποτὲ μὲν οἱονεὶ ἰδιοπραγεῖ, ἐμφιλοχωροῦσά πως ἑαυτῇ, καί, ὥσπερ φάναι, οἰκουροῦσα, καὶ καθ' ἑαυτὴν μένουσα, καὶ τοὺς νοητοὺς λόγους ἐξελίττουσα, ποτὲ δὲ ἀλλοτριοπραγεῖ, ἐπὶ τὴν σωματικὴν, καὶ μεριστὴν φύσιν προκύπτουσα, καὶ διὰ τῶν σωματικῶν κινημάτων ῥεμβομένη ἐπὶ τὰ κατὰ μέρος καὶ ἔνυλα. „Ὀρθῶς γὰρ δὴ καὶ ὁ ἐν Ἀλκιβιάδῃ Σωκράτης ἔλεγεν (1) εἰς ἑαυτὴν εἰσιοῦσαν τὴν ψυχὴν, τά τε ἄλλα πάντα κατόψεσθαι, καὶ Θεόν. Συννεύουσα γὰρ εἰς τὴν ἑαυτῆς ἕνωσιν, καὶ τὸ κέντρον συμπάσης ζωῆς, καὶ τὸ πλῆθος ἀποσκευαζομένη, καὶ τὴν ποικιλίαν τῶν ἐν αὐτῇ παντοδαπῶν δυνάμεων, ἐπ' αὐτὴν ἄνεισι τὴν ἄκραν τῶν ὄντων περιωπήν.... Καὶ εἰς μὲν τὰ μεθ' ἑαυτὴν βλέπουσαν, τὰς σκιὰς καὶ τὰ εἴδωλα τῶν ὄντων βλέπειν. Εἰς ἑαυτὴν δὲ ἐπιστρεφομένην, τὴν ἑαυτῆς οὐσίαν, καὶ τοὺς ἑαυτῆς λόγους ἀνελίττειν.

Ζ'. Ἡ οὐκ οἴχεται διαλυόμενα εἰς τὸ μηδὲν ἐκ τοῦ Θεωρήματος (§. ωί.), καὶ ἅττα Λεύκιππος καὶ Δημόκριτος „εἰσῆγον σωματοειδῆ φάσματα, ἀπὸ τῶν σωμάτων ἑκάστων ἀποξεόμενα; Οὗτοι γὰρ δι' εἰδώλων οὐκ οἶδ' ὧν τινων ἔξωθεν προσιόντων ὑπελάμβανον τὴν αἴσθησιν, καὶ τὴν νόησιν γίνεσθαι· μηδενὶ γὰρ ἐπιβάλλειν μηδετέραν χωρὶς τοῦ προσπίπτοντος εἰδώλου, εἰ τῷ Πλουτάρχῳ (2) πιστεύοντας τηλικούτοις ἀνδράσιν ἀποδοτέον δόξαν τοιαύτην. Εἰ γὰρ καὶ σωματικὴν ἡγούμενοι τὴν ψυχὴν αὐτοί, σωματικοῖς τισιν ἐξεικονισμοῖς ἑπομένως αὐτῇ πλεῖσθαι, καὶ τὰς κατ' αἴσθησίν τε καὶ νόησιν ἀντιλήψεις, ἐτόπαζον, οὐ ταύτῃ τοι ταῖς ἰδίαις ἀρχαῖς ἀνακόλουθον λέγοντες, ἀλλὰ δόγμα ἄλλοθεν πολλαχόθεν γελοῖον, καὶ κοῦφον εἰσενηνοχότες ἐλέγχονται, πλείστην ὅσην τὴν ἀτοπίαν ἐπισυρόμενον, καὶ οὐχ ὅπως Φιλοσόφοις, ἀλλ' οὐδὲ φρενῶν ἁπλῶς ἐπηβόλοις ἀνθρώποις πρέπον. Πῶς γὰρ οὐ φθίνει, οὐδ' ἀπορρεῖ πάντα τὰ

σῶ-

(1) Παρὰ Πρόκλ. τῷ Διαδόχ. εἰς τὴν Θεολογ. Κεφ. Γ'.
(2) Ἀρεσκ. Φ.Φ. Δ'. Κεφ. Η'.



σώματα, διηνεκῶς οὕτως οἷον ἀποφλοιούμενα; Πῶς οὐκ ἀλλήλοις ἐπιτρέχοντα πανταχόθεν, καὶ ἐπικρουόμενα τὰ εἰδώλια, οὐ συγχεῖται; Πῶς δὲ δι' ἀλλήλων χωρεῖ τὰ σώματα, καὶ διὰ τῶν αἰσθητηρίων, καὶ διὰ τῆς ψυχῆς, καὶ αὐτῆς σῶμα οὔσης; Πῶς δ' ὅ,τι ἂν ἡμῖν ἐπέλθοι νοῆσαι, αὐτοῦ ἑτοίμως ἡ εἰκὼν ἀκλητὶ πάρεισι; Πῶς δὲ εἰσιοῦσα, εἶτ' ἄπεισι; τίνα δὲ τὰ τῆς θερμότητος, καὶ ψυχρότητος ἐξεικάσματα; τί δὲ τῶν ὀσμῶν τίνα; τὰ δὲ τῶν χυμῶν; τὰ δὲ τῶν καθόλου; τὰ δὲ τοῦ μηδενὸς πόθεν; τὰ δὲ τῶν ἄλλων στερήσεων; τὰ γὰρ τῶν ἀσωμάτων οὐσιῶν, πρὸς τοὺς μηδὲν ἀσώματον εἶναι ἀποδεχομένους λέγειν παρίημι. Πῶς δ' αὖ τις ἔχοι κώνωπα φαντασθῆναι ἴσον ἐλέφαντι; πῶς δὲ ἐλέφαντα ἴσον κώνωπι; Πῶς δὲ κατὰ τὰς ἀποστάσεις τὰ αὐτὰ νῦν μὲν μείζονα καθορᾶται, νῦν δ' ἐλάσσονα; ἢ τῶν εἰδωλίων καθ' ὁδὸν ἀποφθινομένων, καὶ ἀποβραχυνομένων, ἕως ἂν ἀφίκοιτο; βαβαὶ τῆς λέσχης! ὡς ἄμεινον τοῦ οὕτω φιλοσοφεῖν αἱρεῖσθαι, τὸ ἀπαιδευσίᾳ συνέχεσθαι! Ἀλλ' ἡμῖν ἐν μὲν τῇ ψυχῇ οἱ λόγοι τῶν ἀϋλοτέρων ἐννοιῶν (§. ωί. ωιά.) ἀποκείμενοι, ἐν δὲ τῷ αἰσθητηρίῳ, αἱ ἀπὸ τῶν ἐκτὸς κινήσεις κοινωνούμεναι, νῦν μὲν ἐφ' ἑαυτὴν προσεχούσῃ, νῦν δ' ἐπὶ τὰς ἀλλοιώσεις τοῦ αἰσθητηρίου ἐπιστρεφούσῃ, ἀρχαὶ εἰσὶν ἐννοιῶν τε καὶ αἰσθήσεων ἁπασῶν εὐλογώτατα ἅμα, καὶ ἀφθονώτατα.

## Θεώρημα ΝΓ'.

§. ωιγ'. „Αἱ τῆς λογικῆς ψυχῆς γνωστικαὶ ἀντιλήψεις, αἱ αὐτοῦ, ἢ καὶ μετὰ φαντασίας γινόμεναι, ἐνέργειαι εἰσίν, οὐ παθήσεις· ἐνέργειαι δὲ τῶν ἐμμόνων.

Ἐνέργεια γὰρ ἐστὶν ἀρχῆς ἑαυτὴν μεταβαλλούσης μεταβολή, ἤτοι αὐτοκινησία τις. (§. σοα'.) ἡνίκα δηλ. ὁ ἀποχρῶν ἢ φασὶ λόγος τῆς μεταβολῆς, αὐτῷ ἐνυπάρχει τῷ μεταβάλλοντι. Ἀλλ. αἱ γνωστικαὶ ἀντιλήψεις, αἵτε αὐτοῦ, καὶ αἱ μετὰ φαντασίας γινόμεναι, μεταβολαί τινες εἰσίν, αὐτοῦ τὸ γνωστικὸν τῆς ψυχῆς ἀρχὴν ἐχούσαι, τῆς ὑφ' ἑαυτῆς

 μὲν

μὲν οἴκοθεν, ὑφ' ἑτέρου δὲ ποτε, ὡς ἐξ ἀφορμῆς κινουμένης. (§. ψζ΄. ψη΄.) Ἄρα ἐνέργειαι εἰσί, κτ. Ὃ τὸ Α΄.

Ἔμμονοι δὲ ἐνέργειαι εἰσί, καθ' ἃς ἡ μεταβολὴ ἐν αὐτῷ τῷ ὑποκειμένῳ μένει, ἀφ' οὗ καὶ πρόεισι. (§. σαά.) Ἀλλ' αἱ κατὰ τὰς γνωστικὰς ἀντιλήψεις καθ' ἑκάτερον Εἶδος μεταβολαί, αἱ ἐξ αὐτῆς τῆς ψυχῆς προϊοῦσαι (ἐπὶ τὸ Α΄.), ἐν αὐτῇ καὶ μένουσιν. Αὕτη γὰρ ἐστὶ κατ' αὐτάς, ἡ τοδὶ μὲν ἤδη, τοδὶ δὲ ἤδη, ὅπερ οὐχὶ πρότερον, γινώσκουσα, καὶ κατ' αὐτὸ μεταβάλλουσα. Εἰ μή τις αὐτὴν μὲν ἥκιστα, ἄλλο δέ τι παρ' αὐτὴν τὸ γινῶσκον εἶναι, γελοιότατα διατείνοιτο. Ἄρα καὶ τὸ Β΄.

## Σχόλιον.

§. ωιδ΄. Καὶ μὴν, αἱ κατὰ γνῶσιν, φασίν, ἀντιλήψεις, οὐκ ἐξ αὐτῆς, ὑπ' ἄλλου δέ του, οἷον μορφαί τινες κηρῷ ἀπλάστῳ, καὶ ἐπιτυποῦσθαι δεξιῶς ἔχοντι, τῇ ψυχῇ ἐπιπλάσσονται. Ἤπου δὲ τοῦτο οὐδὲν ἄλλο ἐστίν, ἢ παραπλησίως ἔχειν ἡγεῖσθαι τῇ νωθρᾷ καὶ ἑτεροκινήτῳ ὕλῃ, τὴν τῆς ἀΰλου ψυχῆς οὐσίαν, τὴν ζωηρὰν καὶ δραστήριον; („ἐνέργεια γὰρ „ἐστὶ κίνησις δραστική· δραστικὸν δὲ λέγεται τὸ ἀφ' ἑαυτοῦ „κινούμενον. (1)) οὗ τί ἀτοπώτερον, καὶ τῇ ἐνδοτάτῃ συνειδήσει, τῶν καθ' ἑαυτοὺς διανοημάτων μᾶλλον ἀντιμαχόμενον; τὸ γὰρ θύραθεν ἀεὶ τὰς μεταβολὰς ὑπ' ἄλλου ἐπιδεχόμενον, οὐκ ἐφ' ἑαυτῷ ἔχει τὸ μεταβάλλεσθαι, διαφέρει οὖν σαφῶς, πρὸς ὅ,τι ἂν ὑπὸ τοῦ ἐνεργοῦντος αὐτῷ ἐπιχειρῆται. Ἀλλ' ἐφ' ἡμῖν βουλομένοις κεῖσθαι, τῷ μὲν προσέχειν τὸν νοῦν, τοῦ δ' ἀπέχεσθαι, ἐπὶ δὲ τὸ γνωστικῶς μεταχωρῆσαι, καὶ τὰς ἐπιούσας ἐννοίας ἀλλήλαις παραβαλεῖν, ἢ μή, καὶ τόδε τινὸς ἀφελεῖν, ἢ τόδε τῷδε προστιθέντας ὑφ' ἓν διευθυνθῆναι, καὶ ἐξ ἑτέρου ἕτερον ἑπόμενον διανοῆσαι, καὶ τὸ μὲν λήθῃ ὑπορρυὲν εἰς μνήμην ἀνακαλέσαι, τὸ δ' ὑπελθὸν ἀπωσα-

σθαι

(1) Νεμεσ. Κεφ. ις΄.



σθαι, καὶ παρατεῖναι δὲ τὴν θεωρίαν ἄλλῳ ἐνδιατρίψαντας, ἢ ταχὺ διακόψαι, ἢ καὶ δεύτερον ἀναλαβεῖν, ταῦτ' ἐφίω, καὶ τὰ τοιαῦτα γνωστικῶς ἡμᾶς ἐνεργεῖν δύνασθαι, τίνι οὐχὶ βοᾷ τὸ συνειδὸς αὐτὸ μαρτυροῦν; (§. χξη΄. κξ΄.) τοῖς μὲν οὖν σωματικὴν ἡγησαμένοις εἶναι τὴν ψυχὴν ἐκεῖνο λεγόμενον, ἔχει τι τάχα καὶ τὸ ἀκόλουθον. Καί τοι οὐδὲ τὴν τῶν σωμάτων φύσιν, ἐπίπαν ἀμοιρεῖν ἐνεργοῦ δυνάμεως, εἰπεῖν οἱ οὐκ ἔξω τοῦ πιθανοῦ τίθενται· τοὺς δὲ ὑπὲρ τοῦ ἁπλοῦ, καὶ ἀΰλου, καὶ ἀειζώου τῆς ψυχῆς, λόγους πολλοὺς καταντλήσαντας, τίνα ἔχει λόγον, αὐτὴν ἔπειτα γυμνοτέραν ὑπέρου καθ' ἑαυτὴν ἀναδεικνύειν, τοῦ τὰς ἰδίας γνώσεις αὐτουργεῖν ἀποστεροῦντας τὴν δύναμιν; Ἢ τοῦτο κἀνταῦθα χώραν ἔχειν οἴονται τὸ ἐπὶ τῶν σωμάτων ὁμολογούμενον, ὅτι ὑφ' ἑτέρου κινεῖται πᾶν τὸ κινούμενον, ὡς ὑφ' ἑτέρου ἄγεσθαι πρὸς τὸ νοεῖν παραπλησίως πᾶν τὸ νοοῦν; Ἀράβειον τὸ πλάσμα. Ἀβικένας καὶ γὰρ (1) τὰ νοερὰ καλούμενα εἴδη (οὐκ οἶδ' ἅττα λέγων εἰ μὴ τὴν τῶν εἰδῶν τύπων παραστατικὴν δύναμιν) τοῖς κεχωρισμένοις τῶν νόων προϋπάρχειν ἀΰλως ἐτόπαζεν, ἀπὸ δὲ τοῦ πρώτου τῷ ἑπομένῳ παράγεσθαι, κἀκ τούτου τῷ μετὰ τοῦτον, καὶ οὕτως ἐφεξῆς, ἄχρι τοῦ ἐσχάτου νοῦ, ὃς ἂν κεχωρισμένος ᾖ, ὃν καὶ Νοῦν εἶναι τὸν ἐνεργείᾳ ὠνόμαζεν, ἐφ' οὗ τὰ νοητὰ εἴδη ταῖς ἡμετέραις ψυχαῖς ἐπιρρεῖ, ὥσπερ ἄρα καὶ τὰ εἴδη τὰ αἰσθητὰ τῇ σωματικῇ ὕλῃ. Ἀλλ' ὅσης ἐστὶ κουφότητος τὸ οὕτως ὑπολαμβάνειν, ἐντεῦθεν αὖτις συνιδεῖν ἔχοι οὔπω διασκεψάμενος. Ὥσπερ γὰρ ἐπὶ τῶν σωματικῶν κινήσεων, ἀρχὴν θετέον, ἥτις μὴ σωματικὴ ᾖ, αὐτῶν τῶν κινήσεων, οὕτως ἄρα καὶ ἐπὶ τῶν ἀσωμάτων, ἀρχὴν παραληπτέον, ἥτις μὴ νοητικὴ ᾖ, τῶν νοήσεων. Καὶ ἤτοι τὸ πρώτως νοοῦν οὐκ ἔσται, καὶ κατ' ἀκολουθίαν οὐδὲ τὸ ἔσχατον, ἢ ἐκείνου ὑποτιθεμένου, ἐξ ἀνάγκης ὁμολογητέον τὴν αὐτονόησιν. Εἰ δὲ θετέον ὡς οὐκ ἀδύνατον, μᾶλλον δὲ ἀναγκαιότατον, τὸ ἀφ' ἑαυτοῦ τι προβάλλειν τὴν νόησιν, ἀποδεικτέον παραπλησίως καὶ ἐπὶ ἑκάστου νοῦ τὸ νοεῖν

οὕτω

(1) Παρὰ τῷ Ἀκυινάτῃ Μέρ. Α΄. Ζητήμ. πδ΄. Ἄρθ. δ΄.

οὔπω γίγνεσθαι. Ἄλλως καὶ γὰρ οὐδὲ νοῦς ἂν εἴη, νοεῖν μὲν
δυνάμενος· νοεῖν δ' οὐκ ἂν δύναιτο, εἰμὴ καὶ ἀφ' ἑαυτοῦ, ὡς
ὁ πρῶτος. Ἐκεῖνο γὰρ νοεῖν ἐστὶ κυριώτατα· οὗτος οἶμαι
λόγος, εἰς κατασκευὴν τοῦ δραστηρίου τῆς νοητικῆς δυνάμεως,
οὐκ ἀφελής. Εἰ δέ τις κατὰ τὸ αὐθυπάρχειν τε καὶ αὐτοεῖναι,
τοῦ πρώτου καὶ τὸ αὐτονοεῖν λέγει ἴδιον, τῶν δὲ δευτέρων τὸ
ὑφ' ἑτέρου, ὥσπερ εἶναι, οὕτω τι καὶ νοεῖν. Ἴσω δὴ οὗτος Α'.,
ὡς πάντη πάντα ἀποστερεῖ οὕτω γνώμης ἔχων τὰ ὄντα πά-
σης δυνάμεως, καὶ εἰς τὸν Σπινόζου ἀκαθαιῶνα ἑαυτὸν φέ-
ρων ἐμβάλλει, μίαν εἶναι καὶ μόνην τὴν αὐτὴν πρωτίστην
οὐσίαν, τὴν καὶ δυναμένην, καὶ ἐνεργοῦσαν ἕκαστα εἰσηγούμε-
νος. Β'. ὅτι τοῦ αὐτοόν τι, καὶ ἀφ' ἑαυτοῦ, ἡ κατὰ τὸ ἐνεργεῖν
δύναμις ἄπειρος καὶ ὑπερτελής, τοῖς δ' ὑπ' ἐκείνου, ὥσπερ τὸ
εἶναι, οὕτω καὶ τὸ δύνασθαι παρ' αὐτοῦ, ἀλλ' οὐχὶ τὸ μέν, τὸ
δ' οὔ, κατὰ τὰς τὰς λογικὰς ψυχὰς τῆς πρὸς τὸ νοεῖν ἀποστε-
ροῦντας δυνάμεως. Γ'. Καὶ τὸ ὑπάρχειν οὐκ ἐφ' ἡμῖν εἶναι,
ἀλλ' ἀπὸ τοῦ πρώτου φανερόν, τοῖς μὴ οὕτω; ἢ ἄλλως ἔχειν
πρὸς ὕπαρξιν, παρ' ἑαυτῶν δυναμένοις, νοεῖν δὲ οὕτως, ἢ
ἄλλως, καὶ τόδε ἢ τόδε ἔχειν, τίς ἐγένετο ὁ μὴ συνειδὼς
ἑαυτῷ, καὶ συνεπιστάμενος; Ἐῶ δὴ λέγειν τὰς ἄλλας ἀπ-
πίας, τὰς ἐκ τῶν ἀπρεπῶν λογισμῶν, καὶ ἐπισφαλῶν Κρι-
σεων, καὶ ἀθεμίτων ἐπινοιῶν, ὧν ἀπαλλάττουσι μὲν τὴν ψυ-
χήν, αἰτιῶνται δὲ τὸ Ὂν τὸ ὑπέρτατον, οἱ μὴ κατὰ γνῶσιν
ἀφ' ἑαυτῆς ἐνεργεῖν παθαίνεσθαι δὲ μόνον, τὰς ἐννοίας ὑ-
π' ἐκείνου ἐπιδεχομένην διατεινόμενοι.

## Πορίσματα.

§. ωιε'. Α'. Οὐκ ἄρα παθητική τις ἐστὶ δύναμις ὁ Νοῦς,
ἢ τοῖς περὶ τὸν Νεώτερον Καρτέσιον ἔδοξε.
Β'. Καὶ ὁ παθητικὸς δὲ νοῦς κατ' Ἀριστοτέλην αὐτὸς ὢν
φαντασίας νοούμενος, τοῦ μὲν τῶν ἐν τῷ αἰσθητηρίῳ κινημά-
των λόγῳ, παθητικὸς καλείσθω, τοῦ δὲ τῆς τῶν αὐτῶν κι-
τιλήψεως, οὐκ ἂν ὀρθῶς οὕτω λέγοιτο. Διαφέρει δὲ πάμ-
πολυ οὕτως, ἢ ἐκείνως λέγεσθαι. Ἐκείνως μὲν γὰρ μόνῳ
μὲν ἀποδοθείη τῷ σώματι, φύσει ἑτεροκινήτῳ ὄντι, ἡ κατὰ
τὴν



τὴν κίνησιν πάθησις, οὔπω δέ τοι καὶ τῇ ἀσωμάτῳ ψυχῇ,
ἣν τῶν σωματικῶν ἀπηλλαγμένην εἶναι κινήσεων, αἰσθενέ-
σι λόγοις ( §. ψιέ. κζ. ) προαποδέδεικται. Εἰ δὲ παθη-
τικὸν νοῦν, οὐχὶ κατὰ τὰς πολλὰς τὴν φαντασίαν, τὸν δὲ δυ-
νάμει Νοῦν, κατὰ τὸ δόξαν τισὶν (1) ἐκλάβοιμεν, εἰς παν-
τα πάλιν τὰ ἀνωτέρω περιπεσούμεθα ἄτοπα, ( §. ωιδ'. )
καὶ ψξ'.) καὶ διατοῦτο εἰκότως τὸν τοιόνδε νοῦν, τὸν μηδὲν πε-
ρὶ τὰς κατ' αὐτὸν ἐνεργοῦντα νοήσεις, τῆς λογικῆς ψυχῆς
ἐκσυρίττομεν.

## Θεώρημα ΝΔ'.

§. ωις'. „ Τὰ νοητὰ εἴδη ( ἃς καὶ ἰδέας καλοῦσι τῶν ὀν-
„ των περιστατικὰς ) τὰ ὑπὸ πολλῶν εἰσαγόμενα ἐν τῇ
„ ψυχῇ, ἃ δὴ περὶ τὰς αὐτῆς ἀντιλήψεις, καὶ τὰ ἀντι-
„ ληπτὰ πράγματα, ἕτερα ἂν εἴη, περιττάμοι δοκοῦσι, καὶ
„ οὐδὲν εἰς νόησιν συντελοῦντα εἶναι φιλοσοφικὰ τερετί-
„ σματα.

Ἡ γὰρ ψυχή, ἤτοι ἀφαντάστως νοεῖ πρὸς ἑαυτὴν ἐπι-
στρέφουσα, ἢ μετὰ φαντασίας, τῇ κατὰ τὸ αἰσθητήριον γινομένῃ
κινήσει προσέχουσα. ( §. ωί. ) Ἀλλ' εἰ μὲν οὕτως, εἶδος
ἂν εἴη αὐτῇ νοητόν, ἤτοι τὸ σωματικὸν ἴχνος, ἤτι τούτῳ
προσόμοιον τῇ ψυχῇ γινόμενον νοερὸν ἀπεικόνισμα. Ἀλλ' ἐ-
κεῖνο μὲν οὐχί· οὐ γὰρ δὴ τοιούτου τινὸς ἡ ἄϋλος φύσις ἐπι-
δεκτικὴ κρίνεται. Οὐδὲ μὲν οὖν τοῦτο· ἡ γὰρ ὁμοιότης τοῦ
σωματικοῦ ἴχνους ἐν κινήσει ἂν εἴη, καὶ σχήματι, καὶ τοῖς
τοιούτοις. Τῷ γὰρ γένει τῶν ποιοτήτων, ὡς βάσει πᾶσα ὁ-
μοιότης ἑδράζεται. ( §. τιβ'. ) Ἡ δὲ τοῦ ἀΰλου ἐνέργεια,
ὥσπερ καὶ ἡ φύσις, τῶν κατὰ κίνησιν, καὶ σχῆμα, καὶ τῶν ἄλ-
λων σωματικῶν ποιοτήτων πάντη ἐστὶ καθαρεύουσα, (§. ψιζ'.
ψιή.) τοιγαροῦν ἐπὶ τῶν κατὰ φαντασίαν γνώσεων τὰ νοητὰ
ταῦ-

(1) Ἀλέξανδρ. Ἀφροδισ. ἐν Ὑπομν. εἰς τὸ περὶ Ψυχ. Ἀριστοτέλους καὶ Κορυδαλ.

ταῦτα εἴδη οὐχ ὅπως περιττὰ δοκεῖ, ἀλλὰ καὶ ἀδύνατα. Ἀλλ᾽ εἴπερ ἐπ᾽ αὐτῶν, πολλῷ δὴ μᾶλλον περιττὰ ἂν εἴη ἐπὶ τῶν ἁπλουστέρων νοήσεων, λέγω τῶν ἀφανταστῶν. Εἰσάγεται γὰρ ταῦτα (ὡς οἱ τούτων προστάται φασὶν) ἐπεὶ μὴ δυνατὸν, οὔτε τὸ νοητὸν αὐτὸ εἰσιὸν τῇ ψυχῇ συναφθῆναι, οὔτ᾽ αὐτὴν ἑαυτῆς ἐξιοῦσαν, τῷ προκειμένῳ εἰς νόησιν πράγματι συμπλακῆναι. Ἀλλ. οἱ τῶν νοητῶν τούτων λόγοι, αὐτὴ ἐστὶν ἡ ψυχὴ, καὶ αἱ περιοῦσαι αὐτῇ τελειότητες, δυνάμεις, ἐνέργειαι (§. ωί.), αἷς ἡ ψυχὴ συνοῦσι, πρὸς ἑαυτὴν ἐπιστρέφουσα, καὶ ἑαυτῇ γνωστικῶς οἷον συναπτομένη, καὶ τόγε νοοῦν, καὶ τὸ νοητὸν ἡ αὐτὴ γινομένη. (§. ωιβ΄. Δ΄.) Ἆρα περιττὰ, κτ.

## Σχόλιον.

§. ωιζ΄. Οὐκ οἶδ᾽ ἐφ᾽ ὅτῳ χρησίμῳ τὴν εἰδωλοποιΐαν ταύτην, εἰς τὴν νοοῦσαν ψυχὴν εἰσαγαγεῖν, μονονοὺ πάντες ἐφιλονείκησαν. Τί γὰρ δεῖ τῶν ἰδεῶν, καὶ τῶν εἰδῶν τούτων, ἐνὸν τῇ δυνάμει, ἤτοι ἑαυτῇ, ἢ καὶ τῷ, ᾧπερ συνῆπται σώματι ἐπιστρεφομένῃ, τὰς ἁπλουστάτας καὶ πρώτας ἐννοίας ἔχειν, ἐξ ὧν κατὰ κρίσιν καὶ διάνοιαν, ὡς ἂν ἐπείη αὐτῇ, μυρίοις τρόποις γνωστικῶς ἐνεργήσειεν; εἰμήπου τὰς ἑαυτῆς ἀντιλήψεις, αὐτὰς εἶναι τὰ εἴδη λέγοιεν. Ὅπερ ἐστὶ, τὰ νοητὰ, ἢ νοούμενα. Ἀλλὰ τῷ Μαλεβραγχίῳ ἥκιστα δοκεῖ. Εἶναι δὲ ταῦτα ὄντα ἀποφαίνεται ἄττα πνευματικὰ, οἷον εἰκόνες τινὲς, καὶ παραδείγματα, οὐκ ἔμφυτα τῷ νῷ, μεθεκτὰ δὲ παρὰ Θεοῦ, ἐν τῇ ἰδέᾳ, καὶ τῷ φωτὶ τῷ αὐτοῦ. Ἀρνάλδος μὲν οὖν ἁπάσαις μηχαναῖς, ταῦτα ἐκεῖνα καθελεῖν ἐπειράσατο τὰ εἰδώλια. Ἀλλ᾽ αὐτοὶ τὸν Ἀρνάλδον ἐάσαντες, αὐτὸν αὖ πυθοίμεθα τὸν ἔνθεν Φιλόσοφον, ποῖα ὄντα ταῦτα; μῶν γε οὐσίαι, ἢ συμβεβηκότα; Εἰ δ᾽ οὐσίαι, τῶν ἀΰλων, ἢ τῶν σωματικῶν; σωματικὰς οὐκ ἂν εἴποι. Ἀΰλους οὖν λέγων νόας ἐρεῖ, καὶ αὐτὰς πεφυκότας νοεῖν, καὶ παρὰ τὸ πληθὺν οὕτω νόων τὸν ἕνα νοῦν ἀποφαίνεις, καὶ τούτοις τοῖς δευτέροις, τὸ δι᾽ ἰδεῶν νοεῖν ἀποδώσει, καὶ οὕτως ἑτέρους εἰσοίσει νόας νόων, καὶ ἰδέας ἰδεῶν ἐπ᾽ ἄπειρον. Εἰ δὲ



δὲ συμβεβηκότα πῶς ὄντα ἔπειτα ἔξωθεν τῇ οὐσίᾳ τοῦ νοῦ κοινωνούμενα; πῶς πράγματι ἐκείνου διαιρούμενα; Εἰ γὰρ τὰ σωματικὰ τῶν συμβεβηκότων, αὐτὰ τὰ σώματα ἐστὶν ᾗπως διάκειται, καὶ τὰ νοερὰ ταῦτα οὐδὲν ἧττον, (εἰμὴ καὶ μᾶλλον, ἁπλουστάτης οὐσίας ὄντος τοῦ πνεύματος.) αὐτὸς ἔσται ὁ νοῦς, ᾗ κατὰ γνῶσιν ἐνεργεῖ. Ὅπερ καὶ ἐξ αὐτῶν τῶν αἰσθητῶν εἰδῶν, καὶ τῶν φανταστικῶν ἀνατυπωμάτων εἰσβάλλειν ἔπεστιν· ὥσπερ γὰρ ταῦτα οὐδὲν ἄλλο ἐστὶν, ἢ τὸ αἰσθητήριον αὐτὸ ᾗ κεκίνηται· οὕτως ἐκεῖνα οὐδὲν ἕτερον εἰκὸς εἶναι, ἢ τὸ γνωστικὸν, ᾗ νενόηκεν, μόνης οὔσης διαφορᾶς τῆς κατ᾽ ἐνέργειάν τε καὶ πάθησιν. Ἀλλ᾽ ὑπὲρ Μαλεβραγχίου ἵσταται καὶ ὁ Νεαπολίτης Γενουώσιος (1). „Εἰ γὰρ τὸ „αὐτὸ, φησὶν, ἰδέαι καὶ ἀντιλήψεις, δυοῖν θάτερον ἕψε„ται, ἢ ὅτι παθητικῶς ὁ νοῦς ὑπόκειται ταῖς ἑαυτοῦ νοή„σεσιν, οἷα ὁ κηρὸς ταῖς ἐνσφραγίσεσιν, ἢ ὅτι τὰς ἑαυ„τοῦ ἰδέας ἁπάσας παράγει. Τὸ γοῦν πρῶτον καὶ ἡμῖν ἀνεσκεύασται, (§. ωιγ΄. ωιδ΄. ωιέ.) τὸ δὲ δεύτερον ἐὰν τεθῇ, παραγωγικὴ ἔσται τῶν ἑαυτῆς ἰδεῶν ἡ ψυχή. Καὶ τί τὸ ἄτοπον, τοῦ τὰς ἑαυτῆς ἀντιλήψεις, τουτέστι τὰς ἐνεργείας, (τοῦτο γὰρ ἀντὶ ἰδεῶν ὑπετέθη.) προβλυστάνειν τοῦ νοῦ τὴν φύσιν τὴν ζωηρὰν, καὶ δραστήριον; μᾶλλον δὲ πῶς οὐκ ἀναγκαῖον τοῦτό γε, εἰμὴ μέλλοι later crudus εἶναι, ὅπερ οὐδ᾽ αὐτὸς ἡγεῖσθαι ἀνέχεται (2); Ναὶ φησὶν, ἀλλ᾽ ὁ νοῦς οὐκ ἂν εἴη αἰτία παραγωγικὴ τῶν ἁπλῶν αὐτοῦ ἰδεῶν. (3) Πάνυ μὲν οὖν· κἀγώ σοι σύμφημι, εἰ τὰς ἰδέας οὕτως ἐκλάβοις, ὡς ὄντα τινὰ ἕτερα παρὰ τὴν ψυχὴν, καὶ τὰς ἐνεργείας τὰς ἑαυτῆς τῶν νοητῶν ἀπεικάσματα, καὶ οὐχὶ κατὰ τὴν ὑπόθεσιν. Τὸ γοῦν παρεισάμενον ἐμοὶ φάναι, ὁ Φιλόσοφος οὗτος, παρὰ τὴν ὑπόθεσιν λέγων λαμπρῶς παραλογίζεται. Συνιδεῖν δὲ ὤφειλεν, ὡς ἐπεὶ ἅπαξ ταυτίζεσθαι ταῖς ἰδέαις τὰς ἀντιλήψεις καθ᾽ ὑπόθεσιν ἔδωκε, (4) δοὺς ἤδη τὴν ψυχὴν

(1) Γενουώσ. Ψυχολογ. Προτ. κθ΄.
(2) Ἐν Ἀπόδ. Προτ. λ΄.
(3) Ἐν Προτ. κι΄.
(4) Ἐν Προτ. κθ΄.

χὴν δημιουργὸν εἶναι τῶν ἑαυτῆς ἀντιλήψεων (1), καὶ τὰς
ἰδέας αὐτουργεῖν ὁμολογῆσαι ἠνάγκασαι, τὸ δοκοῦν αὐτῷ ἀ-
πηνώτατον. (2) Ἀλλ' ἐκχωρείτωσαν αἱ ἰδέαι, καὶ ἀντὶ τού-
των τὰ νοητὰ αὐτὰ νοείσθω (ταῦτα δὲ ἐστὶν ἥτε τῆς ψυχῆς
φύσις, καὶ αἱ περιοῦσαι αὐτῇ τελειότητες ἐπὶ τῶν ἀφαντάστων
ἐννοιῶν, ἐπὶ δὲ τῶν κατὰ φαντασίας, αἱ τοῦ αἰσθητηρίου κινή-
σεις, ὡς εἴρηται, (§. ωἰ.) καὶ πάντα ἕξει καλῶς. Οὔ-
τω γὰρ, τὰ μὲν ἀντιληπτὰ προϋποτίθεται, αἱ δὲ τῆς ψυ-
χῆς ἀντιλήψεις, ἐξ αὐτῆς ἐπὶ τόδε, ἢ τόδε ἐπιστρεφομέ-
νης, παράγονται· ὃ δὴ καὶ αὐτὸς ἔοικε βούλεσθαι. Καὶ ταῦτα
μὲν πρὸς τοὺς Μαλεβραγχίτας τούτους. Ἵνα δὲ καὶ πρὸς τοὺς
τὰ Ἀριστοτέλους εἴδη πυκνῶς ἐρυγγάνοντας τὸν λόγον ἰθύ-
νωμεν, μηδενὶ δυσχερὲς ἔστω, εἰ περιττῶς καὶ αὐτοὺς αὐτὰ
τερετίζειν φήσομεν. Τί γοῦν αὐτοί; Ἀπὸ τῶν ἔξω φασὶν
αἰσθητῶν τὰ αἰσθητὰ εἴδη, αἵτινες ἐμφάσεις οἷαι εἰσὶν ὁ-
μοιωτικαὶ, καθ' ἃς διοριζομένη ἡ αἴσθησις ἐνεργεῖ (3).
Ἀπὸ δὲ τῶν φαντασμάτων ἐγγίνονται τῷ νῷ ἐμφάσεις ὁ-
μοιωτικαὶ τοῦ νοητοῦ, αἵτινες καὶ λέγονται εἴδη νοητὰ, πολὺ
μέντοι αὐλώτερα (εἰ τόδε εἰπεῖν ἐφεῖται τὸ αὐλώτερα.)
τῶν αἰσθητῶν, καθ' ἃ διοριζόμενος ὁ νοῦς, νοεῖ τόδε, ἢ τόδε
νοητόν. Ταῦτα δὲ τὰ νοητὰ εἴδη, οἱ μὲν οὐ διαμένειν ἐν τῷ
νῷ βούλονται (4), ἐνήργει γὰρ ἂν ἀδιαλείπτως ὁ νοῦς ὑπὸ
τούτων ἀεὶ παρόντων διοριζόμενος. Οἱ δὲ (5) ἐνυπάρχειν
αὐτῷ εἰσηγοῦνται ὑπὸ τῶν ἐκτὸς οἷον ἀφυπνιζόμενα καὶ διε-
γειρόμενα. Οἱ δὲ (6) προσνεῖμαι μὲν αὐτὰ τοῖς κεχωρισμέ-
νοις τῶν νόων ἀπὸ τοῦ ἀνωτέρου καὶ κρείττονος, τῷ ὑποβεβη-
κότι ἀεὶ κοινωνούμενα, καὶ ἀπὸ τοῦ ἐσχάτου τούτων, ὃς ὁ ἐνερ-
γείᾳ τυγχάνει νοῦς, ταῖς λογικαῖς ψυχαῖς ἐνιέμενα. Ἀεὶ
γοῦν

(1) Γενικῶς. Αὐτ. Ὁρισμ. ί. καὶ Ἀποδ. Πρότ. λ'.
(2) Αὐτ. Πρότ. κζ'.
(3) Κορυδαλ. περὶ Ψυχ. ὁποῖα τὰ νοητὰ εἴδη.
(4) Αὐτ. Περὶ Ψυχ. Ἀναίρ. τῶν ἐνυπαρχόντων ἐπὶ τῷ νοῒ εἰ-
δῶν.
(5) Τινὲς τῶν Ἀράβων παρὰ Πίκῳ Τόμ. Α'. Σελ. 50.
(6) Ἀβικένας παρὰ τῷ Ἀκυινάτ. Α. Μέρ. Ζητ. πδ'. Ἄρθ. δ'.



γοῦν ὁ δυνάμει φασὶ νοῦς συλλαμβάνων τὰ νοητὰ τῶν εἰ-
δῶν, καθ' ὃ καὶ ἔντυπα τούτῳ εἶναι, καὶ κατ' εἰσδοχὴν λέ-
γεται, αὐτὸ οὕτω γίνεται τὸ νοητόν. Καὶ φαίης ἂν ὡς τό-
τε τὸ γραμματεῖον γράφεται. Ὁ δὲ παράγων αὐτὰ καὶ γρά-
φων, κατὰ μὲν τοὺς τρίτους ὁ κεχωρισμένος ἐστὶ νοῦς, κατὰ δὲ
τοὺς δευτέρους ὁ Θεὸς ἂν εἴη. Καὶ οὗτος νοῦς ὁ ποιητικὸς, καὶ
κατ' ἐνέργειαν. Τῷ μέντοι Κορυδαλεῖ (1) οὐ δοκεῖ, ὑπὸ τοῦ
ποιητικοῦ νοῦ τὸν δυνάμει εἰς τὸ νοεῖν μεταβάλλεσθαι, ἔτι,
» φησὶν, ὁ ποιητικὸς νοῦς φύσει ἐνεργεῖ ἀεὶ ὡσαύτως, καὶ
» οὐδέποτ' ἐλλείπει, ὡς ὁ ἥλιος τοῖς βουλομένοις ὁρᾷν· τὸ
» δὲ νοεῖν τοῦ ἡμετέρου νοὸς οὐκ ἀδιάλειπτον. Πόθεν οὖν ἡ
» μεταβολὴ ἀπὸ τοῦ μὴ ἐνεργεῖν ἐπὶ τὸ ἐνεργεῖν;... Λεί-
» πεται ἄρα τὸ νοητὸν ἐμφανίζεσθαι τῷ νῷ, διορίζον τοῦ
» νοητικοῦ τὴν ἔννοιαν, ἀναλόγως τοῖς ἐπὶ τῆς αἰσθήσεως
» συμβαίνουσι. Ταῦτα δὴ τὰ τῶν Περιπατητικῶν γενναῖα·
ὧν εἴπερ ἐν περινοίᾳ τῷ ὄντι γινόμενοι εἰσὶ, θαυμάζειν
ἔπεισιν αὐτοὺς, καὶ μακαρίζειν τῶν φρενῶν τῆς λεπτότητος·
ὡς ἔμοιγε πάντῃ τὰ τοιαῦτα ἀπερινόητα ὄντα ἐστί. Τίς γὰρ
ἡ ὁμοιωτικὴ αὕτη ἔμφασις τοῦ αἰσθητοῦ, ἡ ἐγγινομένη τῷ αἰ-
σθητηρίῳ, εἰ μὴ ποιάτις κίνησις, καὶ αὕτη σωματική; τίς
δὲ ἡ κατὰ ταύτην τοῦ νοητοῦ ἡ ἐπιγιγνομένη τῷ νῷ, εἰ μὴ
ποιάτις νόησις, καὶ αὕτη ἄϋλος; Ἀλλ' ἐν ἐκείνῃ μὲν, κινή-
σει οὔσῃ, ἔσται μέντοι τὸ κινοῦν τὸ αἰσθητὸν, ἔσται δὲ τὸ κι-
νούμενον τὸ αἰσθητήριον, καὶ παρὰ ταῦτα οὐδέν. Καὶ ταύτῃ
δὲ, οἷα νοήσει ὁμοίως παρέσται μὲν τὸ νοητὸν, παρέσται δὲ
καὶ τὸ νοοῦν, καὶ οὐδὲν ἄλλο· ὥστε πού ποτε τὰ θαυμαστὰ εἴδη
θήσομεν; Καὶ μὴν, καὶ τίνα ταῦτα εἶναι ὑποληψόμεθα;
Ἔστω γὰρ (ἵνα πρὸς μικρὸν αὐτὰ συγχωρήσωμεν.) εἴδη
τὰ μὲν αἰσθητὰ, ὡς λέγεται, τὰ δὲ νοητά. Πότερον οὖν, οὐ-
σίαι ταῦτα, ἢ συμβεβηκότα εἰσίν; ἢ τί τρίτον, οἷον ἂν
εἴη οὐδέτερον; τοῦτο γοῦν οὐκ ἂν εἴποιεν. Εἰ μὲν οὖν οὐσίαι,
τὰ μὲν ἄρα σώματα εὔλογον εἶναι, τὰ δὲ πνεύματα τινά.
Ἀλλὰ Α'. τίς ἡ τῶν οὐσιῶν ἀπὸ τῶν οὐσιῶν ἀποτομή τε καὶ
προ-

(1) Κορυδ. Ἀναίρεσ. τῆς δόξης τῶν ἀξιούντων σχέσεις εἶναι τὰ εἴδη.

πρόβλυσις; τίς δὲ καὶ ἡ τούτων αὐτῶν αὖθις εἰς τὸ μὴ εἶναι ῥοπή; Β'. δὲ πῶς μὲν τὰ σώματα διὰ τῶν αἰσθητηρίων χωρεῖ σώματος ὄντος; Πῶς δὲ τὰ πνεύματα οὐ νοεῖ καὶ αὐτὰ, ὡς καὶ ἄλλων εἰδῶν δεῖσθαι, καὶ ταῦτα ἑξῆς ἄλλων, (ὃ καὶ ἀνωτέρω ἐλέγετο) ἐπ' ἄπειρον; εἰ δὲ δὴ συμβεβηκότα πότερον πάλιν, ἀπὸ ὑποκειμένου μεταβαίνει εἰς ὑποκείμενον, οἷον ἀπὸ μὲν τῶν ἐκτὸς ἐπὶ τὴν αἴσθησιν, ἀπὸ δὲ τῆς αἰσθήσεως ἐπὶ τὴν φαντασίαν, ἀπὸ δὲ τῆς φαντασίας ἐπὶ τὸν νοῦν; ἢ οὐ μεταβαίνει; εἰ γὰρ ἐκεῖνο, διασκεψάσθωσαν ἡμᾶς Α'., τίς ἡ τῶν συμβεβηκότων τούτων μετάβασις; ἐπεὶ κινήσεώς γε τῆς καθ' αὑτὸ ἴσμεν ἅπαν ὂν συμβεβηκὸς ἀνεπίδεκτον. Προστιθέτωσαν δὲ καὶ Β'., πῶς τὸ μεταβαῖνον ᾗ μεταβαίνει, ἄλλο μὲν ἦν ἐν τῷ ἀφ' οὗ ὅρῳ, ἄλλο δέ τι γίνεται ἐν τῷ πρὸς ὅν; οὐ γὰρ δήπου φήσουσι ποτὲ τὸ φυσικὸν εἶδος τὸ ἐν τῷ λίθῳ, αὐτόχρημα τὸ εἶδος εἶναι τὸ αἰσθητὸν, τὸ ἐν τῇ αἰσθήσει, οὐδέ γε τοῦτο τὸ ἐν τῇ φαντασίᾳ, οὐδὲ τοῦτο τέως τὸ ἐν τῷ νῷ. Εἴγε ὁμοιωτικὰς εἶναι βούλονται ἐμφάσεις ἀεὶ τῶν πρώτων τὰ δεύτερα; Καὶ μὴν καὶ τοῦτο Γ'. οὐκ ἂν φθάνοιεν ἡμῖν ἐξηγεῖσθαι, τίς ἡ τῶν νοητῶν εἰδῶν τῶν πάντῃ ἀΰλων, πρὸς τὰ ἔνυλα ἐξομοιωτικὴ αὕτη ἔμφασις; Καὶ Δ'. ἐπὶ τῶν ὑπὲρ τὴν αἴσθησιν ἐννοιῶν, ὧν οὐκ εἰσὶ φαντασίαι πρόδρομοι, τὰ νοητὰ εἴδη πόθεν ἥκει τῷ νῷ; καὶ τίνι ἐξομοιοῦται; „ ἀπὸ γὰρ τῶν φαντασμάτων „ ἐγγίνεσθαι τῷ Νῷ τὴν ὁμοιωτικὴν ἔμφασιν τῶν νοητῶν, „ μετὰ τῶν γνησιωτέρων, ἢ φησὶν, ἐξηγητῶν ὁ Κορυδαλλεὺς (1) εἰσηγήσατο. Γίνεσθαι δὲ νοήσεις καὶ ἄνευ φαντασίας, καὶ Ἀριστοτέλει δοκεῖ, καὶ τῇ ἀληθείᾳ. (§. ως'. ωζ'.) „ Ἀλ„ λ' ἤτοι τῷ νῷ πάρεστι, φασὶν, αὐτὸ καθ' ἑαυτὸ τὸ νοη„ τὸν, ἢ διὰ τῆς οἰκείας ἐνεργείας. Ἀλλὰ τὸ μὲν Α'. ἀ„ δυνατον, οὐ γὰρ ὁ λίθος ἐγγίνεται τῇ ψυχῇ (ὡς εἴπερ ὁ λίθος ἦν τι τῶν νοητῶν, καὶ μὴ τῶν φαντασῶν) ἀλλ' ἡ τῷ „ λίθῳ ὁμοιότης. (2) Ἀπαντῶμεν, ὡς ἐάν τι τῶν κυρίως

νοη-

(1) Ἐν τῷ ὅπερ τὰ νοητὰ εἴδη, καὶ ὅπως γίνεται.
(2) Αὐτ. Αὐτ.



νοητῶν, καθ' αὑτὸ πάρεστι τῇ ψυχῇ τὸ τοιοῦτο. Ἐξ αὐτῆς γὰρ τῆς ψυχῆς, καὶ τῶν προσόντων αὐτῇ, οἱ λόγοι παντὸς, εἰ αὖ ᾖ νοητὸν, λαμβάνονται. (§. ωι'.) Εἰ δὲ μὴ οὕτως, ἀλλὰ μετὰ φαντασίας, οἷον τὸ εἰς δεῖγμα ληφθὲν ὁ λίθος, οὐδ' αὐτὸ καθ' ἑαυτὸ πάρεστι τῇ ψυχῇ, οὐδὲ διὰ τῆς ἐνεργείας τῆς αὐτοῦ τὸ τοιοῦτο. Ἐν γὰρ κινήσει τῶν σωματικῶν πᾶσα ἐνέργεια. (§. χυζ'.) Κίνησις δὲ σωματικὴ φύσεως ἀΰλου οὐχ ἅπτεται. (§. ψιε'. ψις'. κξ'.) Ἀλλ' ἤτοι ἀμέσως ἐξ αὐτοῦ, ἢ ἐμμέσως πως ἡ τῶν ἐκτὸς ἐργαζομένη ἐμποιουμένη κίνησις, ἄχρι τοῦ πρώτου αἰσθητηρίου χωρήσασα ἔστηκεν, ᾧ περ ἀμέσως παροῦσα ἡ ψυχὴ, καὶ προσέχουσα, καὶ ὅπως διάκειται γνοῦσα, τὴν τοῦ σωματικοῦ πάθους ποιεῖζεται ἔννοιαν. (§. ψο'. κξ'. ψπδ'. κξ'.)

## Θεώρημα ΝΕ'.

§. ωιη'. „ Καθ' ἑαυτὴν μὲν ἡ κατὰ τὸν νοῦν δύναμις διαφορὰν οὐκ ἂν ἔχοι, ἐν ἀνθρώποις ἅπασιν οὖσα τῆς αὐ„ τῆς τελειότητος. Ἐκ δὲ τῆς μετὰ τοῦ σώματος συναφείας, „ συμβαίνει διαφορὰν ἔχειν, καὶ νοῦν πρὸς νοῦν, καὶ τὸν αὐ„ τὸν πρὸς ἑαυτὸν εἶναι ἄλλοτε ἄλλως.

Ἐστι γὰρ αὐτὴ ἡ ψυχὴ, ᾗ τῆς ὕλης ἀπηλλαγμένα (§. χος'.) νοοῦσα ἐστὶν (§. ως'. ωζ'.) ἀφαντάστοις ἐννοίαις περὶ αὐτὰ ἀνεστρεφομένη· ψυχὴ δὲ ψυχῆς καθ' ἑαυτὰς, οὐκ ἂν εἴη τελεωτέρα ἄλλη ἄλλης. (§. ψνζ'. ψνη'.) Εἰ μὴ μόνον φυσικῶς (§. αὐτ.) διὰ τὴν κρᾶσιν τοῦ ὅπερ ἔλαχεν εἰδοποιεῖν σώματος, καὶ τὰς ἐπισυμβαινούσας ὅσ' ὧραι αὐτῷ ἀλλοιώσεις, ὧν κατὰ τὸ ἔσχατον αἰσθητήριον γινομένων, ἀνάγκη αὐτὴν ἀντιλαμβάνεσθαι. (§. ψπς'.) Ἔτι δὲ καὶ ἠθικῶς (§. ψνζ'. ψνη'.) διὰ περιουσίαν, ἢ ἀπουσίαν τῶν ἕξεων, τῶν ποικίλην παρεχομένων πρὸς τὸ ἐνεργεῖν τὴν δύναμιν, ὧν πρωτίστην τε καὶ ὀνησιμωτάτην τακτέον τὴν μνήμην, ἣ τὸ πᾶν σχεδὸν καὶ αὐτὴ τῆς σωματικῆς ἐξηρτημένη ἐστὶ συστάσεως. (§. ωδ'.) Ἆρα κτ.

Σχό-

## Σχόλιον.

§. ωιθ'. Ἀρεταὶ δὲ τῆς νοητικῆς δυνάμεως, αἱ τῷ λόγῳ τῶν τοῦ σώματος κράσεων, καὶ τῶν ἕξεων ταῖς ψυχαῖς παρεπόμεναι, καταλέγονται αἱ ἐφεξῆς αὗται. Α'. τὸ πτηνὸν οἷον τοῦ νοῦ, καὶ εὐκίνητον, καθ' ὃ μὴ τοσοῦτον τῷ γεηρῷ σκήνει ἐπιβαρούμενος, μετεώρῳ ποδὶ καὶ κούφῳ, ἀπὸ τῶν κατ' αἴσθησιν, ἢ φαντασίαν, οἷς ἂν τύχοι πλαζόμενος, ἐπὶ τὰ νοητὰ πρὸς τὸ δέον ἑτοίμως ἔχει μεταβαίνειν καὶ αἴρεσθαι, ἑαυτοῦ οἷον γινόμενος, καὶ τοῖς καθαρωτάτοις τῶν θεωρημάτων ἀπαραποδίστως προσομιλῶν. Β'. τὸ προσεκτικόν, καθ' ὃ ἔξω πως τοῦ σώματος, καὶ τῶν περὶ ἐκεῖνο θορύβων ὁ νοῦς καθιστάμενος, αὐτῷ οἷον προσηλοῦται τῷ νοουμένῳ, καὶ ἀμφιλαφῶς ἔχεται αὐτοῦ, καὶ ἀκλινῶς τε καὶ ἀστεμφῶς προσεδρεύει, οὐδὲ βραχύ, οὐδ' εἴ τι καὶ γένοιτο, τοῦ προκειμένου διολισθαίνων, οὐδὲ σαλευόμενος. Γ'. τὸ ἐπίμονον, καθ' ὃ ἐπὶ πολὺ παρατείνων τὴν θεωρίαν ὁ νοῦς, οὐκ ἀπαυδᾷ, οὐδ' ἀπολέγει, ἀεὶ δ' ἐν ἀκμῇ μένων, καὶ νεαρὸς ταῖς ἐνεργείαις ἀναδείκνυται. Δ'. τὸ πλάτος, καθ' ὃ ἅμα πολλῶν, καὶ διαφερόντων, οἷός ἐστιν ἀντιλαμβάνεσθαι, μὴ ἐπ' ὀλίγα στενούμενος. Ε'. τὸ βάθος, καθ' ὃ εἰς αὐτοὺς τῶν νοητῶν τοὺς ἐνδοτάτω μυχοὺς ἐμφιλοχωρῶν, οὐκ ἐπιπολῆς αὐτὰ περισαίνει, ἐναργῶς δὲ καὶ ἀκριβῶς τύπων ἐξιχνεύει τε καὶ διασμιλεύει τὰ γνωρίσματα καὶ τοὺς χαρακτῆρας, ἄχρις αὐτῶν τῶν ἁπλουστάτων, εἰ δέοι, ἐννοιῶν ἀναλύων ἕκαστα, καὶ ἀνασκοπῶν. ς'. τὸ ὕψος, καθ' ὃ ἀφαιρῶν εὐμαρῶς ἀπὸ τῶν ἐν μέρει τὰς καθόλου τε καὶ κοινότητας τῶν λόγων, καθ' ἑαυτὰς ἀναθεωρεῖ. Ζ'. τὸ τῆς ὀξύτητος, καθ' ἣν τὰς τῶν νοουμένων πρὸς ἄλληλα ὁμοιότητας, καὶ τὰς ἀπ' ἀλλήλων διαφορὰς ῥᾷστα συνορᾷ τε καὶ ἐπικρίνει. Η'. τὸ τάχος, καθ' ὃ διακινούμενος ἀπὸ τῶν ἡγουμένων ἐπὶ τὰ ἑπόμενα αὐτίκα μεταβαίνει, ἄλλα ἐξ ἄλλων προχείρως εἰσβάλλων τε καὶ συμπεραίνων. Οὕτως δὴ ὁ λόγος ἀκούει, ᾧ μάλιστα περικαλλύνεται ἄνθρωπος· ὃς καὶ λόγος ὀρθῶς μὲν ἔχων ἂν εἴη, εἰ κατ' ἀκολουθίαν τῇ τῶν πραγμάτων φύσει σύμφωνον οὖσαν, εὐστόχως ἐπιβάλλοι τοῖς συμπεράσμασιν· μὴ ὀρθῶς δέ, εἰ

παρα-



παραλογίζοιτο, καὶ τοῦ ἀληθοῦς παράγοιτο, τοῖς δοκοῦσι μέν, μὴ τῷ ὄντι δὲ ἑπομένοις συναρπαζόμενος. Ἡ δὲ τοῦ λόγου δύναμις αὕτη ἐπίσημός ἐστι, τῷ τε τάχει, ὡς εἴρηται, ᾧ παραυτίκα ὁ νοῦς τὰ ἑπόμενα συνορᾷ διαφέρουσα, καὶ τῇ διεξόδῳ, καθ' ἣν ἐπιφορὰν ἐπιφορᾷ συνείρων, μακροτάτας οἵας ἐστὶν ἀποτείνειν τὰς δείξεις, καὶ ἐπὶ τὰ ἀπωτάτω πτερούμενος ἄνεισι, τῇ σχοινοτενεῖ ἐφόδῳ πλειόνων συλλογισμῶν, οἷς οὐκ αὖτις ἄλλος ῥᾳδίως ἕποιτο, τὰ οὐκ εὐαπόδεικτα ὄντα τοῖς ἀμβλυτέροις, διαπιστούμενος, καὶ κατασκευάζων.

## Περὶ Δυνάμεως Ὀρεκτικῆς, καὶ περὶ Θελήσεως, καὶ τῶν παρεπομένων αὐτῇ. Ἐφ' οἷς καὶ περὶ Παθῶν.

### Θεώρημα Νς'.

§. ωκ'. „Οὐσίαν γνώσεως ἄμοιρον οὖσαν, ὀρεκτικῆς δυ-
„νάμεως εὐμοιρεῖν, τῶν ἀδυνάτων. Τὴν δὲ τὸ γνωστικὸν
„πλουτοῦσαν, καὶ πάνυ τῶν ἀναγκαίων.

Ὄρεξις γάρ ἐστι δύναμις, καθ' ἣν ἡ οὐσία πρὸς μὲν τὸ οἰκεῖον αὐτῇ, καὶ προσῆκον εἶναι δοκοῦν, ὁρμὴν ἔχει, ἀποστροφὴν δὲ ἀπὸ τοῦ μὴ οἰκείου δοκοῦντος, μηδὲ προσήκοντος. (ἐξ ὑποθ.) Προοδοῦ ἄρα τῇ ὀρέξει γίνεται, ἡ τοῦ κρίνειν τε, καὶ γνωρίζειν δύναμις, ἥπερ ἂν τὸ προσῆκόν τε, καὶ οἰκεῖον παριστάμενον, ἀντιδιαστέλλοιτο τοῦ μὴ τοιούτου, ὡς δῆλον ἐξ αὐτῆς τῆς ἐννοίας, ἣν οἱ πάντες ἔχουσι τῆς ὀρέξεως. Ἄρα τὸ Α'.

Τῇ δὲ δὴ οὐσίᾳ τῇ τὰ οἰκεῖά τε, καὶ συντελοῦντα αὐτῇ γνωριζούσῃ, καὶ ταῦτα τῶν μηδὲν ὠφελούντων αὐτῇ, ἀλλὰ καὶ βλαπτόντων, εἰ τύχοι, διακρινούσῃ, ἀναγκαῖον τῶν μὲν ἐφίεσθαί τε καὶ ἔχεσθαι, τὰ δὲ διωθεῖσθαι ἔχειν καὶ ἀποστρέφεσθαι, ἄλλως γὰρ τὸ περιὸν τῆς γνώσεώς τε, καὶ ἐπικρίσεως ἐν αὐτῇ, οὐκ ἂν ἔξω τοῦ περιττοῦ γένοιτο. Ἄρα καὶ τὸ Β'.

Πο-

## Πορίσματα.

§. ωκα΄. Α΄. Ἐκ δὴ τούτου φανερόν, ὡς εἰ καὶ λόγῳ τὸ ὀρεκτικὸν τοῦ γνωστικοῦ διενήνοχεν, τὸ μὲν γὰρ πρότερον, τὸ δὲ ὕστερον. Εἰ γὰρ ὀρέγεται, καὶ γινώσκει ἤδη αὐτό, οὐκ ἀνάπαλιν δέ, οὐ γὰρ ὅ,τι γινώσκει, καὶ ὀρέγεται πάντως τοῦ αὐτοῦ, τῷ μέντοι ὑποκειμένῳ ταυτίζεται, καὶ πράγματι ἕν ἐστιν· ἡ γὰρ αὐτὴ ἐστὶν οὐσία, ἡ πρὸς τὸ οἰκείως ἔχον ἑαυτῇ, γνωστικῶς τε ἔχουσα, καὶ καθ᾽ ὁρμὴν φερομένη, καὶ τῇ μέν, τὴν γνῶσιν λεγομένη πλουτεῖν, τῇ δέ, τὴν ὄρεξιν. Διὸ δὴ ἀβλεπτοῦντας σφᾶς οἱ Σχολαστικοὶ κἀν τούτῳ ἐλέγχουσιν, ἐν οἷς ἀλλήλων τὰς δυνάμεις πράγματι διαιροῦντες, τῇ μὲν ὀρέξει, καθ᾽ ἑαυτήν, ἀβλεψίαν προστρίβουσι τυφλὴν ὀνομάζοντες, τῇ δὲ γνώσει τὸ δᾳδουχεῖν ἐκείνῃ, καὶ τὰ τοῦ ὁδηγοῦντος τελεῖν ἀπονέμουσι. Πῶς γὰρ ἂν ἡ ὄρεξις καθ᾽ ἑαυτήν ποτε γένοιτο, ἄνευ τῆς γνώσεως; τίς δέ, (κἂν ἐκεῖνο δοίημεν) ἡ ἐκ τῆς παρὰ τοῦ βλέποντος δᾳδουχίας, τῷ τυφλώττοντι ὄνησις; (1)

Β΄. Πάντα ἄρα τὰ ζῶα, οἷς (εἴγε τῷ ὄντι αἰσθητικὰ ἐστὶ) (§. ψοθ΄. ψπ΄.) δυνάμεως γνωστικῆς ὁποιασοῦν μέτεστι (§. ψξθ΄.), τοῦ ὀρεκτικοῦ οὐκ ἀμοιρεῖ. (§. ωκ΄. διὰ τὸ Β΄.) Καὶ ἀνάπαλιν. (§. αὐτ. διὰ τὸ Α΄.) Οὕτω γάρ τοι τῇ κατὰ γνῶσιν δυνάμει συνῳκείωται ἡ κατὰ τὴν ὄρεξιν, ὡς ταύτης, ἐκείνης ἄνευ (2) ἀδυνάτου οὔσης, ἐκείνην ταύτης χωρὶς μένειν ἀργήν, καὶ ἀνόνητον.

Γ΄. Ἄνθρωπος δὲ ὅτι ὀρεκτικὸν ζῶον ἐστίν, οὐ μόνον ἐκ τῶν εἰρημένων συνάγεται, ἀλλὰ καὶ ἐξ αὐτῆς τῆς ἐνδοτάτου
„ συνειδήσεως ἑκάστῳ ἐστὶ καταδήλον. (§. χπα΄. κξ΄.)
„ Οὐδὲ τοῦτο οὖν ἀναιροῦσιν οἱ περὶ πάντων ἐπέχοντες (3) (οὕτως ὁμόλογον τοῖς πᾶσι τὸ δόγμα, καὶ ἀναμφήριστον)
„ ἀλ-

(1) Ὅρα Πουρχότ. Μεταφ. Μέρ. Β΄. Τμῆμ. Γ΄. Κεφ. Ε΄.
(2) Ὅρα Πλούτ. ἐν τῷ πότερα τῶν ζώων φρονιμώτ.
(3) Πλούτ. πρὸς Κολώτην.



„ ἀλλὰ χρῶνται τῇ ὁρμῇ φυσικῶς ἀγούσῃ πρὸς τὸ οἰκεῖον.
( Εἰ γάρ τοι τ᾽ ἄλλα πάντα ὑπενδοιάζων καὶ διχογνωμῶν
„ φαίνεται ὁ τὴν ἀκαταληψίαν δοξάζων ) λαβὼν ὅμως καὶ
„ αὐτὸς ἀληθῆ φαντασίαν ὀρέγεται καὶ ὁρμᾷ, πάντα πράττων,
„ ὅπως οὐ διαφθείρεται αὐτόν, ἀλλ᾽ ὡς ἄνυστον ἀεὶ συνέσαι
„ τῷ οἰκείῳ, φυσικαῖς, οὐ γεωμετρικαῖς ἑλκόμενος
„ ἀνάγκαις.

## Θεώρημα ΝΖ΄.

§. ωκβ΄. „ Ταῖς κατὰ γνῶσιν ἀντιλήψεσιν, αἱ κατὰ τὴν
„ ὄρεξιν ἐφέσεις τῶν οἰκείων τε καὶ προσφόρων ᾗ τοιαῦτα,
„ ἀεὶ χωροῦσιν ἀνάλογον, τουτέστι μᾶλλον μὲν ὀρεκτά, τὰ
„ μᾶλλον συντελεῖν γινωσκόμενα, ἧττον δέ, τὰ ἧττον.

Φέρε γὰρ μή, τοὐναντίον δὲ ἐπὶ τὸ ἧττον συντελὲς γινωσκόμενον, μείζονα τὸ ὀρεκτικὸν ἐχέτω τὴν τάσιν, ἐλάσσονα δὲ ἐπὶ τὸ μᾶλλον. Καὶ οὐκ ἄρα ᾗ γινώσκει, ταύτῃ γε ὀρεχθήσεται. Ἀλλ᾽ ἤτοι ὑπὲρ ὃ γινώσκει, καὶ φανερὸν ὅτι καὶ ὅπερ ἀγνοεῖ. Ἢ γοῦν ἀνορεκτήσει περὶ ὃ γινώσκει πρόσφορον ὄν, καὶ οἰκεῖον. Ἀλλὰ τὸ μὲν ἀδύνατον (§. ωκ΄. διὰ τὸ Α΄.) τὸ δὲ ἀνόνητον· (§. Αὐτ. διὰ τὸ Β΄.) ἄρα ταῖς κατὰ γνῶσιν ἀντιλήψεσιν, κτ. Ο. Ε. Δ.

## Πορίσματα.

§. ωκγ΄. Α΄. Τὰ διαφέροντα τῇ γνώσει, διοίσει δήπου καὶ τῇ ὀρέξει. Καὶ ὥσπερ οὖν, καὶ ἐφ᾽ ὅ,τι ἀκριβεστέρα ἐκείνη, καὶ αὐτὴ συντονωτέρα πάρεστι. Καὶ πάντων ἄρα ζώων ὁ ἄνθρωπος ὀρεκτικώτατος, ὅτι καὶ γνωστικώτατος ὁμολογουμένως. Καὶ ἄλλος ἄλλου ὀρεκτικώτερος. Καὶ αὐτὸς ἑαυτοῦ περὶ ἄλλο καὶ ἄλλο. Καὶ περὶ τὸ αὐτὸ δέ, ἄλλοτε ἄλλως· ἐπεὶ καὶ συνδεδεμένα ἀλλήλοις ἴσμεν (§. χπα΄.) καὶ συνδιασώζεσθαι ταῦτα τὰ μόρια, συμπροϊόντα τε καὶ συνακμάζοντα, καὶ ὑπ᾽ ἀλλήλων πως συνεχόμενά τε, καὶ ῥωννύμενα· ὡς συναύξειν μὲν ταῖς γνωστικαῖς ἀντιλήψεσι τὰς

πρός τινα κλίσεις, συνεπιτείνεσθαι δὲ, καὶ συνεπιδιδόναι ταῖς κλίσεσι τὰς ἀντιλήψεις, κτ. καθάπερ ἐν ἄλλοις που εἴρηται (§. Αὐτ.).

Β΄. Διαφέρειν δὲ εἰκὸς τὰς τοῦ ὀρεκτικοῦ ἐπικλίσεις τῷ τόνῳ, οὐχ ὡς ἐκ τοῦ ὑποκειμένου μόνον (διὰ τὸ ἀνωτ.), ἤτοι ἐξ αὐτοῦ τοῦ γινώσκοντος, ἀλλὰ δὴ καὶ ὡς ἐκ τοῦ ἀντικειμένου, τῷ λόγῳ δηλονότι αὐτοῦ τοῦ γινωσκομένου. Ὅσῳ γὰρ ἂν μᾶλλον τοῦτο οἰκειότερον παρασταίη, καὶ μᾶλλον προσῆκον εἶναι δόξειε, τοσούτῳ ἰσχυροτέραις ταῖς παρ' ἑαυτοῦ ἴυγξι, τὸ ὀρεκτικὸν πρὸς ἑαυτὸ ἐπιθέλγει, καὶ προσεφέλκεται. Καὶ αἱ ὁρμαὶ ἐντεῦθεν ἐπικρατέστεραι, σφοδρότεραι, μᾶλλον δυσκάθεκτοι. Δεῖ γε μὴν τῇ, ὥσπερ ἔχει πλείονα τὸ ὀρεκτὸν, οἰκειότητι, προσέχειν τὸ γνωστικόν· ἄλλως γὰρ, καθάπερ εἰ μηδὲ παρείη ὅλως, ὅσον γε πρὸς ὄρεξιν εἰπεῖν (§. ωκβ΄.) κρίνεται.

## Θεώρημα ΝΗ΄.

§. ωκδ΄. „ Τῆς αὐτῆς δυνάμεως τὴν ὀρεκτικὴν καλου-
„ μένην, ἐστὶν, ἥτε πρὸς τὸ οἰκεῖον ὁρμὴ, καὶ ἡ ἀπὸ τοῦ μὴ
„ οἰκείου ἀποστροφὴ, καὶ ἀποφυγή.

Ἡ γὰρ πρὸς θατέρῳ τῶν ἐναντίων προσέγγισις ἀπὸ θατέρου ἐξ ἀνάγκης ἐστὶν ἀποχώρησις, ἢ δῆλον. Ἄρα κτ.

Ἄλλως· πᾶσα δύναμις περὶ τὰ ἐναντία πέφυκεν ἀναστρέφεσθαι, κτ.

## Σχόλιον.

§. ωκέ. Ὥσπερ δὴ τὸ γνωστικὸν τοῖς ἀντιφάσκουσιν ἅμα ἀδυνατεῖ συγκατατίθεσθαι, (§. λέ.) ἀλλ' ἐπὶ θάτερον τῶν μορίων, ὃ ἂν ἀληθὲς εἶναι δόξειε κατανεῦσαν, τοῦ ἑτέρου, ἐξ ἀνάγκης, ὡς ψευδομένου ἀνένευσεν· οὕτω τοι καὶ τὸ ὀρεκτικὸν, πρὸς τὸ δόξαν συντελὲς καὶ οἰκεῖον λαβὸν ἐπίκλισιν, ἀπὸ τοῦ ἀλλοτρίου τε, καὶ μηδὲν προσήκοντος, οὐκ ἔσθ' ὅπως οὐκ ἂν ἔχοι τὴν ἐναντίαν ἀπόκλισιν. „ Ἔστι γὰρ
„ ὅπερ



„ ὅπερ ἐν διανοίᾳ κατάφασις καὶ ἀπόφασις, τοῦτ' ἐν ὀρέξει
„ δίωξις, καὶ φυγή. (1)

## Πόρισμα.

§. ωκς΄. Καὶ τά γε δὴ περὶ τῆς κατὰ τὴν ὄρεξιν ἐπικλίσεως, ἀνωτέρω εἰρημένα, καὶ περὶ τῆς ἀπὸ τῶν ἐναντίων ἀποστροφῆς τὰ αὐτὰ νοείσθω· ὅτι τε δηλ. καὶ ταύτης (§. ωκά. Α΄.) ἡ τοῦ ἀλλοτρίου γνῶσις πρὸ ὁδοῦ γίγνεται. Καὶ ὅτι (§. Αὐτ. Β΄.) παντὶ ζώῳ προσεῖναι εἰκὸς τὸ τῆς ἀποστροφῆς ἴδιον. Καὶ ὅτι (§. Αὐτ. Γ΄.) τῷ ἀνθρώπῳ πρὸ τῶν ἄλλων, ταῖς κατὰ γνῶσιν ἀντιλήψεσιν (§. ωκβ΄.) ἀνάλογον, καὶ ὡς ἐξ αὐτοῦ τοῦ γνωστικοῦ (§. ωκγ΄. Α΄.) καὶ ὡς ἐκ τῶν γινωσκομένων (§. Αὐτ. Β΄.).

## Θεώρημα ΝΘ΄.

§. ωκζ΄. „ Τῆς ὀρέξεως περὶ τὰ οἰκεῖα, ἢ μὴ ἀναστρέ-
„ φεσθαι νοουμένης, κατὰ μὲν ἐπίκλισιν ὅρος πρὸς ὃν, τὸ ἀ-
„ γαθὸν, κατὰ δὲ ἀποστροφὴν ὅρος ἀφ' οὗ τὸ κακὸν, οὐχ ᾗ
„ ὄντα, ᾗ δὲ φαινόμενα.

Τὸ γὰρ οἰκεῖον παντὶ, ᾗ τελειωτικὸν (§. υλγ΄.) ταύτῃ τοι καὶ ἀγαθὸν (§. υμβ΄. υμγ΄.) ἐστίν· ὥσπερ δὴ τὸ μὴ οἰκεῖον, ὡς ἀλλότριον, καὶ ἀτελειότης (§. υλγ΄.) κακόν (§. υμς΄.). Ἄρα τὸ Α΄.

Ἐπεὶ δὲ αἱ ὀρεκτικαὶ ἀνατάσεις ταῖς κατὰ γνῶσιν ἀντιλήψεσι χωροῦσιν ἀνάλογον, αἵ τε κατὰ κλίσιν (§. ωκβ΄. ωκγ΄.), καὶ αἱ κατ' ἀποστροφὴν οὐδὲν ἧττον (§. ωκς΄.), ᾗπερ ἄρα γινωσκόμενα ἐστὶ τὰ ἀγαθὰ, καὶ κακὰ, ταύτῃ τοι καὶ ὅροι πρὸς οὓς, ἢ ἀφ' ὧν τοῦ ὀρεκτικοῦ γίνεται. Καθ' ὃ δέ τι φαίνεται ἕκαστον γινώσκεσθαι λέγεται, οὐδὲν δὲ καθ' ἑαυτὸ

(1) Ἀριστ. Ἠθικ. Βιβλ. ς΄. Κεφ. β΄.

τὸ ᾗπερ ὂν ἐστίν. Τοῦ ἄρα ὀρεκτικοῦ τὰ ἀγαθὰ καὶ κακὰ ὅροι εἰσὶν οὐχ ᾗ ὄντα, ᾗ δὲ φαινόμενα. Ο. Η. τὸ Β΄.

## Σχόλιον.

§. ωκή. Τοῦ γινωσκομένου ποτὲ μὲν πρὸ οἱασοῦν κρίσεως, ᾗ ἁπλῶς τε καὶ συγκεχυμένως παρίσταται, τῇ ἀντιληπτικῇ δυνάμει προσπίπτοντος, καὶ τὴν ὄρεξιν αὐτίκα
„ οἷον καταγοητεύοντος· (ὅταν γὰρ φανῇ τὸ ἡδὺ οἰκεῖον, οὐκ
„ ἔθεν δεῖ πρὸς τὴν ἐπ' αὐτὸ κίνησιν, καὶ φορὰν, δόξης,
„ ἀλλ' ἦλθεν εὐθὺς ἡ ὁρμὴ, κίνησις οὖσα, καὶ φορὰ τῆς
„ ψυχῆς (1).) ποτὲ δὲ καὶ μετὰ κρίσεως μὲν, οὐκ ὀρθῆς δὲ, εἰκός ἐστι τὴν ψυχὴν περὶ τὰ οἰκεῖα, ἢ μὴ ἐξαπατωμένην, ἐφίεσθαι μὲν τοῦ κακοῦ, ᾗ ἀγαθὸν, ἐκκλίνειν δὲ ἀπὸ τοῦ ἀγαθοῦ, ᾗ κακόν. Διὸ καὶ αἱ ὀρέξεις περὶ τὰ ἀγαθὰ εἶναι λέγονται, οὐχ ᾗ ὄντα ἐστὶν, ᾗ δὲ φαινόμενα. Καὶ αἱ διαφυγαὶ τῶν κακῶν ὡσαύτως. Αὐτὸ δὲ τοῦτο νοητέον, καὶ ἐν οἷς ἡ ψυχὴ ἐπιτυχικὴ ἀναδείκνυται τῶν κυρίως ἀγαθῶν ὀρεγομένη, καὶ τῶν κυρίως κακῶν ἀποκλίνουσα. Οὐδὲν γὰρ ἧττον καὶ τηνικαῦτα πρός τε τἀγαθὰ, καὶ ἀπὸ τῶν κακῶν φέρεσθαι νοεῖται, οὐχ ᾗ ὄντα ἐστὶν, ἀλλ' ᾗ φαινόμενα, ᾗ τοιαῦτα δηλονότι γινωσκόμενα, καὶ διακρινόμενα. (Ὅρα καὶ §. χπγ΄.)

## Θεώρημα Ξ΄.

§. ωκθ΄. „ Τὸ ἡδὺ καὶ τὸ λυπηρὸν, ᾗ μὲν αἴτια ὀ-
„ ρέξεως κινητικὰ, τὸ μὲν ἐπικλίσεως ὅρος, τὸ δὲ ἀπο-
„ στροφῆς ἀναδείκνυται· ᾗ δὲ αἰτιατὰ, ἑκατέρα ἑκάτερον ἔ-
„ στι παρεπόμενον.

Αἴτια γὰρ καθίσταται, ᾗ τὸ μὲν τοῦ ἀγαθοῦ τε καὶ οἰκείως ἔχοντος τὴν ἰδέαν, τὸ δὲ τοῦ κακοῦ, καὶ ἀλλοτρείως, παρεμπέχεται τῷ τῆς ψυχῆς γνωστικῷ παριστάμενα. (§. ωκά.) ταύτῃ δέτοι τὸ μὲν ἐπικλίσεως ὅρος ἐστὶ, τὸ δὲ ἀποστροφῆς (§. ωκζ΄.). Ἄρα τὸ Α΄.

Αἰτιατὰ δὲ γίνεται καθότιγε ἥδεται μὲν ἡ ψυχὴ τοῦ ἀγαθοῦ ἐπιτυγχάνουσα, ἀνιᾶται δὲ ἀτυχοῦσα. Κατὰ δὲ τὸν ἐναντίον λόγον, ἀθυμεῖ μὲν καὶ δυσχεραίνει, μὴ τὸ κακὸν ὡς πορρωτάτω ἑαυτῆς ἀπελαύνουσα, χαίρει δὲ τῶν κακῶν ἀπαλλασσομένη. Ἄρα καὶ τὸ Β΄.

(1) Πλούταρχ. πρὸς Κολώτην.



## Σχόλιον.

§. ωλ΄. Τινῶν ἐν τῷ περὶ τούτων φιλοσοφεῖν, τὸ μὲν ἡδὺ τῆς ὀρέξεως, τῆς δὲ ἀποστροφῆς τὸ ἀηδές τε, καὶ λυπηρὸν ἀχώριστον εἶναι τιθεμένων· ἐπιστητέον καὶ τούτοις, καὶ διαιρετέον. Εἴπερ γὰρ, ἡδὺ μὲν, τὸ εἰς ὃ τὸ ὀρεκτικὸν τὴν ὁρμὴν ἔχει, ἅτε δὴ πρὸς οἰκεῖον, καὶ ἀγαθὸν φαινόμενον, ὡς εἴρηται. (§. ωκθ΄.) λυπηρὸν δὲ καὶ ἀηδὲς, ἀφ' οὗ τὴν ἀποστροφὴν αἱρεῖται, ὡς ἄρα μὴ οἰκεῖον, καὶ κακὸν λέγουσι, συμψήφους δὴ καὶ ἡμᾶς ἑαυτοῖς ἔχουσι, καὶ ὁμόφρονας. Ἃ μὲν γὰρ καθ' ἡδονὴν ἂν ἦμοι περισπεπτομένῳ, ἑτοίμως ἔχω τοῦ διώκειν αὐτὰ, καὶ εἰς θήραν τὴν τούτων ἀποδύδειν. Ὅσα δὲ ἀηδίαν τινὰ μηνύεται, καὶ δυσχέρειαν ἔχει, ἐκκλίνειν πέφυκα, ὡς ἂν οἷός τε ὦ, καὶ φεύγειν. (§. χπά.) Εἰ δὲ τὸ μὲν ἡδὺ „ τελειότητος αἴσθησιν εἶναι φασὶν (1), ἀτελειότητος δὲ τὸ ἐναντίον, τοσούτου δεῖ τοῦ ἀχώριστα εἶναι, οἷα φασὶν, ὅσῳγε καὶ ἐναλλὰξ, τὸ μὲν ἀηδὲς τῇ ὀρέξει, τῇ δὲ ἀποστροφῇ τὴν ἡδονὴν πολλάκις παροπηδεῖν διατεινόμεθα. Τί γὰρ ὀρέξεως ἀτυχούσης λυπηρότερον; τί δὲ τῆς
„ τῶν βλαπτόντων ἀπαλλαγῆς ἡδύτερον; ἐπιτυγχάνουσα γὰρ
„ ἡ ἐπιθυμία ἡδονὴν ἐμποιεῖ, ἀποτυγχάνουσα δὲ λύ-
„ πην (2).

Θεώ-

(1) Βαουμεϊστέρ. Πνευματολ. Κεφ. θ΄. §. 219. §. 221.
(2) Νεμέσ. Περὶ Ἀνθρώπου Κεφ. ιζ΄.

## Θεώρημα ΞΑ'.

§. ωλα'. „ Τὸ ἀγαθὸν, καὶ τὸ κακὸν ᾗ τοιαῦτα τελικῶς
„ κινεῖ τὸ ὀρεκτικόν.
Κινεῖ γὰρ ᾗ φαινόμενα (§. ωκζ'. ωκη'.), φαίνεται
δὲ, ᾗ γνωστικῶς, τῷ γινώσκειν πεφυκότι ἀντιληπτά. (§. ωκ'.
ωκα'.) Τὸ δ' οὕτω κινοῦν τελικῶς κινεῖν λέγεται τὸ κινούμε-
νον, (§. ωθ'.) Ἄρα κτ.

## Θεώρημα ΞΒ'.

§. ωλβ'. „ Τῇ ἀντιπεριπτώσει τῶν τοῦ ἀγαθοῦ καὶ κα-
„ κοῦ προσλήψεων, ἤτοι τὸ ὀρεκτικὸν ἀκίνητον μένει, ἢ τῇ
„ διαφορᾷ ἐκείνων ἰσομέτρως παρέψεται.
Ἐὰν γὰρ ἰσοσθενεῖς ὦσιν, ἔσται δύο τὰ τελικῶς κινοῦντα
(§. ωλα'.) ὑπεναντία πως ἀλλήλοις (ἐξ ὑποθ.) καὶ ἰ-
σοδυνάμα. Τοῦ δ' αὐτοῦ, οὐκ αὖ τἀναντία ὡς τέλη, ἅμα κι-
νητικὰ γένοιτο. (§. ργ'. ρδ'.) Ἄρα τὸ Α'.
Ἐὰν δὲ ἡ ἑτέρα τῶν ἀντιμεθελκουσῶν πρὸς ἑαυτὰς προσ-
λήψεων ὑπερσθενεστέρα ᾖ, τῆς προσαφαιρέσεως γινομένης
(κατὰ τὸ Α'. μέρος) τὸ λοιπὸν, ὅπερ ἐστὶν ἡ διαφορὰ ἀνα-
λόγως ἑαυτῷ (§. ωκβ'.) τὸ ὀρεκτικὸν ἐπιθέλξει. Ἄ-
ρα, κτ. Ὃ τὸ Β'.

## Σχόλιον.

§. ωλγ'. Δυοῖν οὖν ἀγαθῶν ὑπεναντίως πως ἀλλήλοις
ἐχόντων, καὶ τῷ μέτρῳ τῆς ἐμφαινομένης ἐν αὐτοῖς ἀγαθό-
τητος διαφερόντων, τὴν ἐπὶ τὸ προφερέστερον δοκοῦν ἐπίκλι-
σιν, ἴσην εἶναι ἐπάναγκες, τῇ ὑπεροχῇ τῇ ὑπὲρ τὸ ἕτε-
ρον. Οἷον εἰ δόξειε, τὸ μὲν Μ=10, τὸ δὲ Ε=4, ἡ πρὸς
ἐκεῖνο τὸ Μ τοῦ ὀρεκτικοῦ ῥοπὴ ἔσται=6. Ἴσης δὲ ἐπ' ἀμ-
φοῖν τῆς ἀγαθότητος ἐπιφαινομένης, ἀκόλουθον ἂν εἴη τὸ ὀ-
ρεκτικὸν μεταξὺ τῶν οἷον ἀντιμεθελκόντων αὐτὸ ἰσοδυνάμως
μένειν



μένειν μετέωρον ἐπὶ ποσὸν, ἐν ἀκριβεῖ ἀντιρροπίᾳ καθι-
σταμένον. Ἐπίκλισιν γὰρ πρὸς θάτερον λαβὸν φέρε=10,
ἐὰν (καθ' ὑπόθ.) ἀπάγηται καὶ ὑπὸ θάτερον, δυνά-
μει=10, πρὸς τοὐναντίον ἀντιμεθελκόμενον, τὸ ἀποβαῖνον
ἔσται 10—10=0. Ταὐτὸ δ' εἰρήσθω καὶ εἰ τὰ φαινόμενα κα-
κὰ ὄντα, τὰς διακρούσεις ἔχει ἀλλήλαις ἀντικειμένας, ὡς
θάτερον διαφεύξόμενον, ἀναγκάζεσθαι εἰς θάτερον περιπε-
σεῖν. Παραπλησίως δὲ καὶ εἰ τὸ μὲν ἀγαθὸν ᾖ διωκτέον,
τὸ δὲ κακὸν διωστέον. Ἐν γὰρ ἀνισότητι τῶν εἰδῶν τεθέντων,
οἷον τοῦ μὲν Α=6. τοῦ δὲ Κ=4, ἡ θήρα τοῦ πρώτου ἔ-
σται=2. Ἀνάπαλιν δὲ, τοῦ μὲν Α=4, τοῦ δὲ Κ=6, ἡ δια-
φυγὴ τοῦ δευτέρου ἔσται=2. Ἰσομέτρων δὲ ὄντων ἕψεται πά-
λιν τὸ ἀντίρροπον. Ἐὰν γὰρ Α=6, καὶ Κ=6, τὸ τοῦ ὀ-
ρεκτικοῦ ἔσται 6—6=0. Εἴπερ ἐπάναγκες εἴη ἑκάτερον πα-
ραδέξασθαι. (Μέτιθι τὰ ἐν ταῖς ὑποθέσεσιν εἰρημένα)
(§. χπβ'. καὶ §. χπγ'.).

## Θεώρημα ΞΓ'.

§. ωλδ'. „ Τοῦ ἐν ἡμῖν ὀρεκτικοῦ ὅρος κατὰ φύσιν ὁ ἔ-
„ σχατος, ἡμεῖς αὐτοί ἐσμεν.
Τὸ μὲν γὰρ ἀγαθὸν διώκομεν ᾗ οἰκεῖόν τε καὶ συντελὲς
τυγχάνον σφίσιν αὐτοῖς, πρός σωτηρίαν τε καὶ σύστασιν τὴν
ἑαυτῶν κατὰ φύσιν φερόμενοι· τὸ δὲ κακὸν διωθούμεθα, ᾗ
ἐπιβλαβὲς ἡμῖν αὐτοῖς καὶ ὀλέθριον. (§. χκ'.) Ἄρα κτ.

## Σχόλιον.

§. ωλε'. Ὅτι ὀρεκτὸν τὸ δοκοῦν εἶναι οἰκεῖον, ἀποστροφῆς
δὲ, καὶ φυγῆς ἄξιον τὸ ἀλλότριον, οὐδὲν δὲ οἰκειότερον ἡμῖν
τῆς ἰδίας ἑαυτῶν συστάσεως, πρὸς ἣν δὴ ἀνάγεται πᾶν ὅ,τι
ἡμῖν οἰκεῖόν ἐστιν, ὥσπερ οὐδὲ ἀλλοτριώτερον ἄλλο, τῆς οἰ-
κείας φθορᾶς, ἣν ἀποτελεῖν ἔοικεν, καὶ ἐμποιεῖν, πᾶν θ' ὅ-
σα, ἡμῶν ἀλλότρια, ταύτῃ τοι καὶ τὸ κέντρον ἐς ὅ, ὡς ἀ-
πὸ κύκλου τοῦ ὀρεκτικοῦ, ἴσαι σπεύδουσιν, ἅπασαι ἡμῶν αἱ
ὀρεκ-

ὀρεκτικαὶ ἀνατάσεις, αὐτοὶ ἡμεῖς ὄντες ἐσμέν· τουτέστιν ἡ ἡμῶν αὐτῶν σύστασίς τε καὶ σωτηρία. „Πρώτη οὖν εἰκότως ὁρμὴ τοῖς ζώοις συνεῖναι εἴρηται (1) ἐπὶ τὸ τηρεῖν ἑαυτὰ, οἰκειούσης αὐτοῖς τῆς φύσεως ἀπ' ἀρχῆς. Πρῶτον γὰρ οἰκεῖον παντὶ ζώῳ, ἡ σύστασις, καὶ ἡ ταύτης συνείδεσις, καὶ οἰκείως ἔχειν πρὸς ἑαυτά. Διὸ τὰ βλάπτοντα διωθεῖται, τὰ δ' οἰκεῖα προσίεται." Αὕτη τοίνυν ὀρέξεων ἁπασῶν οἷον ἀρχὴ ἡ φιλαυτία. Ὀρθῶς δὲ κρίνουσι, καὶ τὸν νοῦν εἰς τὸν Δημιουργὸν ἀναπτερουμένοις, ἐπειδὴ αὐτὸς καὶ τοῦ εἶναι, καὶ τοῦ σώζεσθαι ἡμῖν παροχεύς τε καὶ αἴτιος, ὅπερ ἄνευ οὐδ' ἂν εἴημεν τὴν ἀρχὴν, οὐδὲ γεγονότες περισωθείημεν, τῶν ἀγαθῶν τὸ πρώτατον, καὶ ἀκρότατον αὐτός ἐστιν ὁ ΘΕΟΣ. Κέντρον ἄλλο τοῦτο ἐρώτων ὑπερφυῶν, πρὸς ὃ δὴ τὸ καθ' ἡμᾶς αὐτοὺς, εἰς ὅπερ ἐκ φιλαυτίας ὡς εἴρηται φύσει φερόμεθα, διϊθύνεσθαι δίκαιον, καὶ ἀνάγεσθαι. Οὗπερ ἐὰν ἔκκεντρον γένηται τὸ ἐν ἡμῖν, οὐ μᾶλλον ὀρέξεως ὅρος εἴη, ἢ ἀποστροφῆς τε καὶ φυγῆς ἄξιος.

## Θεώρημα ΞΔ'.

§. ωλϛ'. „Ἡ ἐν ἡμῖν ὀρεκτικὴ δύναμις, ὀρθῶς εἴς τε τὴν λογικὴν διῄρηται, καὶ τὴν ἄλογον, λόγῳ μὲν οὖσα διττὴ, μία δὲ τῷ πράγματι."

Ἤτοι γὰρ ἡ πρὸ ὁδοῦ τῷ ὀρεκτικῷ γινομένη γνῶσις (§. ωκά.), μετ' ἐπικρίσεως ἐστὶν, ἢ ἁπλῆ τις ἀντίληψις ἐστὶ τοῦ ὀρεκτοῦ, συγκεχυμένη τε οὖσα καὶ ἀνεπίκριτος. Εἰ τοίνυν ἐκείνως λογική τις ὄρεξις ἔσται ὀρθῶς ὀνομαζομένη, εἰ δ' οὕτως, ἅτε δὴ πρὸ τῆς κατὰ τὸν λόγον ἐπικρίσεως, ἄλογος. Ὃ τὸ Α'.

Ἔστι δὲ ἡ αὐτὴ ψυχὴ, ἥ τε τῷ λογιστικῷ τὰς ὁρμὰς τῆς ὀρέξεως ὑπάγουσα, καὶ ταῖς παρ' ἐκείνου ὁδηγίαις αὐτὰς διϊθύνουσα, καὶ ἡ πρὸ τῆς τοῦ λόγου κρίσεως, ἐπὶ τὸ ἁπλῶς ἀντιληφθὲν ὁρμῶσα. Ἄρα καὶ τὸ Β'.

Σχό-

(1) Σουΐδ. ἐν Λέξ.



## Σχόλιον.

§. ωλζ'. Τὴν μὲν οὖν λογικὴν ὄρεξιν, ἡ δύναμις θέλησιν καλοῦσιν, ἡ δὲ ἐνέργεια, βούλησιν. Ἄλλοι δὲ (1) τὴν μὲν δύναμιν βούλησιν, τὴν δὲ κατ' αὐτὴν ἐνέργειαν τοιάνδε βούλησιν. Οἱ δὲ (2) τὴν μὲν θέλημα φυσικὸν, τὴν δὲ θέλημα ὑποστατικὸν καὶ γνωμικόν· τὴν δὲ ἄλογον ὄρεξιν, εἰ μὲν ἐν ἠρεμαίᾳ τε καὶ γαληνιώσῃ τοῦ σώματος καταστάσει, αὐτὸ τοῦτο ὄρεξιν καὶ ταύτην ἄλογον ὀνομάζουσιν, εἰ δὲ μετὰ σφοδροτέρας τε καὶ ἐπισήμου κινήσεως, διά τινος ἀήθους τοῦ αἵματος, καὶ τοῦ νευρώδους χυμοῦ, ἐγγινομένης ταραχῆς τῷ σώματι, πάθος. „Πάθος γάρ ἐστι κίνησις τῆς ὀρεκτικῆς δυνάμεως αἰσθητὴ, ἐπὶ φαντασίᾳ ἀγαθοῦ, ἢ κακοῦ.... Οὐδὲ γὰρ πᾶσα κίνησις τοῦ παθητικοῦ πάθος καλεῖται, ἀλλ' αἱ σφοδρότεραι, καὶ εἰς αἴσθησιν προβαίνουσαι. Αἱ γὰρ μικραὶ καὶ ἀνεπαίσθητοι, οὐδέπω πάθη. δεῖ γὰρ ἔχειν τι πάθος, καὶ μέγεθος ἀξιόλογον." (3) Παθῶν δὲ εἴδη ποικίλα περὶ ὧν ὕστερον. Ἤδη δὲ ἐκεῖνο ἀκριβῶς σημειωτέον, τὸ ἐν τῷ Θεωρήματι τὸ Β'., ὡς οὐ δέον πράγματι διϊστᾶν τῆς λογικῆς ὀρέξεως, τὴν ἄλογον. „Ἐγένοντο μὲν γάρ τινες οἱ καθ' ἑαυτὴν εἶναι εἰπόντες τὴν ἀλογίαν (4) ὡς ἄλογον ψυχὴν οὖσαν, καὶ οὐ μέρος τῆς λογικῆς. Πρῶτον μὲν, ὅτι καὶ καθ' ἑαυτὴν ἐν τοῖς ἀλόγοις ζώοις εὑρίσκεται, ἐξ οὗ δῆλον, ὅτι τελεία τις ἐστὶ, καὶ οὐ μέρος ἄλλης. Εἶθ' ὅτι τῶν ἀτοπωτάτων ἐστὶ τῆς λογικῆς μέρος εἶναι τὸ ἄλογον. Ἀριστοτέλης μέντοι καὶ μέρος εἶναι λέγει, καὶ δύναμιν, καὶ διαιρεῖ εἰς δύο, ὡς ἔφαμεν, καλεῖ δὲ ταῦτα κοινῶς, καὶ ὀρεκτικόν. Ἀλλὰ γὰρ οἱ λόγοι οὗτοι τῷ πράγματι τὰς ὀρέξεις ταύτας διακρινόντων οὐ-

δὲν

(1) Χρυσόσ. Ὁμιλ. Δ'. εἰς τὴν πρὸς Ἑβρ. Ἐπισ. καὶ ἐξ αὐτοῦ Ἰωάν. Δαμασκ. ἐν τοῖς περὶ τῶν ἐν τῷ Χριστῷ δύω θελημάτων.

(2) Μάξιμ. ἐν τῷ πρὸς Πύῤῥον. Διαλόγῳ.

(3) Νεμέσ. περὶ Ἀνθρώπου Κεφ. ιϛ'.

(4) Αὐτ. Αὐτ.

δὲν ἰσχύουσιν ἕως οὗ ἄλλην τινὰ δείξωσιν εἶναι παρὰ τὴν
λογικὴν οὐσίαν, τὴν καθ' ἑαυτὴν ἀλόγως ὀρεγομένην ἐπὶ
τοῦ ἀνθρώπου, καὶ μὴ τὴν αὐτὴν, τὴν νοῦν μὲν διὰ λόγου,
νοῦ δὲ πρὸ λόγου παντὸς, κατ' ὄρεξιν ἐνεργοῦσαν, τὸ δέ τοι
καὶ δεῖξαι ἀδύνατον, καὶ ὑπονοεῖν ἄλογον. Εἰ γὰρ ἡ αὐτὴ
ψυχὴ, καὶ ἁπλῶς τῶν παρισταμένων κατὰ νοῦν, ἡ αἴσθησιν, ἢ
φαντασίαν ἀντιληπτικὴ, καὶ τῶν αὐτῶν τούτων κατὰ λόγον τυγ-
χάνει οὖσα ἐξεταστικὴ, ἡ αὐτὴ ἄρα, καὶ ὅπερ ἂν τῷ λόγῳ
ἐξετασθὲν ἀκριβῶς, ὀρεκτὸν παραστάιη, διώκουσα, κατὰ θέ-
λησιν ἄγεσθαι λέγεται καὶ νοεῖται. Πρὸ δὲ τοῦ λόγου ὑπὸ
τῶν κατ' αἴσθησιν, ἢ φαντασίαν ἀντιληπτῶν συναρπαζομένη,
ἀλόγως ὀρεγομένη ἐλέγχεται, καὶ κατὰ πάθος. Τὴν μὲν οὖν
τῷ ὑποκειμένῳ διαίρεσιν τοῦ λογικοῦ καὶ τοῦ ἀλόγου, καὶ τῶν
Νεωτέρων πολλοὶ, (1) καὶ οἱ Πλατωνικοὶ πάντες ἠσπάσαν-
το, οἱ τὴν ἐκ τοῦ λογικοῦ, καὶ τοῦ ἀλόγου διπλόην ἀπὸ τῆς
παγκοσμίου ψυχῆς, καὶ ἐπὶ τὴν ἀνθρώπινον αὐτὴν μετε-
νεγκόντες, ὧν εἷς ἐστὶ καὶ ὁ Χαιρωνεὺς Πλούταρχος (2). Ἀλ-
λ' ὅγε Μενέδημος ὁ ἐξ Ἐρετρίας, καὶ Ἀρίστων ὁ Χῖος,
καὶ Ζήνων ὁ Κιττιεὺς, καὶ Χρύσιππος, οἱ παρ' αὐτοῦ ἀπο-
μνημονευόμενοι (3) πολλῷ εἰσὶ πιθανώτεροι, οἱ μὴ εἶναι
τὸ παθητικὸν καὶ ἄλογον, διαφορᾷ τινι, καὶ φύσει ψυχῆς τοῦ
λογικοῦ διακεκριμένον εἰσηγούμενοι, ἀλλὰ τὸ αὐτὸ τῆς ψυ-
χῆς μέρος ( ὃ δὴ καλοῦσι διάνοιαν καὶ ἡγεμονικὸν ) δι' ὅλου
τρεπόμενον καὶ μεταβάλλον, ἔν τε τοῖς πάθεσι καὶ ταῖς κατὰ
ἕξιν, ἢ διάθεσιν μεταβολαῖς, κακίαν τε γίνεσθαι, καὶ ἀρε-
τὴν, καὶ μηδὲν ἔχειν ἄλογον ἐν ἑαυτῷ, λέγεσθαι δὲ ἄλο-
γον ὅταν τῷ πλεονάζοντι τῆς ὁρμῆς, ἰσχυρῷ γενομένῳ καὶ
κρατήσαντι, πρός τι τῶν ἀτόπων παρὰ τὸν αἱροῦντα λόγον
διαφέρηται. Καὶ γὰρ τὸ πάθος εἶναι λόγον πονηρὸν, καὶ ἀ-
κόλαστον, ἐκ φαύλης, καὶ διημαρτημένης κρίσεως, σφοδρότη-
τα, καὶ ῥώμην προσλαβόντα· ὃ καὶ ἡμῖν δοκεῖ, πρὸς τὸ ἁ-
πλοῦν

(1) Γαστ. Κυδβέρτ. παρὰ Γουλιέλ.
(2) Πλούτ. ἐν τῷ περὶ Ἠθικ. Ἀρετ.
(3) Αὐτ. Αὐτ.



πλοῦν καὶ ἀσύνθετον τῆς ψυχῆς ἀποβλέπουσιν. Ἐντεῦθεν δὲ
καὶ αἱ κατὰ τοὺς Σχολαστικοὺς εἰς τὸ ἀνώτερον καὶ κατώτερον,
οἷον εἰς μέρη τῆς ψυχῆς διαιρέσεις, ὧν τὸ μὲν κρεῖττον,
τὸ δέ τοι χεῖρον εἶναι ἀκούει, καὶ τὸ μὲν τοῦ πνεύματος θέ-
λημα, τὸ δὲ τῆς σαρκὸς, παρὰ τοῖς θεολογοῦσιν ὠνόμα-
σαι, καὶ τὸ μὲν τῷ ἵππῳ, τὸ δὲ τῷ ἀναβάτῃ, κατὰ τοὺς
Πλατωνικοὺς ἐξείκασαι, ταῦτα δὴ, καὶ τὰ τοιαῦτα, εἰ μὲν
ὥσπερ ἡμῖν ὑπετέθη νοοῖτο, ἀποδεκτέα ἂν εἴη, ὡς πάνυ
οἰκείως καὶ προσφυῶς λεγόμενα. Ἢν δὲ τῷ ὑποκειμένῳ ἀ-
ποδιιστῶντο ἀλλήλων τὰ μόρια, ὡς σύνθεσίν τινα τῇ ἁπλου-
στάτῃ ψυχῇ ἐπιφέροντα, οὐκ ἐγκριτέα. Καὶ τῶν νόμων δὲ,
τοῦ μὲν τῆς σαρκὸς ἐν τοῖς μέλεσι, τοῦ δὲ τοῦ πνεύματος τὴν
διαμάχην, τῶν κατὰ τὸν Ἀπόστολον (1), ἀντιστρατευομένων
ἀλλήλοις, οὕτως ἐκληπτέον, ὡς νικᾶν οἴεσθαι πολλάκις τὰ
τὴν αἴσθησιν ἐπιθέλγοντα, τὸ νοερὸν τῆς ψυχῆς, τῇ ἐξ
αὐτῶν ἀχλύϊ ἐπιθολοῦντά τε καὶ σκοτίζοντα, καὶ τὸ ὀρεκτικὸν
αὐτῆς πρὸς ἑαυτὰ συναρπάζοντα, μηδ' ἐπιτρέποντα καθ' ἑαυ-
τὴν γινομένην τῷ ὀρθῷ χρήσασθαι λόγῳ, καὶ τῷ ὑγιεστέρῳ
οὕτως ἐπακολουθῆσαι φρονήματι.

## Θεώρημα ΞΕ'.

§. ωλη'. „ Δυνατὸν καὶ ἄλογον ὄρεξιν ὀρθῶς εἶναι ἔ-
χουσαν, καὶ λογικὴν διημαρτημένως.

Δυνατὸν γὰρ καὶ πρὸ τοῦ λόγου, ἐξ αἰσθητικῆς ἁπλῶς ἀν-
τιλήψεως ἐπίκλισιν λαβεῖν πρὸς τὸ εὔλογον, καὶ μετὰ τὴν
διὰ τοῦ λόγου γενομένην ἐπίκρισιν οὐκ ὀρθὴν, ἐπιρρόπον ὀ-
φθῆναι πρὸς τὸ ἥκιστα εὔλογον. Ἀλλ' ἐκεῖνο μὲν ὀρέξεως
ἂν εἴη, ἀλόγου μὲν ( §. ωλϛ'. ) ἐπιτυχικῆς δὲ ὅμως. Τοῦ-
το δὲ, λογικῆς μὲν ( §. Αὐτ. ), ἀλλ' ἐπισφαλοῦς. Ἄρα κτ.

Σχό-

(1) Ἐπισ. πρὸς Ῥωμ.

## Σχόλιον.

§. ωλθ'. Δυνατὸν οὖν καὶ κατὰ πάθος φέρεσθαι τὴν ψυχὴν πρὸς τὸ δέον, εἰ καὶ μὴ κατὰ τὸ δέον. Οἷον εἴτις πρὸς τὸ δεινὸν ποιοῦντι περιαλγήσειε, πεπονθὼς ἂν εἴη πρὸς τὸ δέον, μὴ δεόντως· τὸ μὲν, ὅτι δέον ἐστὶν πολλάκις, καὶ περὶ πολλὰ ἀλγεῖν, οὐδὲ γὰρ μάτην ἐνετέθη τὰ πάθη τῇ φύσει, ἀλλ' ἕνεκά του. „Ἔστι γὰρ δὴ καὶ ταῦτα συστατικὰ „τῆς ζωώδους οὐσίας. Ἄνευ γὰρ τούτων οὐκ ἔστι συστῆναι τὴν „ζωήν. (1) τὸ δὲ, ὅτι οὐδέποτε δέον τὸ ὀρεκτικὸν πρὸ τοῦ λόγου κινεῖσθαι, ἀνθρώποις τοῖς λόγου μετέχουσι. „Καὶ „γὰρ πέφυκε πείθεσθαι τῷ λόγῳ καὶ τὰ πάθη, καὶ κινεῖσθαι „ὡς ἂν ὁ λόγος κελεύῃ ἐπὶ τῶν κατὰ φύσιν ἐχόντων ἀν„θρώπων (2). Δυνατὸν δὲ ἀνάπαλιν, καὶ κατὰ θέλησιν δεόντως μὲν, μὴ μέντοι πρὸς τὸ δέον, τὸ ὀρεκτικὸν προτίθεσθαι. Καὶ γάρ τοι καὶ μετὰ κρίσεως μὲν, ἐπισφαλῆς δὲ ὅμως ἡ ψυχὴ κινουμένη, καὶ κατὰ διάνοιαν διεψευσμένην πράττουσα πολλάκις διαμαρτάνει τοῦ καθήκοντος. Ἐνθενοῦν καὶ τῆς θελητικῆς δυνάμεως, ὥσπερ δὴ καὶ τῆς ὀρεκτικῆς ἐν γένει (§. ωκζ'. ωκη'.) ὅρος ἐστὶ τὸ ἀγαθὸν, οὐχὶ τὸ ὂν, τὸ δὲ φαινόμενον.

## Θεώρημα Ξς'.

§. ωμ'. „Ἐπεὶ ἑκούσιον εἶναι τίθεται, τὸ κατὰ γνῶσιν, „καὶ οὗ ἡ ἀρχὴ ἐν αὐτῷ, αἱ τῆς ψυχῆς κατά τε τὴν λογι„κὴν ἢ καὶ τὴν ἄλογον ὄρεξιν ὁρμαὶ, καὶ ἀποστροφαὶ, αἵ„ποτε ἑκούσιοι εἰσίν· μᾶλλον μέντοι αἱ κατ' ἐκείνην, ἢ αἱ „κατὰ ταύτην.

Ἡγεῖται γὰρ πρὸ αὐτῶν ἐξ ἀνάγκης ἡ γνῶσις, τῶν πρὸς ἃ,

(1) Νεμέσ. περὶ Ἀνθρώπου Κεφ. ις'.
(2) Αὐτ. Αὐτ.



ἃ, καὶ ἀφ' ὧν. (§. ωκα'.) Καὶ τῇ γνώσει αὗται ἀνάλογον ἕπονται. (§. ωκβ'.) Καὶ οὐδὲ ἄλλη τις οὐσία ἐστὶν ἡ κατὰ τὴν ὄρεξιν ἐνεργοῦσα, ἄλλη δέ τις ἡ τὸ ὀρεκτὸν γινώσκουσα, μία δὲ καὶ ἡ αὐτή (§. ωκα'.). Ἄρα τὸ Α'.

Ἀλλ' ἡ μὲν γνῶσις ἧπερ ἡ λογικὴ ἐφέπεται ὄρεξις τελειοτέρα, ἀτελεστέρα δὲ ἧπερ ἡ ἄλογος. (§. ωλς'.) Κἀπὶ μὲν τῆς λογικῆς ὀρέξεως τὸ πᾶν τῆς ὁρμῆς καὶ τῆς ἀποστροφῆς ἐστὶν ἐκ τῆς ψυχῆς τῆς κινούσης, ἐπὶ δὲ τῆς ἀλόγου, καὶ μάλιστα τῆς παθητικῆς, πολλάκις ἐκ τοῦ σωματικοῦ ταράχου εἰς ὄρεξιν, ἢ ἀποστροφὴν, ἡ ῥοπή. (§. ωλζ'.) Καὶ §. χπς'. χπζ'.). Ἄρα καὶ τὸ Β'.

## Σχόλιον.

§. ωμα'. Ἀεὶ τοίνυν ἑκούσια τὰ κατ' ὄρεξιν κινήματα τῆς ψυχῆς. Οὔτε γὰρ ἂν κατ' ἄγνοιαν αὕτη ὀρεχθείη τινὸς, οὔτ' ἂν βίαν ὑποσταίη ποτὲ πρὸς τὸ ὀρεχθῆναι οὗ μὴ ὀρέγοιτο. Τὸ γὰρ ὑπὸ βίας ἔξωθεν ἐπιγίγνεται καὶ οὐ κατὰ φύσιν, τὸ δὲ ἐξ ὀρέξεως, οἴκοθεν, καὶ ἐξ αὐτῆς τῆς φύσεως τῆς ψυχῆς. Εἶναι δὲ τὸ αὐτὸ ἔξωθέν τε ἐπιὸν, καὶ ἔσωθεν προερχόμενον, ὅτι τῶν ἀδυνάτων ἐστὶν, ὡς ὠδῖνον ἀντίφασιν, παντί που φανερόν. Ἤδη δέ τοι ἐπεὶ περὶ τοῦ ἑκουσίου ἐνταῦθα, καὶ τοῦ ἀκουσίου ἡμῖν ὑπόκειται λέγειν, πάρεργον ἂν εἴη, λαβόντας ἑκούσιον μὲν τὸ κατὰ γνῶσιν, καὶ ἐξ ἐνδοτέρας ἀρχῆς, ἀκούσιον δὲ τὸ κατ' ἄγνοιαν ἢ κατὰ βίαν, σημειῶσαι ὡς ἔστι μὲν ἃ τῷ ἀνθρώπῳ ἁπλῶς ἑκούσιά ἐστιν, ἔστι δὲ ἃ ἀκούσια, ἔστι δ' ἃ ἑκάτερον, ἔστι δ' ἃ οὐδέτερον.

Καὶ Α'. δὴ παρ' αὐτὰς τὰς τῆς ψυχῆς ὀρεκτικὰς ἐπιθέσεις τάς τε κατὰ λόγον, καὶ τὰς σὺν ἀλογίᾳ, ἃς οὐσιωδῶς ἑκουσίους εἶναι φαμὲν (§ ωμ'.)· εἰσὶ καὶ ἄλλαι πολλαὶ πράξεις τῶν ἀνθρωπίνων, ἃς ἑκουσίους οἱ πάντες ἴσασι, καὶ ὁμολογοῦσι. Τοιαῦται δὲ, ὅσαις τὸ ἐν ἡμῖν ὀρεκτικὸν ἐπιπώσειν εἴρηται. (§. χπε'.) Καὶ γὰρ καὶ νοήσεις εἰσὶν ἑκούσιαι, καὶ φαντασικαὶ ἀνατυπώσεις, καὶ ἀναμνήσεις, καὶ αἰσθήσεις, καὶ σωματικαὶ παντοῖαι κινήσεις, οἷον κεφαλῆς, γλώσ-

γλώσσης, χειρῶν, ποδῶν, καὶ αἱ παραπλήσιαι, ὧν ἡ γνῶσις ἡγεῖται, καὶ τὸ αἴτιον ἐνδόμενες ἡμῖν ἐστίν, ὑφ' οὗ προΐασι. Γνώμονες δὲ τοῦ ἑκουσίου ἐτέθησαν (1) ,, τὸ παντὸς ἐπακολουθεῖν ἔπαινον ἢ ψόγον (ὅπερ ἐπὶ τῶν ἠθικῶν μάλιστα ἀληθές, καὶ ἐν οἷς ὁ λόγος ἀρετῆς ἢ κακίας.) ,, Καὶ τὸ μεθ' ἡδονῆς πράττεσθαι, καὶ τὸ αἱρετὰς εἶναι τὰς ,, πράξεις τοῖς πράττουσιν, (ὃ δὴ τρίτον καὶ μάλιστα ἐστὶ τοῦ ἑκουσίου εἰδοποιόν:) ,, ἢ ἀεί, ἢ τότε ὅταν πράττηται.

Β'. Τοῦ δὲ ἀκουσίου εἰς τὸ κατὰ βίαν, καὶ τὸ κατ' ἄγνοιαν διαιρουμένου, κατὰ βίαν ἐστίν, ,, οὗ ἡ ἀρχὴ ἔξωθεν, μηδὲν ,, συμβαλλομένου κατ' οἰκείαν ὁρμὴν τοῦ βιασθέντος (2). Τοιαῦται αἵ τε πρὸς θάνατον βίαιοι ἀπαγωγαί, καὶ ἑλκυσμοί, καὶ αἱ τοῖς μέλεσιν ἡμῶν ἐνισταμένων καὶ ἀντεχόντων, ὑπὸ τῶν ὑπερθενούντων δεσμεύσεις, στρεβλώσεις, καταπάσεις, ζώσεις, τομαί, ἄλλαι κακώσεις, καὶ αἱ ἐνσκήπτουσαι νόσοι, καὶ ἀλγηδόνες, καὶ ὅσα τὴν αἴσθησιν προσπίπτοντα λυπεῖ, καὶ αἱ λοιπαὶ τοῦ σώματος διαφθοραί, καὶ ἐπὶ πᾶσιν ὁ θάνατος. Καὶ αἱ κινήσεις δὲ ἃς κινεῖται ἔνια τῶν ἐν ἡμῖν μερῶν, οἷαν εἶναι τὴν τῆς καρδίας καὶ τὴν τοῦ αἰδοίου Ἀριστοτέλης (3) φησίν. Καὶ τῶν ἐκτὸς δέ, ὕβρεις, δυσφημίαι, χρημάτων ἀφαιρέσεις, κτημάτων ἀποβολαί, φίλων, ὅσαι τε συμφοραὶ καὶ περιπέτειαι ἀπαντῶσι τῷ βίῳ, ἐφ' αἷς ἡ ψυχὴ δυσανασχετεῖ. Πάντα πάθη· ὡς τά γε κατ' ἐνέργειαν ἡμῖν πραττόμενα, παρὰ τὸ μὴ τὴν ἀνάγκην, εἰς αὐτὴν τὴν ψυχὴν ἀναφέρειν, τοῦ κατὰ βίαν ἀκρατῶς ἀκουσίου συμβαίνει εἶναι ἐκτός, εἰ καὶ τοῦ κατ' ἄγνοιαν ἔσω γίνεται. Ἀκούσια γὰρ κατ' ἄγνοιαν ἐστίν, οἷς ἐφαμαρτάνει ἡ ψυχὴ ἄλλο μὲν σκοποῦσα, ἄλλου δέ τινος παρὰ τὸ σκοπούμενον ἐν τῷ πράττειν τυγχάνουσα· οἷον πατάξειν τὸν πολέμιόν τις ὁρμήσας, κατέβαλε τὸν φιλούμενον. Καὶ θηρίον κατατοξεύειν δοκῶν, ἄνδρα ἀπέκτεινε καὶ νεανίσκον, εἰς μώ-

(1) Νεμέσ. Περὶ Ἀνθρώπου Κεφ. κθ'.
(2) Αὐτ. Αὐτ. Κεφ. λ'.
(3) Ἀριστ. ἐν τοῖς περὶ Ζώων Κιν. Κεφ. ια'.



λωπα αὐτῷ καὶ εἰς τραῦμα. Καὶ ὅσα τοῦ τοιούτου γένους, οἷς δὴ πραττομένοις, ἐκ τῆς παρὰ προσδοκίαν ἀποβάσεως λύπη ἐπακολουθεῖ. Ἐφηδομένῳ γὰρ ἐπὶ τοῦ συμβαίνοντος τῷ πράττοντι οὐκ ἀκούσια, κἂν ἀγνοῶν πράττοι. Οἷον εἰ θηρεύων, τὸν παριόντα ἐχθρὸν κατατοξεύσειε, καὶ ἐπιχαρείη τῷ φόνῳ. Καὶ εἴπερ ὀρύσσων εἰς φυτείαν θησαυρῷ περιτύχοι· ταῦτα δὴ τὰ ἐκ τύχης εἶναι λεγόμενα. Δεῖ δὲ μὴ ἑκούσιον τὴν ἄγνοιαν εἶναι, οὐδ' αἱρετήν, ἵν' ᾖ καὶ τὰ κατ' αὐτὴν ἀκούσια. Καὶ γάρ, καὶ ἀγνοῶν τις ὅμως ἐπειδὴ τὴν ἄγνοιαν ἠρετίσατο, οὐ παρὰ τὸ ἀγνοεῖν ἔξω εὐθύνης γενήσεται. Οἷον εἴ τις ὑπὸ μέθης εἰδὼς ἑαυτόν, εἰς οὐδὲν ὅ,τι τῶν ἀτόπων, μὴ ῥᾳδίως καταφερόμενον, εἶτα μεθυσθεὶς καὶ ἔκφρων γενόμενος τινὰ διαχρήσειεν, ὁ τοιοῦτος τὸν μὲν φόνον ἀγνοῶν, τὴν δὲ ἄγνοιαν ᾑρημένος, ὡς οὐ πάντῃ ἄκων, ταῖς τῶν ἀνδροφόνων ὑπενεχθήσεται δίκαις. (1) Κείσθωσαν οὖν ,, καὶ τοῦ ἀκουσίου γνώμονες, τὸ συγγνώμης ἀξιοῦσθαι, ἢ ἐ,, λέους, καὶ τὸ μετὰ λύπης πράττεσθαι, καὶ τὸ μὴ εἶναι αἱρε,, τὰς τὰς πράξεις (μήτε προσεχῶς δηλονότι, μήτε πόρ,, ρω (2).

Γ'. Τινὰ δὲ τῶν ἐν ἀνθρώπῳ συμβαινόντων μικτὰ εἶναι κρίνεται, οἷον ἔκ τε τοῦ ἑκουσίου, καὶ τοῦ ἀκουσίου ἀνάμικτα. Τοιαῦται αἱ πράξεις, ὧν ἀρχὴ ἡ καλουμένη ὑπὸ πολλῶν πειθανάγκη, πειθώ τις οὖσα μετὰ βίας. Τοιαῦται δὲ καὶ αἱ ἀγαθοῦ τινὸς ὑποπαραιτήσεις, δι' ἐλπίδα ἀγαθοῦ μείζονος, καὶ αἱ κακοῦ τινὸς αἱρέσεις εἰς ἀποφυγὴν τοῦ χείρονος· οἷον οἱ πλέοντες τὴν ἀποβολὴν τῶν φορτίων, τοῦ ἐν ὕδασι θανάτου ἀνταλλάσσονται. Οὕτως ὁ Ζήνων εἰς τὸ Διονυσίου πρόσωπον τὴν γλῶτταν ἐξέπτυκεν, ἵνα μὴ τοὺς φίλους τῷ τυράννῳ προδῷ. Καὶ Ἀνάξαρχος διὰ τὸν αὐτὸν λόγον ὑπὸ Νικοκρέοντος ὑπέμεινε πτίσσεσθαι. Ἔστι γάρ τι ἀεὶ ἐπὶ τῶν τοιούτων εὑρεῖν γινόμενον, ὃ καθ' ἑαυτὸ ἀκούσιον ὄν, καὶ ἥκιστα αἱρετόν, δι' ἄλλο ἑκούσιον γίνεται. Διακρίνειν δὲ πολλά-

(1) Νεμέσ. Περὶ Ἀνθρώπου Κεφ. λά.
(2) Αὐτ. Κεφ. κθ'.

λάκις ποῖον ποίου αἱρετόν, οὐ ῥᾴδιον. Δεῖ δὲ ὡς ἐπὶ τὸ πολὺ (τοῦ Νεμεσίου (1) παραινοῦντος) „ πρὸ τῶν αἰσχρῶν „ αἱρεῖσθαι τὰ λυπηρά, ὡς Σωσάννα, καὶ Ἰωσὴφ ἐποίησαν· „ οὐκ ἀεὶ μέντοι. Ὠριγένης γοῦν διὰ τὸ μὴ περιπεσεῖν τῇ „ αἰσχύνῃ τῇ τῶν Αἰθιόπων, ἐπιθύσας, τοῦ παντὸς ἐξέ„ πεσε (2). Ταῖς δὲ δὴ μικτοῖς ἐξ ἑκουσίου τε καὶ ἀκουσίου, συγκαταλεγέσθω, καὶ ὅσα δι' ἄγνοιαν πράττοντες, τοῖς ἀποβαίνουσιν ἐφήδονται. (ὅρα ἐν τῷ ἀνωτ. Β'.) Τούτων γὰρ ἡ μὲν ἀρχὴ διὰ τὴν ἄγνοιαν ἀκούσιος, τὸ δὲ τέλος ἑκούσιον διὰ τὴν ἡδονήν. Ὥσπερ οὖν τῶν ἄλλων, περὶ ὧν μικρῷ πρόσθεν, ἑκουσία μὲν ἡ ἀρχὴ διὰ τὴν αἵρεσιν, ἀκούσιον δὲ τὸ τέλος διὰ τὴν λύπην.

Δ'. Τελευταῖον δὲ τῶν οὐδετέρων, τουτέστιν οὔθ' ἑκούσια, οὔτ' ἀκούσια εἰσίν, ὅσα οὔτ' ἐφ' ἡμῖν κεῖται, καὶ οὐδὲ ἀπὸ τῆς ἐν ἡμῖν ὀρέξεως γίνεται· οἷον ἡ τῶν βρωμάτων πέψις, ἡ χύλωσις, ἡ αὔξησις, αἱ τῶν χυμῶν ἐκκρίσεις, ἡ τοῦ αἵματος κυκλοφορία, ὕπνος, ἐγρήγορσις, ἀναπνοή, καὶ αἱ τοιαίδε κινήσεις, ἃς οὐχ ἑκουσίους (μήτε ἀκουσίους οὔσας) ὁ Ἀριστοτέλης ὠνόμαζεν (3).

## Θεώρημα ΞΖ'.

§. ωμβ'. „ Τῇ λογικῇ ψυχῇ ἐλευθερίας μέτεστι καὶ αὐ„ τεξουσιότητος. Παρέπεται δὲ αὐτῇ τὸ τῆς ἐλευθερίας κα„ λὸν ὡς ἀναγκαῖον παρακολούθημα τῆς κατ' αὐτὴν φύ„ σεως.

Ἐλευθερίαν τε καὶ Αὐτεξουσιότητα τὴν δύναμιν ἀποκαλῶ, καθ' ἣν αὐτοδιορίστως ἡ ψυχή, καὶ αὐτοκινήτως νεύει πρὸς τὰ κατὰ γνῶσιν αὐτῇ παριστάμενα, αὐτὴ τὸ κράτος τῶν κατὰ τὴν θελητικὴν δύναμιν ῥοπῶν ἐπὶ τ' ἀγαθά, καὶ τῶν ἀπο-



(1) Περὶ Ἀνθρώπου Κεφ. λ'.
(2) Ὅρα Νικηφόρ. Ἱστορ. Βιβλ. Ε'. Κεφ. λβ'.
(3) Περὶ Ζώων Κινήσ. Κεφ. ιά.



στροφῶν ἀπὸ τῶν μὴ ἀγαθῶν ἔχουσα, οὕτως ὥστε ἐν ᾧ αὖ πρὸς θάτερον ῥέποι τῶν ἀντικειμένων, παρ' αὐτῇ κεῖσθαι καὶ τὴν πρὸς θάτερον οὐδὲν ἧττον ἑλέσθαι ῥοπὴν καὶ ἐπίκλισιν. (§. χπβ'. χπγ'.) Μετεῖναι δὲ τῆς δυνάμεως ταυτησὶ παντὶ ἀνθρώπῳ ἐξ αὐτῆς τῆς ἐνδοτάτης συνειδήσεως τὸ πιστὸν ἔχει καὶ βέβαιον. (§. Αὐτ.) Ὅτι δὲ καὶ ἀναγκαῖον παρακολούθημα τόδε τῆς κατὰ τὴν λογικὴν ψυχὴν ἐστὶ φύσεως, οὕτως εἰσβάλλω.

Φύσει τῇ λογικῇ ψυχῇ ἡ τοῦ λόγου ἐνουσίωται χρῆσις, καὶ τὸ περὶ τῶν παρισταμένων αὐτῇ κατὰ γνῶσιν ἀναζητεῖν καὶ διασκέπτεσθαι. Τοῦτο δ' αὖ εἴη ἐπὶ τῶν πρακτέων τὸ βουλεύεσθαι, ὡς πάντες φασίν· ἑπόμενον δὲ τῇ κατὰ τὴν βούλευσιν ἐνεργείᾳ, τὸ ἄλλα ἄλλων προκρίνειν, ὅπερ ἐστὶ τὸ προαιρεῖσθαι, τὸ δὲ προαιρεῖσθαι, ἀκόλουθον ἔχει τὸ ἐλευθέρως βούλεσθαι. Εἴπερ οὖν ἐξ ἀνάγκης ἐφέπεται τοῖς προτέροις τὰ ὕστερα, ἐνουσίωται δὲ τῇ λογικῇ ψυχῇ ὁ λόγος, ἐνουσίωται ἄρα αὐτῇ καὶ τὸ βουλεύεσθαι καὶ τὸ προαιρεῖσθαι· καὶ ἐκ τοῦ ἀκολούθου τὸ ἕτερον πρὸ τοῦ ἑτέρου βούλεσθαι.

Ἀλλ' ἐν ᾧ τι κατ' ἐνέργειαν βούλεται, ἤτοι κατὰ τὸ αὐτὸ δύναμιν ἔχει, τοῦ μὴ τοῦτο αὐτὸ βουληθῆναι, ἐθελῆσαι δὲ θάτερον, ἢ τοὐναντίον εἰ τύχοι, ἢ μή. Καὶ εἰ μὴ ἔχει τοιαύτην δύναμιν οὐκ ἄρα τὸ ἕτερον πρὸ τοῦ ἑτέρου βουληθήσεται. Ἀλλ' ἁπλῶς τοδὶ ἐθελήσει, ὥσπερ οὖν καὶ βέλος λόγου χάριν ἐπ' εὐθείας πεμφθέν, οὐδεὶς αὖ εἴποι ὅτι τήνδε πρὸ τῆσδε, ἀλλ' ὅτι τήνδε ὡρισμένως χωρεῖ. Οὐ γὰρ αὖ δηλονότι χώραν σχοίη τὸ τῆς παραθέσεως, ὅτι ἄλλο πρὸ ἄλλου, ᾧ μὴ κατὰ θέσιν προσήκουσα ἢ ἀμφοῖν τῶν ὅρων ἡ μετουσία. Καὶ οὐδὲ προαιρεῖται οὕτως, οὐδ' ἐγκρίνει τι ἡ ψυχή, οὐδὲ βουλεύσεται, οὐδὲ λόγου ἁπλῶς, καίτοι λογικὴ οὖσα, μέτοχος ἔσται. Εἰ δὲ ἐν ᾧ τι κατ' ἐνέργειαν βούλεται, δύναμιν ἔχει κατ' αὐτὸ τοῦ μὴ τοῦτο βούλεσθαι, ἐθελῆσαι δὲ τὸ ἕτερον τυχόν, ἢ τοὐναντίον. Αὐτὴ ἄρα ἔχει ἐκ φύσεως τὸ κράτος αὐτοδέσποτον τῶν οἰκείων αὐτῆς κατὰ βούλησιν ἐνεργειῶν. Καὶ προσέσται δὴ αὐτῇ τὸ τῆς ἐλευθερίας καὶ αὐτεξουσιότητος καλόν, ὡς ἀναγκαῖον παρακολούθημα τῆς κατ' αὐτὴν φύσεως. Ο. Ε. Δ.

## Σχόλιον.

§. ωμγ'. Ἐμφιλοσοφώτατα τοίνυν καὶ ὁ Θεσπέσιος Δαμα-
σκηνὸς (1) ἀπεφήνατο φθάσας, „ὡς κατὰ φύσιν ἄρα πρόσε-
„στι τῇ λογικῇ, καὶ νοερᾷ ζωῇ ἡ αὐτεξουσιότης. Αὐτεξουσιό-
„της δὲ οὐδὲν ἕτερον ἐστὶν εἰμὴ ἡ θέλησις. Ὅ,τε Νεμέσιος
„πρὸ ἐκείνου εἰπὼν (2) ὅτι φαμὲν τῷ λογικῷ συνεισέρ-
„χεσθαι τὸ αὐτεξούσιον. ὡς οἷον συνεισαγόμενα ἀμοιβα-
δὸν ὑπ' ἀλλήλων καὶ συναναιρούμενα, καὶ ἐκ τοῦ ἀναγκαίου τῆς
συναφείας τὸ ἀκόλουθον ἔχοντα. „Πᾶσα γὰρ ἀνάγκη τὸν
„ἔχοντα τὸ βουλεύεσθαι, καὶ Κύριον εἶναι πράξεων. Εἰ γὰρ
„μὴ κύριος εἴη πράξεων, περιττῶς ἔχει τὸ βουλεύεσθαι.
„Εἰ δὲ τοῦτο, ἐξ ἀνάγκης παρυφίσταται τῷ λογικῷ τὸ αὐ-
„τεξούσιον. Ἢ γὰρ οὐκ ἔσται λογικὸν, ἢ λογικὸν ὂν Κύριον
„ἔσται πράξεων. Κύριον δὲ ὂν πράξεων, πάντως αὐτεξού-
„σιον ἔσται. (3) Τὴν δὲ ἐπὶ τῶν ἐλευθέρων τῆς ψυχῆς
πράξεων ἔφοδον ἀνατυπουμένοις, πρῶται δὴ πάντως ἀπαν-
τῶσιν αἱ τῶν βελτιόνων προλήψεις, αἱ τὰ ἀγαθὰ, ἢ μὴ,
κατὰ πρώτην, οἷα φασὶ προσβολὴν προϊσχόμεναι. Ταῖς δὲ
παρὰ πόδας αὐτίκα τὸ κατ' ὄρεξιν τῆς ψυχῆς ἑκούσιον ἐρ-
μημα, τὸ ὥσπερ δὴ πρὸ λόγου παντὸς, οὔπω τι καὶ πρὸ τῆς
ἐλευθερίας γινόμενον. Οὐδὲ γὰρ ἡ ὄρεξις αὐτὴ τὸ ἐλεύθε-
ρον ἐστὶν, οὐδ' ἁπλῶς τὸ ἑκούσιον· φανερὸν δὲ ἐκ τῶν ἀλό-
γων, καὶ ἐκ τῶν παιδίων, ὧν ἑκούσιαι μὲν, οὐκ ἐλεύθεραι
δὲ αἱ ὁρμαὶ, τῶν μὲν οὔπω τῆς χρήσεως τοῦ λόγου ἐγκρατῶν
γενομένων, τῶν δὲ παντῇ ἀπεστερηκότων. Ἐπιγινομένη δὴ-
τα τοῦ λόγου ἐπ' αὐταῖς ταῖς προλήψεσι, σκέψις πλεῖται
καὶ ἀνάκρισις τοῦ προειλημμένου, εἰ τῷ ὄντι ἀγαθὸν ἐστὶν,
οἷον παρίσταται, ἢ γοῦν ἐπὶ πολὺ συγχαίνει τὸ φύκος ἐπι-
φερόμενον· τοῦτο δὲ ἡ τοῦ λόγου χρῆσις ἐστὶν, ἀλλ' οὐδὲν τέ-
τῷ

(1) Περὶ Ὀρθοδόξ. Πίσ. Βιβλ. γ'. Κεφ. ιη'.
(2) Περὶ Αὐτεξ. Κεφ. μα'.
(3) Νεμέσ. Αὐτ.



τῷ οὐδέπω πάρεστι τὸ ἐλεύθερον. Τὸ γὰρ εἰδοποιεῖσθαι πως
τὴν ψυχὴν, ἤτοι ἐξ ὧν ἔχει νοητικῶν σπερμάτων, εἴτ' οὖν
καὶ ἐκ τῶν σωματικῶν προσλήψεων, οὐ πάντη τοῦ ἀναγκαίου
γίνεται ἐκτὸς, διὸ δὴ οὐδ' ἡ τῇ τοῦ λόγου χρήσει παρεπομέ-
νη κρίσις ἐλευθερίας μετείληφε. Τῆς δὴ κρίσεως γενομέ-
νης, ὡς αὖ τὸ παραστὰν φέρε ἐγκριθείη, καὶ τὴν λευκὴν,
οὕτω φάναι· ὡς ἤπου ἀγαθὸν εἴη τοιοῦτον, καὶ τηλικοῦτον, ἀ-
πενέγκοιτο ψῆφον, ἐντεῦθεν ὡς οἰκεῖον ὑπὸ τῆς λογικῆς
ὀρέξεως ἀφορᾶται, ἥπερ ἑξῆς πρὸς αὐτὸ τοῦτο μὴ ῥοπὴν ἔ-
χειν οὐ πέφυκεν. Ἡ δὲ ῥοπὴ αὕτη τῆς θελητικῆς δυνάμεως
(ἥτις οὐδὲν ἐστὶν ἀλλ' ἢ, ὡς εἴρηται (§. ωλϛ'. ωλζ'.)
ὄρεξις λογικὴ, πρὸς τὸ κατὰ λόγον κριθὲν ἀγαθὸν εἶναι ἐ-
πίκλισιν ἔχουσα) τοῦτο μόνον ῥοπή τε καὶ νεῦσις, καὶ ἐπί-
κλισις οὖσα, ἑκουσία μὲν ἐστὶν, ἐλευθέρα δ' οὐκ ἔστιν. Οὐδὲ
γὰρ παρὰ τῇ θελήσει κείμενον ἐστὶ, τὸ νεῦσιν ἔχειν, ἢ
μὴ, πρὸς ὅ,τι αὖ ὑπὸ τοῦ λόγου αὐτῇ ἐγκριθείη. ἢ γὰρ
ἐλεύθεροι αὖ οὕτως εἶεν, καὶ αἱ κατὰ τὰς ἁπλᾶς ἐκείνας προ-
σβολὰς πρῶται ὁρμαὶ, αἳ τούτῳ δὴ τῶν δευτέρων διαφέ-
ρουσαι τύπων ὅσα τὸ πρὸ λόγου παντὸς εἶναι, καὶ κρίσεως.
Ἐπεὶ ὅσω γε τὸ ἐκ τῆς γνώσεως διορίζεσθαι, καὶ τὸ ἐξ ἀρ-
χῆς ἐνδογενοῦς εἶναι, κοινὸν τοῦτο ἑκατέρῳ τῷ εἴδει (§. ωμ'.)
ἐπεί γε καὶ τῶν κατὰ λόγον πολλάκις ἀποτυγχανουσῶν, αἱ πρὸ
τοῦ λόγου ἐκεῖναι ἐπιτυχικαὶ τοῦ δέοντος ἐνίοτε ἀναδείκνυν-
ται. (§. ωλη'. ωλθ'.) Ἔστι γὰρ καὶ ἄλλως ἐφ' ἑκατέρων
ἡ αὐτὴ ψυχὴ, (§. ωλϛ'. ωλζ'.) ἡ πρὸς τὸ δοκοῦν ἀγα-
θὸν, νῦν μὲν παραβόλῳ συντάχει καὶ ἀπερισκέπτῳ, νῦν
δ' ἐσκεμμένως τε, καὶ κεκριμένως, μετ' ἐπιτυχίας ἢ μὴ, ὡς
πρὸς ὅρον τοῦ κατ' αὐτὴν ὀρεκτικοῦ ἐπισπεύδουσα. Ἑνὸς δὲ
καὶ τοῦ αὐτοῦ ὅρου παρόντος, σὺν αὐτῇ τῇ ἀοριστίᾳ, καὶ ἡ αὐ-
τεξουσιότης συναπέσται, καὶ ἡ ἐλευθερία. Ὥστε καὶ κατ' αὐτὴν
ἔτι τὴν πρὸς τὸ ἐγκριθὲν ὑπὸ τοῦ λόγου ἀγαθὸν ῥοπὴν
τῆς θελήσεως γενομένοις, ζητεῖν λείπεται τὸ ἐλεύθερον.
Τοῦ δὲ, ἐφ' ἑνί τινι καὶ μόνῳ ὁμολογουμένως μὴ ὑφισαμέ-
νου, ἐπάναγκες αὖ εἴη, δύω τινὰ τοὐλάχιστον παρεῖναι, εἰ
μὴ πλείω, περὶ ἅττα αὖ ἔχοι ἡ ψυχὴ, τῇ αἱρέσει ἄλλου
πρὸ ἄλλου, τὸ οἰκεῖον ἑαυτῆς ἐπιδείξασθαι κράτος, τὸ μὲν
παραδεχομένη καὶ διώκουσα, τὸ δὲ παραγκωνιζομένη καὶ δια-
S. 2 φεύ-

φέρουσα ἅμα τε καὶ κατὰ τὸ αὐτὸ, καὶ τὴν ἑαυτῆς οὕτως αὐτὴ ῥοπὴν κατὰ διορισμὸν πλήρη τε καὶ ἔσχατον διορίζουσα. Ἐν ᾧ, κατά γε τὸν ἐμὸν λόγον, τὸ πᾶν τῆς δυνάμεως κρηπίζεται, καθ᾽ ἣν αὐτεξούσιοι πεφυκέναι λεγόμεθα. Εὐμαρῶς δὲ τὰ δύο, ἢ τὰ πλείω ἐκεῖνα ἀπαντᾷ, εἴτις ἀκριβῶς τὰς ἀνθρωπίνας τῶν πράξεων ἐπισκοπήσειε. Τὰ γὰρ ἀγαθὰ περὶ ἃ αἱ κατὰ τὰς θελήσεις ἐνέργειαι στρεφόμεναι εἰσὶν, οὔτ᾽ ἄπειρα ἐστὶν, οὔτ᾽ ἀπερίστατα, πεπερασμένα δὲ πάντα, καὶ τῶν καθ᾽ ἕκαστα. Καὶ ἣ μὲν πεπέρασται, πολλοῖς δὴ καὶ ἄλλοις ἀντιπαράκειται, ὧν τοῖς μὲν ὑπεναντία πως ἐστὶ, τῶν δὲ διαφέροντα, τῶν δὲ καὶ ἄλλως ὁπωσοῦν ἕτερα, οἷς οὐδὲν ἧττον κἀκείνοις, αἱ τῆς ἀγαθότητος ἰδέαι σαφεῖς ἐπιφαίνονται, τοῖς μὲν ἴσης ἐπαυθούσης, τοῖς δὲ ἐλάσσονες, τοῖς δὲ, εἰ τύχοι, καὶ μείζονες. ἣ δὲ καθ᾽ ἕκαστα, ποικίλα ἔχει τὰ περιεστηκότα αὐτὰ, καὶ οἷον περιορίζοντα, καὶ γὰρ καὶ χρόνον καθ᾽ ὃν, καὶ τόπον ἐν ᾧ, καὶ τρόπον, καὶ τ᾽ ἄλλα ὅσα τοῖς ἐν μέρει γινομένοις πέφυκε παρακολουθεῖν. Τοιγαροῦν καὶ πρὸς τὸ ἐγκριθὲν τῷ λόγῳ, ὡς εἴρηται, ἀγαθὸν, καθ᾽ ὁρμὴν ἐθελούσιον τῆς λογικῆς ὀρέξεως ἤδη γενικείας, λοιπὸν ἂν εἴη τῇ ψυχῇ (ὃ παρ᾽ αὐτῇ ὅλως ἐστὶ) ταῖς ἐπιτηδείοις οὔσαις αὐτῇ δυνάμεσι, (πολλαὶ δὲ εἰσίν.) (§. χπδ΄. χπε΄.) τὰς ἐξ αὐτῶν συμβάλλεσθαι ἐνεργείας κελεῦσαι, αἷς ἂν ἀχθεῖσαι δυνηθείη τὸ θελητὸν εἰς ἐπίβασιν. Ταὐτὸν εἰπεῖν τοῖς δεξιοῖς τε καὶ προσφυέσι προσχρήσασθαι μέσοις, ὧν ἄνευ τοῦ τέλους περιγενέσθαι ἀδύνατον. (§. ψα΄.) Ἔργον δὲ οὐ μικρὸν, οὐδὲ φαῦλον τοῦτο γε, ἀλλ᾽ οἷον δὴ καὶ τὴν πρᾶξιν τελειοποιεῖν, καὶ τὸ τῆς ψυχῆς ἐπὶ τῶν πραττομένων αὐτεξούσιον κράτος, ὅσον ἐστὶν ἐπιδεικνύειν. Δύναται γὰρ ἡ ψυχὴ ταῖς ὑπουργοῖς ἐκείναις δυνάμεσιν ἐπιτάξαι, καὶ μὴ ἐπιτάξαι. Ἢ ἐκείναις μὲν οὔ, ἄλλαις δέ τισι, καὶ πρὸς ἄλλο φερούσαις. Ἢ δι᾽ ὧν ἄλλως τὸ αὐτὸ διαπραχθείη, καὶ οὐχ οὕτως· ἢ δι᾽ ὧν ἄλλοτε, καὶ οὐχὶ ἤδη, ἢ δι᾽ ὧν ἀλλαχοῦ, καὶ οὐχ ὧδε· ἢ καὶ ἁπλῶς ἐνεργεῖν αὐταῖς παντελῆ διαγορεῦσαι, ὡς εἶναι τὸ τέλος παντῃ ἀνέκβατον. Ἐν τούτῳ δὲ πάντως ἡ βουλὴ τῆς ψυχῆς ἐμφαίνεται, εἴτ᾽ οὖν ἡ βούλευσις. Διὸ καὶ ὀρθῶς τοῖς Παλαιοῖς εἰρῆσθαι μοι δοκεῖ, ὅτι ἡ μὲν βούλησις τοῦ τέλους ἐστὶν, ἡ δὲ βου-



βουλὴ καὶ ἡ βούλευσις τῶν πρὸς τὸ τέλος. (1) Καὶ ὅτι βουλευόμεθα περὶ τῶν ἐφ᾽ ἡμῖν, καὶ δι᾽ ἡμῶν δυναμένων γενέσθαι, τουτέστι περὶ τῶν ἐπίσης ἐνδεχομένων, ἅπερ αὐτά τε δυνάμεθα, καὶ τὰ ἀντικείμενα αὐτοῖς. Ἀλλ᾽ ἥκει δὴ τέως ἐπὶ πᾶσιν ἡ προαίρεσις, ὅλη ὅλως τῆς ψυχῆς οὖσα, καὶ τοῦτο δὴ τῆς βουλῆς διαφέρουσα, ὅτι ἡ μὲν βουλὴ ἐπὶ τοῖς ἔτι ζητουμένοις, ἡ δὲ προαίρεσις ἐπὶ τοῖς ἤδη κεκριμένοις, μᾶλλον δὲ αὐτὴ ἡ κρίνουσα ἐστὶν, ὡς ἄρα τόδε πρὸ τοῦδε τιθεῖσα, καὶ τὸ ἐνεργεῖν, ἢ μὴ, ταῖς ὑπουργοῖς δυνάμεσιν ἔσχατον ἐπιτάττουσα, δι᾽ ὧν πᾶσα πρᾶξις περαίνεται. Οὕτω δέ τοι νοητέον καὶ τὸ λεγόμενον „ ὡς ἡ προαίρεσις μικ-
„ τόν τι ἐστὶν ἐκ βουλῆς, καὶ κρίσεως, καὶ ὀρέξεως, καὶ οὔτε
„ ὄρεξις καθ᾽ ἑαυτὴν, οὔτε βουλὴ μόνη, ἀλλ᾽ ἐκ τούτων τὸ
„ συγκείμενον (2)· οὐχὶ τῶν ὑποκειμένων ἀπ᾽ ἀλλήλων διαιροῦντας, ἀλλ᾽ ἢ τῷ λόγῳ· οὐδὲ διὰ χρόνου (ἣν τις μόνον τὸ τῆς κρίσεως, καὶ τὸ τῆς βουλῆς ἐξαιροίη, τὰ ἐπί τινων χρόνου ποσοῦ τινος ἐπιδεόμενα) ἀλλὰ θᾶττον ἢ λόγος ἐπὶ πάνυ συχνῶν ἐκτελεῖσθαι ὑπολαμβάνοντας. Ἁπλῶς γὰρ ἡ ψυχὴ προσλαβοῦσα, ἀλόγως ὥρμησε. Χρησαμένη δὲ τῷ λόγῳ βουλητικῶς ἐβούλευσε· βουλευσαμένη δὲ προείλετο, προελομένη δὲ ἐλευθέρως διεπράξατο· ἐπ᾽ αὐτῇ γὰρ ἦν τὸ μὴ προελέσθαι. „ Ἐλεύθερον δὲ εἶναι δεῖ τὸ ἐφ᾽ ἡμῖν· ἦν
„ δ᾽ ἂν ἐλεύθερον, εἰ τῶν αὐτῷ περιεστηκότων (3) ἐφ᾽ ἡμῖν
„ ἦν, τὸ ποτὲ μὲν ὁρμᾶν, ποτὲ δὲ μὴ ὁρμᾶν. Κυρίως γὰρ
„ ἐφ᾽ ἡμῖν ἐστὶ τὰ ψυχικὰ πάντα, (4) καὶ περὶ ὧν βουλευό-
„ μεθα, βουλευόμεθα γὰρ, ὡς ἐφ᾽ ἡμῖν ὄντος τοῦ πρᾶξαι
„ τὸ προκείμενον, ἐδείχθη δὲ ἐν τοῖς προλαβοῦσιν (ἐν
„ Κεφ. λδ΄.) ἡ βουλὴ τῶν ἐπίσης ἐνδεχομένων οὖσα· ἐπί-
„ σης δὲ ἐνδεχόμενον ἐστὶν, ὃ αὐτό τε δυνάμεθα, καὶ τὸ ἀν-
„ τικείμενον αὐτῷ· ποιεῖται δὲ τούτου τὴν αἵρεσιν ὁ νοῦς ὁ
„ ἡμέ-

(1) Ἀριστοτέλης Ἠθικ. Βιβλ. γ΄. Κεφ. Ε΄. καὶ ς΄.
(2) Νεμέσ. Κεφ. λγ΄.
(3) Αὐτ. Κεφ. λε΄.
(4) Αὐτ. Κεφ. μ΄.

„ ἡμέτερος. Καὶ οὗτος ἐστὶν ἀρχὴ πράξεως. Καὶ ταῦτα ἐστὶ „ τὰ ἐφ' ἡμῖν, οἷον τὸ κινεῖσθαι καὶ μὴ κινεῖσθαι, ὁρμᾶν καὶ „ μὴ ὁρμᾶν, ὀρέγεσθαι τῶν μὴ ἀναγκαίων, καὶ μὴ ὀρέγε- „ σθαι, ψεύδεσθαι καὶ μὴ ψεύδεσθαι, διδόναι καὶ μὴ διδόναι, „ χαίρειν οἷς δεῖ καὶ μὴ χαίρειν, καὶ ὅσα τοιαῦτα· ἐν οἷς „ ἐστὶ τὰ τῆς κακίας καὶ τῆς ἀρετῆς ἔργα· τούτων γὰρ ἐσμὲν ΑΥΤΕΞΟΥΣΙΟΙ.

## Πορίσματα.

§. ωμδ'. Α'. Αἱ κατὰ τὰ πάθη τῆς ψυχῆς πρώτισται ὁρμαί, τῷ αὐτεξουσίῳ οὐχ ὑποπίπτουσιν, ὡς μὴ οὖσαι ἐκ προαιρέσεως (§. ωμγ'.). Τὸ δὲ ἐμμένειν καὶ προσενδιατρίβειν φιληδονοῦντας αὐταῖς, ὑπαίτιον γίνεται, ὡς ἐφ' ἡμῖν ὂν τῷ προσεκτικῷ, τὴν ἀπὸ τοῦ περὶ ἐκείνων ἐνθυμεῖσθαι, ἐπὶ τὸ μὴ ἐπ' εὐθεῖαν τελοῦντα ἐπικελεῦσαι μετάβασιν (§. χπγ'. χπέ.).

Β'. Οὐδὲ αἱ πρὸς τὸ κεκριμένον ἤδη ὑπὸ τοῦ λόγου, τῆς θελήσεως ἀμέσως ἀνατεινόμεναι ἐφέσεις, ὡς καὶ αὐταὶ πρὸ τοῦ ἐσχάτου διορισμοῦ τῆς ψυχῆς τοῦ κατὰ τὴν προαίρεσιν οὖσαι, ἐν ᾗ τὸ ἐλεύθερον (§. ωμγ'.), οὐδὲ αὐταὶ πάντη πάντως ἐν αὐτεξουσιότητι εἰσίν.

Γ'. Οὐκ ἄρα οὐδὲ τὰ πάθη (διὰ τὸ Α'.) οὐδὲ ὁ λόγος (διὰ τὸ Β'.) τοῦ αὐτεξουσίου τῆς ψυχῆς διοριστικὰ τυγχάνει, κυρίως εἰπεῖν, ἀλλ' ἢ μόνον ὑπερεθιστικά, καὶ οὐδὲ αἴτια, ἀφορμαὶ δέ, διεγείρουσαι μὲν οὐ μετρίως τὸ ἡγεμονικόν, αὐτὸ δὲ καταλιποῦσαι πανελεύθερον, ὡς ἐν αὐτῷ κεῖσθαι καὶ μετὰ τὴν ὑπ' ἐκείνων παρόρμησιν, ἐπινεῦσαι τῇ κατ' αὐτὸ προαιρέσει πρὸς ὁπότερον τῶν παρισταμένων προέλοιτο.

Δ'. Οὐκ ἄρα ὥστινες τῶν Νεωτέρων (1) τὴν ἐνεργητικὴν δύναμιν vim activam, τά τε πάθη, καὶ τὸν λόγον, tam-

(1) Γενουήσ. ἐν Μέρ. Β'. τῆς Μεταφ. Ὁρισ. ιβ'. Σχολ.



tamquam motiva, ὡς παραίτια ἐξ ἀνάγκης διορίζοντα ὑποθετέον, ὡς ὑπ' ἐκείνων μὲν ἀγομένην τὸ ἐλεύθερον ἀποτιθέναι, ὑπὸ δὲ τούτου, διασώζειν. Παρὰ τῇ ψυχῇ γὰρ κεῖται, καὶ τοῖς πάθεσι παροιστρουμένην μὴ ἐνδιδόναι, καὶ τῷ λόγῳ χαλιναγωγουμένην ἐθελοκακεῖν, καὶ ἀφηνιάζειν, ἀπαραλύμαντον ἑκατέρωσε διατηροῦσαν τὴν τοῦ προαιρεῖσθαι αὐτεξουσιότητα. Οἱ δὲ ἐν τούτῳ ἱδρύοντες τὴν ἐλευθε- „ ρίαν, ἐν τῷ τὴν ψυχὴν αἱρεῖσθαι τι ἔχειν, ἢ φεύγειν, „ ὅπερ αὖ τῷ κατ' αὐτὴν λόγῳ ἀγαθὸν εἶναι ἢ κακὸν δόξειεν (1) δοκοῦντες τῆς λογικῆς οὐσίας τὸ ἐλεύθερον στηρίζειν, κομιδῇ περιτρέπουσι.

Ε'. Ζητουμένου δὲ εἰ τῷ ἀνθρώπῳ ἐλευθερίας μέτεστι, οὐ τοῦτο πρόκειται μαθεῖν, ᾗ φασὶ (2) „ πότερον ὑπὸ τῶν πα- „ θῶν διορίζεται ἄνθρωπος, ἢ ποτε καὶ ὑπὸ τοῦ ἐν αὐτῷ „ λόγου; Ἐκεῖνο δέ, πότερον ἡ τῷ πάθει ἐγκαταδυομένη ψυχή, δύναμιν ἔχει τοῦ ὑπερκύψαι, καὶ τῆς προσβολῆς κρείττων ὀφθῆναι; Πότερον ἡ τῷ λόγῳ φωταγωγουμένη ψυχή, δύναμιν ἔχει εἰς ἀνοδίας ἑαυτὴν ἐμβαλεῖν, τῆς ὑπὸ τοῦ δᾳδουχοῦντος λόγου δεικνυομένης αὐτῇ πορείας ἐκκλίνουσα; τουτέστιν ἔξω μεταφορῶν λέγοντας εἰπεῖν, καὶ ἐν ᾧ τὸ μὲν πάθος προσβάλλει, ὁ δὲ λόγος τὸ δέον ὑποβάλλει τῇ ψυχῇ, ἔστιν αὐτῇ δύναμις τοιαύτη, καθ' ἣν αὖ ἔχοι ἑλέσθαι καὶ πρᾶξαι τὰ ἐναντία, ἢ οὐχί; Εἰ μὲν γὰρ τοῦτο, ἐξ ἀνθρώπων ἤδη, φεῦ! τὸ ἐλεύθερον, εἰ δ' ἐκεῖνο, ἐλεύθεροι ἄρα ἐσμέν.

ϛ'. Οὐδ' ἐκεῖνον δὲ ἡμῖν ἐγκριτέον τὸν ὁρισμὸν τῆς ἐλευθερίας, ὃν οἱ παρὰ τοῖς Γερμανοῖς φιλοσοφοῦντες ἀπεδώκαν (3). „ Δύναμιν εἰπόντες εἶναι καθ' ἣν ἐκ πλειόνων „ ὧν αὖ ἐφίεσθαι ἔχοι, ἡ λογικὴ φύσις αἱρεῖται τὸ ἐγκρι- „ θὲν εἶναι ἄριστον. Εἴπερ γὰρ τῶν πλειόνων, ὧν ἐφίεσθαι ἔχει, καὶ αἱρεῖσθαι ἔχει ὁτιοῦν, οὐκ ἔσται οὐσιῶδες τῇ ἐλευ-

(1) Γενουήσ. ἐν Μέρ. Β'. τῆς Μεταφ. Ὁρισ. ιβ'. Σχολ.
(2) Αὐτ. Αὐτ.
(3) Βαουμεΐστ. Πνευματολ. Μέρ. Γ'. Κεφ. ια'. §. 267.

λευθέρῳ ψυχῇ, τὸ αἱρεῖσθαι τὸ ἄριστον. Εἰ δὲ μὴ ἔχει αἱρεῖσθαι ἐκείνων μηδὲν, ὧν ἄλλων ἐφίεται, κεναὶ μὲν αἱ ἐφέσεις, αἱ μηδέποτε πληρωθήσονται, ψευδὴς δὲ ἡ αἵρεσις ἡ οὖσα καὶ μόνῳ προσδεδεμένη τῷ ἀρίστῳ, καὶ τῶν λοιπῶν ἑλέσθαι μηδὲν ἕτερον ἔχουσα.

Ζ΄. Ἐκ ταύτης δὲ τῆς καθ᾽ ἡμᾶς τοῦ αὐτεξουσίου ἐκδοχῆς (§. ωμγ΄.) κἀκεῖνο σώζεται, περὶ οὗ ἄλλοσε (§. χπγ΄.) ἐν ὑποθέσεως μοίρᾳ, ὡς ἐξ αὐτῆς τῆς ἐνδοτάτω συνειδήσεως μαρτυρούμενον, ἡμῖν διείληπται. „Ὡς ὅταν δυοῖν ἴσον δυναμένων, καὶ ὁμοίως ἐχόντων, θάτερον ᾖ λαβεῖν ἀνάγκη, μηδεμιᾶς αἰτίας ἐπὶ θάτερον ἀγούσης, τῷ μηδενὶ τοῦ ἑτέρου διαφέρειν, θατέρου τὴν λῆψιν οἴκοθεν αἱρούμεθα διοριζόμενοι (1). Τοῦτο γὰρ, οὐδ᾽ οἱ τῷ λόγῳ τὸ αὐτεξούσιον ὑπάγοντες (ἐν Δ΄. καὶ Ε΄.), οὐδ᾽ οἱ τῷ ἀρίστῳ τῶν πλειόνων ἀεὶ προσδεσμεύοντες (ς΄.), οὐδένα τρόπον ἔχοιεν ἂν ἐκτιθέναι, εἰ μήγε τῇ Χρυσιππείῳ φρενὶ καὶ ἤτοι συμψευδόμενοι, ἀστραγάλους ἡμῖν καὶ ζυγάς τινας παρατιθῶνται, καὶ τὰ τοιαῦτα, ἃ τὰς πρὸς θάτερον ῥοπάς τε καὶ μεταπτώσεις ἐκ αὐτῶν αἰτίων τινῶν, καίτοι ἀδήλως πολλάκις ὑπεξεχόντων, λαμβάνειν οὐ δύνανται. Ἀλλὰ γὰρ ἐπεὶ τὰ κινοῦντα κατ᾽ αὐτοὺς δῆλα εἶναι δεῖ, εἰ κατὰ λόγον πέφυκε κινεῖν, οὐδὲ τοῦτο αὐτοὺς τὸ τοῦ Χρυσίππου ὀνήσεται, ἀμηχανήσει δὲ διὰ παντὸς αὐτοῖς ἡ ψυχὴ, ἴσα τῇ κατ᾽ Ἀριστοτέλην τριχὶ, τῇ δι᾽ ὅλου ἰσοσθενεῖ, καὶ διὰ τοῦτο πάμπαν ἀδιαρρήκτῳ, ἄτεγκτος διαμένουσα. Καθ᾽ ἡμᾶς δὲ ἔξω πάν τῆς ἀντιρροπίας γενήσεται, οἱονεὶ βάρος ἐπιθεῖσα, τὴν ὅπερ ἔχει κράτους ἐπὶ τῶν τοιούτων χρῆσίν τε, καὶ ἐπίδειξιν. Καὶ λήψεται τὸ μηδὲν διαφέρον, δι᾽ αὐτὸ τοῦτο μάλιστα ὅτι μηδὲν διαφέρει, ἵνα δείξῃ ὅτι τῆς παρ᾽ αὐτῇ καὶ τοῦτο ἐστὶ δυνάμεως. Ἀλλ᾽ ἡ δραστήριος οὖσα δύναμις (οὗτος γὰρ αὐτοῖς ὁ τοῦ λόγου τόνος (2), κατὰ πᾶν μέρος ἅμα τε καὶ κατὰ τὸ αὐτὸ διορίζεσθαι ἀδυνατοῦσα, ἀναγκαίως ἀπαιτεῖ τὸ ἔνθα μᾶλ-

(1) Παρὰ Πλουτάρχῳ.

(2) Ἰουλιόσ. Βαύμιϊς. ἔνθα ἀνωτ.



λον ἢ ἔνθα διορίσαι ταύτην δυναμένου· τουτέστιν ἀποχρῶντος αὐτῇ λόγου τινὸς, ᾗ λέγειν εἰώθασιν, κείσεται ἀδιόριστος. Ἀλλὰ κατὰ πᾶν μέρος ἅμα οὐδ᾽ αὐτοὶ φαμὲν ἐν μέρει δὲ ἄλλοτε ἄλλως· τὸ δὲ δεῖσθαι τοῦ διορίσοντος, ἐπὶ μὲν τῶν ἑτεροκινήτων ἔχοιγε οὕτως, ἥγε μὴν αὐτεξουσιότης δύναμις ἐστὶν αὐτοκίνητος καὶ αὐτοδιόριστος, ἔχουσα τὸν ἀποχρῶντα λόγον τῶν οἰκείων ἐνεργειῶν ἐν τῇ οὐσίᾳ τῇ ἑαυτῆς, καθ᾽ ὅτι κυρία οὖσα τῶν ἰδίων ὁρμῶν, πῇ μὲν τοῖς πάθεσιν, ἄλλοτε δὲ τῷ λόγῳ ἄγειν ἑαυτὴν δίδωσι, πῇ δ᾽ ἀνενδότως πρὸς ἑκάτερον ἔχει προσισταμένη τε τούτοις καὶ ἀντιβαίνουσα, καί ποτε μηδετέρου τούτων ὑπόντος, ὡς ἐπὶ τῶν ἀδιαφόρων, αὐτὴ ἐνδεικνυμένη ἣν ἔχει δύναμιν (ὅς δὴ λόγος ἐστὶν ἱκανώτατος) θατέρῳ προσέχειν ἀφεῖσα, αὐτεξουσίως αἱρεῖται τὸ ἕτερον. „Ἀμφότερα γὰρ ὁ ἀνθρώπινος Νοῦς ἀγαθὸς ἀλόγῳ σώματι χρώμενος: Αὐτοκράτωρ δὲ γενόμενος, κατ᾽ ἐξουσίαν ἄνω καὶ κάτω μεταχωρεῖ ἕτερον αἱρούμενος πρὸ ἑτέρου. Τοῦτο γὰρ ἡ ἀνθρώπου προαίρεσις δύναται (1).

Η΄. Καθ᾽ ἡμᾶς δὲ τέως, καὶ παντὶ τρόπῳ ἐλευθερίας ἡ ψυχὴ τὸ ἀδέσποτον ἔλαχε καὶ ἀδούλωτον. Καὶ γὰρ καὶ βίας τῆς ἔξωθεν ἐπαγομένης κρείσσων ἐστὶν, ἐξ ἑαυτῆς τὰς ἰδίας θελήσεις προβάλλουσα, καὶ πρὸς τὸ θέλειν, ὃ ἂν μὴ ἐθέλοι, οὖσα ἀπαραβίαστος. Καὶ ἀνάγκης τῆς ἐσωτερικῆς καλουμένης ὑπέρκειται· ὡς οὔθ᾽ ὑπὸ τῶν παθῶν καταναγκαζομένη, οὔθ᾽ ὑπὸ τῆς τοῦ λόγου δυνάμεως ἐκβιαζομένη, αὐτὴ δὲ ἀφ᾽ ἑαυτῆς ἐνδιδοῦσα, καὶ ὑπ᾽ αὐτῶν ἄγεσθαι καὶ φέρεσθαι ἐπιτρέπουσα, καί ποτε καὶ τούτοις καρτερῶς ἀντιβαίνουσα. Καὶ ἐλευθερίας δὲ τετύχηκεν, ᾗ φασὶ, τῆς κατ᾽ ἀντίφασιν, ὡς πράττειν τε καὶ μὴ πράττειν ἐξ ἴσης τὸ αὐτὸ δύναμιν ἔχουσα. Καὶ τῆς κατ᾽ ἐναντίωσιν καλουμένης, ὡς καὶ δυοῖν προκειμένων ἐναντίων ἀλλήλοις, ὁπότερον ἂν βουληθείη ἑλέσθαι, παρ᾽ αὐτῇ ὄν. Καὶ ἐπὶ πᾶσιν ἐλευθέρα ἐστὶ, καὶ κατὰ τὴν ἀκριβῆ ἀντιρροπίαν, ἅτε δὴ, καὶ ἐπὶ τῶν μη-

(1) Αἰνέ. Γαζαῖ. ἐν Διαλόγ. οὗ ἐπιγρ. Θεόφραστος, ἢ περὶ Ψυχῆς.

μηδενὶ διαφερόντων, τῇ αἱρέσει τοῦ ἑτέρου (κατὰ τὸ ἀνάπαλιν) τὴν αὐτεξουσιότητα τὴν ἑαυτῆς ἐπιδεικνυμένην· ὃ δὴ εἶδος ἐλευθερίας, inter anilium rerum deliramenta, τουτέστι τοῖς γραώδεσι λήροις οἱ τοῦ ἐφ᾽ ἡμῖν ἀναιροπεῖς Γερμανοὶ Φιλόσοφοι (1) ἐναρίθμιον ἔθεντο.

## Σχόλιον.

§. ωμε΄. Πολλῶν δὴ καὶ πάλαι καὶ καθ᾽ ἡμᾶς τῇ ἐλευθερίᾳ τῇ ἑαυτῶν κατὰ τῆς ἐλευθερίας αὐτῆς καταχρησαμένων, καὶ πολλὰ εἰς ἀναίρεσιν τοῦ αὐτεξουσίου συγγραψάντων, ἐπάναγκες ἂν εἴη καὶ ἡμᾶς τὸν ἐνυάλιον ἀλαλάξαντας κατ᾽ ἐκείνων ἰέναι, μηδὲ παριδεῖν οὕτως ἀθλίως τὸν ἐν ἡμῖν ἄνθρωπον ἀνδραποδιζόμενον, καὶ καταδουλούμενον, καὶ πάντων ὧν ἔχει πλεονεκτημάτων τὸ μέγιστον καὶ ἐπισημότατον ἀποσυλώμενον. „ Τὸ γὰρ αὐτεξούσιον ψυχῆς λογικῆς κάλλιστον „ ἀξίωμα. Αὕτη πρώτη πρὸς ἡμᾶς, καὶ μεγίστη τοῦ Δημιουρ„ γοῦ δωρεά, ἣν ἐγὼ παντὸς μᾶλλον ἀσπάζομαι, καὶ πλεί„ στην οἶδα τῷ δεδωκότι τὴν χάριν. Τί γὰρ ἐλευθερίας „ σεμνότερον, ἣ παραλαβοῦσα τὸν ἄνθρωπον, Θεὸν τὸν ἄν„ θρωπον ἀπεργάζεται (2);

Α΄. Αἱ κατὰ τὰς θελήσεις ἡμῶν, φασίν, ἐνέργειαι, ταῖς κλίσεσί τε καὶ ἀποστροφαῖς ἑπόμεναι εἰσίν. Αἵ τε κλίσεις αὗται καὶ αἱ ἀποστροφαί, ταῖς ἐμποιουμέναις ἡμῖν προσβολαῖς τε καὶ διαθέσεσιν ἀνάλογον εἰσίν. Αἱ δὲ ταῖς ὑπὸ τῶν ἐκτὸς πρὸς ἡμᾶς ἐνεργείαις, ὡς ἂν καὶ κράσεως τῆς σωματικῆς, καὶ καταστάσεως τῆς ψυχικῆς ἔχοντες τύχοιμεν, συμμέτρως ἐμποιοῦνται. Ἔνθεντοι ἀναγκαῖαι μὲν αἱ διαθέσεις, τοιαῦται δὲ καὶ αἱ ῥοπαί, καὶ ἀποστροφαὶ τῆς ψυχῆς, καὶ ἐκ τοῦ ἀκολούθου καὶ αἱ κατὰ τὰς θελήσεις ἡμῶν ἐνέργειαι (3).

Περὶ

(1) Βαυμεϊστέρ. Πνευματολ. Μέρ. Γ΄. Κεφ. ια΄. §. 268.

(2) Αἰνείας Γαζαῖος ἐν Διαλόγῳ ὃς ἐπιγρ. περὶ Ψυχ. ἢ Θεόφρ.

(3) Recherches sur la liberté, ἐν τοῖς Ἀφορισμ. Λεϊβνιτ. Νεόθ. κτ. Τόμ. α΄.



Περὶ τόνδε τὸν λόγον θριαμβεύειν μὲν τὸν Κολλῖνον, φησὶν ὁ Γενουήσιος (1) πολλοὺς δὲ τῶν φιλοσοφούντων προσοκείλαντας μηκέτι δυνηθῆναι περαιτέρω χωρῆσαι. Αὐτὸς γε μὴν πεποιθὼς τῇ ἀληθείᾳ, ἄκρατον εἶναι σόφισμα τὸ προτεθὲν ἐπαγγέλλεται δεῖξαι. Ἀμέλει καὶ γὰρ αἱ κατὰ τὴν θέλησιν ἐνέργειαι, ἤρτηνται μὲν ἐκ τῶν κλίσεών τε καὶ διαθέσεων, οὕτω δὲ ἤρτηνται, φησὶν (2) ὡς ἐκ τοῦ λόγου ἠρτῆσθαι, τοῦ οὐκ ἄλλως τὴν αὐτεξούσιον δύναμιν ἐπικάμπτοντος, ἢ διὰ τῶν κατὰ φύσιν τουτωνὶ ῥοπῶν καὶ ἀποστροφῶν. Καὶ οὕτως ἄρα ἤρτηνται, ὡς τὰ παραίτια οἷς τὸ ἐλεύθερον ἐπικάμπτεται, ἀεὶ τοὺς λόγους αὐτοὺς τυγχάνειν τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ· διὸ δὴ σώζεται τὸ ἐλεύθερον. Ὁ γὰρ νοῦς (3) μόνον ὑπὸ τοῦ ὑπερτάτου ἀγαθοῦ ἀναγκαίως ἔχοι ἂν διορίζεσθαι, τοῖς δὲ πεπερασμένοις τῶν ἀγαθῶν, οὐκ ἂν ἐξ ἀνάγκης συναρπασθείη διοριζόμενος, διασώζων δὲ τὴν τοῦ περὶ αὐτὰ βουλεύεσθαι δύναμιν, σὺν αὐτῇ ταύτῃ διασώζει καὶ τὸ ἐλεύθερον. Ἔνθα δήτις διακρίνας Α΄. τὰς θύραθεν ἐπιούσας κινήσεις. Β΄. τὰς ἐκ τούτων ἐμποιουμένας ἡμῖν διαθέσεις. Γ΄. τὰς κατ᾽ αὐτὰς κλίσεις. Δ΄. τὰς περὶ τὰ πεπερασμένα τῶν ἀγαθῶν, ἢ κακῶν, ᾗ τῷ λόγῳ παρίσταται, βουλάς. Ε΄. τὰς τοῦ αὐτεξουσίου αἱρέσεις. Ἄχρι τοῦ Γ΄. τὴν ἀνάγκην φύσει παροπηδοῦσαν εὑρήσει, κατὰ δὲ τὸ Δ΄. αὐτὸ τὸ ἐλεύθερον, ὅπερ οὐδὲν ἄλλο, κατ᾽ αὐτόν, ἐστὶν, ἢ δύναμις τοῦ ἑλέσθαι ἢ φυγεῖν ex ratione, κατὰ λόγον τὸ παριστάμενον (4) ἀγαθὸν εἶναι ἢ κακόν.

Ἀλλὰ γὰρ ἐνταῦθα, ἵνα πλήρης ᾖ ἡ ἀπάντησις, ἐκεῖνο δὴ ἔτι ἂν εἴη ἐξεταστέον. Πότερον ἡ δύναμις αὕτη τὸ μὲν ἑλέσθαι ἀεὶ τῷ ἀγαθῷ συνάπτειν πέφυκε, τὸ δὲ φυγεῖν τῷ κακῷ, ὡς ἀπαραιτήτως ἐκεῖνο μέν, ὃ τῷ λόγῳ ἀγαθὸν παρέστη διωκτέον αὐτῇ εἶναι, ἀπαραιτήτως δέ, ὃ κα-

(1) Μεταφ. Μέρ. Β΄. Κεφ. Δ΄. in Appendice §. 28.

(2) Αὐτ. Αὐτ. §. 28.

(3) Αὐτ. Αὐτ. §. 29.

(4) Γενουήσ. Αὐτ. ἐν Ὁρ. ιβ΄. καὶ Ὁρ. ιγ΄. ἐν τῷ Σχολ.

κακὸν εἶναι φευκτέον; ἢ καὶ ἐναλλάξασαν ἔχειν αὐτὴν, μὴ ἑλέσθαι μὲν τὸ ἀγαθὸν, μὴ φυγεῖν δὲ τὸ κακόν; Εἰ μὲν γὰρ τὸ Α΄., προσδεδεμένη ἔσται ἐξ ἀνάγκης τῷ ἀγαθῷ παραστάντι, ἢ τῷ κακῷ ἡ ἐλευθερία, καὶ οὕτω δὴ τὸ ἑλέσθαι, ἢ μὴ τὸ αὐτὸ, καὶ τὸ φυγεῖν ἢ μὴ τὸ αὐτὸ, οὐ παρ' ἡμῖν ἔσται, ἀλλὰ συναρπασθήσεται μὲν ἐκείνῳ φανέντι κατά τινα ἀνάγκην ἄφυκτον ἡ ψυχὴ, ἀποκρούσεται δὲ καὶ ἀποσκορακιώσει ἐξ ἀνάγκης καὶ τοῦτο. Καὶ ποῦ τὸ ἐλεύθερον; Εἰ δὲ τὸ Β΄. (§. ωμδ΄. Δ΄. καὶ Ε΄.) κρατήσει δῆτα τὸ αὐτεξούσιον, καὶ ὡς ἀράχνης ἱστὸν τὴν τοῦ Κολλίνου πλεκτάνην, ἡ ψυχὴ διαλύσεται. Αὐτίκα γὰρ ἡ πρώτη ἐκείνης κρόκη σαθροτάτη εὕρηται εἶναι, ὅτι αἱ κατὰ τὰς θελήσεις ἐνέργειαι, ταῖς κλίσεσί τε καὶ ἀποστροφαῖς, ὥσπερ δὴ αὗται ταῖς ἐμποιουμέναις ὑπὸ τῶν ἐκτὸς διαθέσεσιν, ἑπόμεναι εἰσίν. Ὅπως γὰρ αὐτὸ νοητέον, ἀεὶ οὕτω συμβαίνειν, καὶ ἐξ ἀνάγκης; ἢ ποτὲ, καὶ τῆς ἐλευθερίας ἐντεῦθεν οὐδὲν παραβλαπτομένης; τοσούτῳ γὰρ ταῦτα διαφέρειν, ὅσῳ τ' ἀληθὲς φαμὲν τοῦ ψεύδους ἀποδιΐστασθαι. (1) „Πολλαὶ γοῦν, καὶ „τοιῶνδε ζῴων φύσεις, καὶ τοιαίδε συγκράσεις τοῦ περιέ-„χοντος, κρυμῶν τε ἐπιφοραὶ, καὶ φλογμῶν ἐκκαύσεις, πλεῖ-„στά τε ἄλλα κατά τινας οἰκείους λόγους, φυσικῶς μὲν κινού-„μενα, συμβατικῶς δὲ ἡμῖν προσπίπτοντα, τάραχον οὐ „τὸν τυχόντα τῷ καθ' ἡμᾶς αὐτεξουσίῳ διὰ τὴν πρὸς τὸ „σῶμα συμπλοκὴν παρέσχηκε, τῆς τῶν ἡμετέρων σωμά-„των φύσεως τὰς τῶν ἔξωθεν ἐπιφορὰς οὐχ ὑπομενούσης, „κρατουμένης δὲ, καὶ νικωμένης ὑπὸ τῶν ἐκτὸς κατὰ φύσιν οἰ-„κείαν ἐπιπλεκομένων... Πάλιν δὲ ὥσπερ ἡ τοῦ σώματος ἡ-„μῶν φύσις νικᾶται πολλάκις πρὸς τῶν ἔξωθεν ὑποπι-„πτόντων, οὕτω ἔστιν ὅτε καὶ προαίρεσις ὑπὸ μυρίων ἔξω-„θεν ἐνοχλουμένη προαιρέσεων. αὐτεξουσίῳ γνώμῃ πει-„σθεῖσα, ἑαυτὴν τοῖς ἔξωθεν ἐπιδίδωσι, καὶ ποτὲ μὲν βελ-„τίων, ποτὲ δὲ χείρων ἀποτελεῖται.... Ἀλλὰ δὴ καθάπερ αὐτοὶ ταῦθ' οὕτως ἔχειν εἰδόαμεν, ἀνάγκη πᾶσα κακεί-

νους

(1) Εὐσέβ. Εὐαγγ. Προπαρ. Βιβλ. ς΄. Κεφ. ς΄.



κους ὁμολογεῖν, ὡς οὐ πάσαις ταῖς τοιαύταις ἐπιφοραῖς αἱ τῶν ἀνθρώπων θελήσεις ὑπενδιδοῦσαι ἁλίσκονται, ἀλλ' ἐκείνων πολλάκις καὶ περιγίνονται, τῆς αὐτεξουσίου δυνάμεως, τοῦ ἑλέσθαι, καὶ μὴ, καὶ τοῦ φυγεῖν, καὶ μὴ, τὸ αὐτὸ, ἀδέσποτον παρ' ἑαυτῇ ἐχούσης τὴν αἵρεσιν. (§. ωμγ΄. ωμδ΄. ἐν Γ΄. καὶ Ζ΄.) καὶ πάσῃ δυνάμει ἀήττητον. „Ἰσχύει γὰρ πά-„λιν οἰκεία καὶ λογικῆς οὐσίας ἀρετὴ, καὶ θείαν ὡς ἀλη-„θῶς, καὶ θεοειδῆ τὴν δύναμιν ἐπιδείκνυται· ὅτε πρὸς „πάντα τὰ ἐκτὸς ἀντέχουσα, καὶ τὰ πάντα ἐλευθέρῳ φρο-„νήματι ὑπερνικῶσα, πρὸς οὐδὲν τῆς οἰκείας ἀρετῆς ὑφιε-„μένη, φιλοσοφεῖν παρεσκεύασαι. (1) Ἢ οὐχὶ ψυχῆς πρὸς πᾶσαν δήποτε προσβολὴν ἀνένδοτον τὴν ἐλευθερίαν ἐπιδεικνυμένης ἐκεῖνο μαρτύριον;

„Ἴτω μὲν πῦρ, ἴτω δὲ φάσγανον τέμνε,
„Κάταιθε σάρκας, ἐμπλήσθητί μου πίνων
„Κελαινὸν αἷμα. Πρόσθε γὰρ κάτω γαίης
„Ἴασιν ἄστρα, Γῆ δ' ἄνεισ' ἐς οὐρανὸν,
„Πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον.

Β΄. Ἀγωγῇ τε, καὶ ἔθει, καὶ κράσεσι, καὶ ἡλικίαις, πολλὴν ὁρῶμεν τὴν πρὸς ἀλλήλους διαφορὰν ἔχοντας τοὺς ἀνθρώπους, τάς γε αἱρέσεις, καὶ τὰ ἐπιτηδεύματα, καὶ τοὺς βίους. Καὶ ὅλα δὲ γένη, ὅλων ἐθνῶν ἐπὶ γῆς κατὰ τὴν διαφορὰν τῶν κλιμάτων, ἐπισήμως περὶ τὰ πρακτέα φαίνεται παραλλάσσοντα. Εἴτε τοῦ περιέχοντος τῷ ἑτεροίῳ τῆς θέσεως, ταῖς τῶν σωμάτων ἕξεσι, καὶ δι' αὐτῶν ταῖς ψυχαῖς, ἀλλοιώσεις τινὰς οὐκ ἀφανεῖς ἐνεργαζομένου, εἴτε καὶ δυνάμεώς τινος ὁποιασοῦν, ἄνωθεν ἀπὸ τῶν ἀστέρων, εἰς τὰ ὑπὸ σελήνην ἐπιρρεούσης, καὶ ταῖς λογικαῖς φύσεσιν ἀδήλως μὲν, εὐθενῶς δὲ ὅμως ἐπενεργούσης, καὶ ταῦτα ἢ ἐκεῖνα πρὸ τῶν ἄλλων τιθέναι ἀναγκαζούσης. Καὶ δέος οὖν μὴ ἡ θρυλλουμένη αὕτη τῆς προαιρέσεως αὐτεξουσιότης, μηδὲν, ἀλλ' ἢ ψιλὸν εἴη καὶ κενὸν ὄνομα.

Ἀλλ' ὅτι μὲν τάτε πάθη καὶ ὁ λόγος, οὐ μικρὰν εἰς ἐπι-

καμ-

(1) Εὐσέβ. ἔνθα ἀνωτ.

καμψιν τοῦ ἐν ἡμῖν αὐτεξουσίου ἔλαχε τὴν ῥοπὴν, οὐκ ἂν οὐδ᾽ αὐτοὶ, οὐδ᾽ ἄλλος τις ἔξαρνος γένοιτο (§. ωμδ΄. ἐν Γ΄.), ἢ πρότερον ἂν τὴν κατ᾽ ἄνθρωπον σωματώδη ταύτην ζωὴν ἀνασκευάσειεν, ἀπαθῆ τε πάμπαν αὐτὸν τιθέμενος, καὶ τῷ λόγῳ ἀκίνητον. Καὶ ὁμόλογον ἄρα καὶ ἡμῖν, ὅτι φύσει πως ἐκ τῆς κατὰ τὸ σῶμα συστάσεως, οἱ μὲν εἰς ὀργὴν εἰσὶν ὀξεῖς, οἱ δὲ πραότητι διαφέρουσι. Καὶ οἱ μὲν βαρεῖς τινες τὸ ἦθος εἰσὶ καὶ πικροὶ, οἱ δὲ ἡδεῖς καὶ χαρίεντες. Καὶ οἱ μὲν καταφερεῖς, οἱ δέ πως εἰς ἀκρασίαν δυσκίνητοι. Καὶ τ᾽ ἄλλα ὡσαύτως· ταῖς δ᾽ ἕξεσι φανερὸν, καὶ τὰς τοῦ περιέχοντος διαφορὰς, καὶ τροφῶν δυνάμεις, καὶ διαίτης τρόπον, καὶ μὴν καὶ ἡλικίαν, καὶ ἀγωγὴν, πλεῖστον ὅσον συντελεῖν εἰς τὴν τῶν ὀρέξεων ἐπίτασίν τε καὶ ὕφεσιν. Καὶ ἐκ τοῦ λόγου δὲ, οὗ προαγωγός τε καὶ τελειοποιὸς ἡ παιδεία, μέγα τι σφόδρα ἐν τῇ ψυχῇ, εἰς ῥοπὴν τὴν ἐπὶ πάν, ἡ πάσι ἐγγίνεσθαι κράτος. „ Ἐγγίνεται γὰρ τὰ φαῦλα πάθη τῇ ψυχῇ διὰ τριῶν τούτων· διὰ κακῆς ἀγωγῆς, ἐξ ἀμαθίας, ὑπὸ καχεξίας· μὴ ἀχθέντες γὰρ καλῶς ἐκ παίδων, ὡς δύνασθαι κρατεῖν τῶν παθῶν εἰς τὴν ἀμετρίαν αὐτῶν ἐμπίπτομεν. Ἐκ δὲ τῆς ἀμαθίας φαῦλαι κρίσεις τοῦ λογιστικοῦ τῆς ψυχῆς, ὡς οἴεσθαι τὰ φαῦλα χρηστὰ εἶναι, καὶ τὰ χρηστὰ φαῦλα· γίνεται δέ τινα καὶ ἐκ τῆς τοῦ σώματος καχεξίας. Ὀργίλοι γάρ εἰσιν οἱ πικρόχολοι, καὶ καταφερεῖς οἱ θερμοὶ καὶ ὑγροὶ τὴν κρᾶσιν. (1) Ὅτι δὲ ταῦτα τὸ ἐφ᾽ ἡμῖν κομιδῆ ἀφανίζοντα, τὴν κατὰ τὸ αὐτεξούσιον οὐσιωδῶς ἐνοῦσαν δύναμιν τῇ ψυχῇ αναιρεῖ, τοῦτο ἐστὶν ὃ ψευδὲς εἶναι ἡγούμεθα. Δυνατὸν γὰρ καὶ οὕτως ἔχουσιν ἀντέχειν, μηδ᾽ ἐνδιδόναι τῷ ἐπικάμπτοντι. Εἰ γὰρ ὑπ᾽ ἐκείνων πολύ τι τὸ ἐνδόσιμον εἰς αἵρεσιν τῇ βουλήσει αὐτίκα ἐμπνεῖσθαι φιλεῖ, ἀλλ᾽ ἔμοι ἐκ πείρας συνιδεῖν ἐξεγένετο, ὅτι καὶ μάλα τοῦ ἐπιτακτικοῦ τῆς βουλήσεως χρησαμένους, ταῖς ὑπηρέτισι τῶν δυνάμεων ἀργίαν κελεύουσα, ὥστε ἐκλειπούσης κατὰ βραχὺ τῆς φορᾶς, καὶ ἀρχὴν μὲν οἱονεὶ

ἀπο-

(1) Νεμέσ. περὶ Ἀνθρώπου Κεφ. ιζ΄.



ἀπομαρανθείσης, τέως δὲ καὶ πάντη ἀποσβεσθείσης, ἐλευθέραν οὕτω τὴν ψυχὴν μεῖναι, καὶ οἵαν αὐτοκινήτως ἐθελήσασαν ἀκολουθῆσαι τῷ ὑγιεστέρῳ φρονήματι. (§. χπζ΄.) „ Εἰ γὰρ καὶ τὴν ἀρχὴν ἔξωθεν ἔχουσιν, ἀλλ᾽ αὐτοὶ δι᾽ ἑαυτῶν, καὶ τῶν ὀργανικῶν μορίων ἐνεργοῦσι, καὶ οὐχ ὑποπίπτουσι τῷ ὅρῳ τοῦ ἀκουσίου· ὁπότε καὶ τῆς ἀρχῆς τὴν αἰτίαν ἑαυτοῖς παρέχονται διὰ φαύλην ἀγωγήν. (1) Τοσούτῳ γοῦν ἀπέχει τοῦ ἐκ τῶν τοιούτων τὸ ἐφ᾽ ἡμῖν ἀναιρεῖσθαι, ὅσῳ γε καὶ θαυμαστῶς συμβαίνει κατασκευάζεσθαι καὶ κρατύνεσθαι. Εἰ γὰρ οὐδὲ ἐκ τῶν βιαιοτάτων τουτωνὶ περιτρέπεται, πῶς εἰ μηδὲν ἄλλο οὐ στήσεται, ἐν αἷς ἐλάσσον τὸ τῆς βίας ἐμφαίνεται πράξεσι. Νῦν δὲ καὶ τῶν τυραννούντων ὁ αὐτοκράτωρ λογισμὸς οἷος ἐστὶ κρατεῖν, καὶ οὐ μόνον δύναμιν ἔχει ἐκείνοις μὴ ἕπεσθαι, ἀλλὰ καὶ πλέον „ αὐτὰ βουληθεὶς ἀπαλεῖψαι, δυνατὸν γὰρ θεραπεῦσαι τὸ μὲν κακὸν ἔθος, ἔθει καλῷ· τὴν δὲ ἀμαθίαν μαθήσει, καὶ ἐπιστήμῃ· τὴν δὲ καχεξίαν ἰατέον σωματικῶς, μεθιστάντας αὐτὴν ὡς οἷόν τε εἰς τὴν μέσην κρᾶσιν ἁρμοζούσῃ διαίτῃ, καὶ γυμνασίοις, καὶ φαρμάκοις, ἐὰν καὶ τούτων δεηθῶμεν. (2) Πολλὰ γοῦν τὰ φάρμακα ἀγαθὴ τροφὴ, καὶ παιδεία, καὶ νόμος, καὶ λόγος, καὶ ἡ τῶν καλῶν μελέτη, καὶ συνήθεια, καὶ ἐπιστήμη, (3) κτ. Πολλοὶ δὲ οἱ χρησάμενοι τοῖς τοιοῖσδε φαρμάκοις φέρονται· οἷον Πλάτωνι εἰς σωφροσύνην τὸ νοσῶδες χωρίον (ἔῤῥωτο γὰρ) πολὺ συνεισήνεγκε. Καὶ Θεαγεῖ τῷ ἡμετέρῳ (φησί που Σωκράτης (4) πάντα συμβάλλεται πρὸς τὸ ἐκπεσεῖν φιλοσοφίας, ἡ δὲ νοσοτροφία κατείργουσα ἐπέχει. Καὶ περὶ ἑαυτοῦ δὲ λέγων (5) μηδὲν ἐσφάλθαι ἔφη τὸν αὐτοῦ κατεφυσιογνωμονήσαντα Ζώπυρον· ἦν γὰρ ἂν τοιοῦτος, φησὶν, „ ὅσον

(1) Νεμ. περὶ Ἀνθρώπου. Κεφ. λ΄.
(2) Νεμέσ. περὶ Ἀνθρώπου. Κεφ. ιζ΄.
(3) Αἰνείας Γαζαῖος ἐν Διαλόγ. Θεόφρ. ἢ περὶ Ψυχ.
(4) Αὐτ. ἐνθ. ἀνωτ.
(5) Παρὰ Ἀλεξ. τοῦ Ἀφροδισιέως ἐν τῇ Προπαρασκ. τῇ Εὐαγγ. τοῦ Εὐσεβ. Βιβλ. ς΄.

„ ὅσον ἐπὶ τῇ φύσει, εἰμὴ διὰ τὴν ἐκ φιλοσοφίας ἄσκη-
„ σιν, ἀμείνων τῆς φύσεως ἐγένετο. Εἶεν. Τί δὲ περὶ
τῆς ἐκ τῶν κλιμάτων διαφορᾶς ῥητέον, καὶ τῆς ἐν ὑπονοίᾳ πι-
πτούσης ἀπὸ τῶν ἀστέρων ὡς ἡμᾶς ἐφήκειν τῆς ἐφ' ἡμῖν ἀνα-
γκαστικῆς δυνάμεως; ἢ ὅτι τῶν ἀλογωτάτων ἐστὶ, τὴν προ-
„ φανῆ αἰτίαν τῶν καθ' ἡμᾶς πράξεων (ἐπείπερ ἐναργῶς
„ αἰσθανόμεθα ἑαυτῶν ἡμετέρᾳ ὁρμῇ καὶ κινήσει τὰ δέ τινα
„ προθυμουμένων.... Καὶ οὕτως ἄρα ἐναργὴς ὁ τοῦ αὐθε-
„ κουσίου λόγος, ὥστε ὁμοίως τῷ ἀλγεῖν καὶ τῷ ἥδεσθαι, καὶ
„ τῷ τὸ δέ τι ὁρᾶν, καὶ τὸ δ' ἀκούειν, οὐ συλλογισμῷ ἀλλ' ἐ-
„ νεργείᾳ καταλαμβανομένων, συναισθέσθαι ἑαυτῶν ἐξ ἡ-
„ μῶν αὐτῶν καὶ τῆς ἡμετέρας βουλῆς ὁρμώντων καὶ τὰ δέ τι-
„ να αἱρουμένων, τινὰ δὲ ἀποστρεφομένων. (1) Ταύτην δὴ
τὴν ἐναργῆ αἰτίαν παρέντας, αἰτίας ἀδήλους ζητεῖν, ἃς
οὐδ' αὐτοὶ οἱ πλάττοντες, οὐδ' ὅτι εἰσὶν, οὐδ' ὅπως, εἰπεῖν τι
σαφὲς ἔχουσιν. Εἰ μὲν γὰρ τὴν Εἱμαρμένην εἶναι φάσκου-
σι, τὴν δίκην ἀψύχων ἡμᾶς τῇδε, καὶ τῇδε νευροσπαστοῦ-
σαν καὶ ἕλκουσαν, πῶς οὐκ ἀναιδεῖς εἰσὶ καὶ ἀναισχυντότατοι,
δόγμα εἰσηγούμενοι ὑφ' οὗ πάντα ἄρδην ἀνατρέπεται, ὅσα τε
θεῖα, ὅσα τ' ἀνθρώπινα; (§. χμ'. χμα'. χμβ'. κζ'.)
Εἰ δέ τινα δύναμιν ἄλλην ἀπὸ τῶν ἄστρων ἡμῖν, ὡς αἱ
Θετταλίδες τὴν σελήνην μυθεύονται, ἐπὶ τὰ ἀνθρώπινα
κατάγουσι πράγματα, ἧς οὐδὲ ὄνομα εἰπεῖν ἔχουσιν, οὐδὲ ἐ-
νέργειαν κατάδηλον στῆσαι, πῶς οὐχὶ, ἐπὶ τῷ ἀλογεῖ εἶ-
ναι, καὶ ἀνδέστατοι. Ἔδει γὰρ δὴ κατὰ τὸν αὐτὸν λόγον, διαφο-
ρωτάτων γινομένων τοῖς ἑτεροεθνέσι τῶν προαιρέσεων, τοῖς
ὁμοιοκλίμωσιν εἶναι ὁμοιοτάτας. Συμβαίνει δὲ, οὐδὲν ἐλάσ-
σονας ἐνορᾶσθαι τὰς τῶν ἐξ ἔθνους ὄντας τοῦ αὐτοῦ διαφορὰς
τοῖς τε τρόποις καὶ τοῖς ἐπιτηδεύμασιν, ἢ τὰς ὁμοιότητας.
Οὐδὲν δὲ τῶν ἐξ ἑτέρου τὰς κοινωνίας, ἢ τὰς παραλλαγάς.
Ἀλλὰ γὰρ πρὸς αὐτοὺς τοὺς οὕτως ὑπολαμβάνοντας θαυμαστὰ
εἰς ἔλεγχον τὰ τοῦ Βαρδισάνους, καὶ λόγου τοῦ παντὸς ἄξια,
ὧν αὐτοὶ βραχεῖαν ὅσον ἐνταῦθα παρεχόμενοι μνήμην, τὰ
λοι-

(1) Εὐσέβ. Εὐαγγ. Προπαρ. Βιβλ. ς'. Κεφ. ς'.



λοιπὰ μετιτέα τοῖς βουλομένοις παρὰ τῷ Συγγραφεῖ τῆς Προ-
παρασκευῆς καταλείπομεν. (1) „ Παντὶ ἔθνει, φησὶ, καὶ
„ πάσῃ ἡμέρᾳ, καὶ παντὶ τρόπῳ τῆς γενέσεως γίνονται ἄν-
„ θρωποι. Κρατεῖ δὲ ἐν ἑκάστῃ μοίρᾳ τῶν ἀνθρώπων νόμος
„ καὶ ἔθος, διὰ τὸ αὐτεξούσιον τοῦ ἀνθρώπου. Καὶ οὐκ ἀναγ-
„ κάζει ἡ γένεσις τοὺς Σῆρας μὴ θέλοντας φονεύειν, ἢ τοὺς
„ Βραχμᾶνας κρεοφαγεῖν, ἢ τοὺς Πέρσας ἀθεμίτως μὴ γα-
„ μεῖν, ἢ τοὺς Ἰνδοὺς μὴ καίεσθαι, ἢ τοὺς Μήδους μὴ ἐσθίε-
„ σθαι ὑπὸ κυνῶν, ἢ τοὺς Πάρθους μὴ πολυγαμεῖν, ἢ τὰς
„ ἐν τῇ Μεσοποταμίᾳ γυναῖκας μὴ σωφρονεῖν, ἢ τοὺς
„ Ἕλληνας μὴ γυμνάζεσθαι γυμνοῖς τοῖς σώμασιν, ἢ τοὺς
„ Ῥωμαίους μὴ κρατεῖν, ἢ τοὺς Γάλλους μὴ γαμεῖσθαι, ἢ
„ τὰ ἄλλα βάρβαρα ἔθνη ταῖς ὑπὸ τῶν Ἑλλήνων λεγο-
„ μέναις μούσαις κοινωνεῖν, ἀλλ' ὡς προεῖπον ἕκαστον ἔ-
„ θνος, καὶ ἕκαστος τῶν ἀνθρώπων χρῆται τῇ ἑαυτοῦ ἐλευ-
„ θερίᾳ, ὡς βούλεται, καὶ ὅτε βούλεται. Καὶ δουλεύει τῇ
„ γενέσει, καὶ τῇ φύσει διὰ τὴν περίκειται σάρκα, πῆ μὲν
„ ὡς βούλεται, πῆ δ' ὡς μὴ βούλεται. Πανταχῆ γὰρ, καὶ
„ ἐν παντὶ ἔθνει εἰσὶ πλούσιοι καὶ πένητες, καὶ ἄρχοντες
„ καὶ ἀρχόμενοι, καὶ ἐρρωμένοι καὶ νοσοῦντες, ἕκαστος κατὰ τοὺς
„ τῆς γενέσεως αὐτοῦ κλήρους..... Οὐδὲ γὰρ ἑπτὰ νόμοι εἰ-
„ σὶ κατὰ τοὺς ἑπτὰ ἀστέρας, οὐδὲ δώδεκα κατὰ τὰ ζώδια, οὐδὲ
„ τριακονταὲξ κατὰ τοὺς Δεκανοὺς, ἀλλὰ μυρίοι.... Καὶ ἐν
„ ἑνὶ κλίματι, καὶ ἐν μιᾷ χώρᾳ τῶν Ἰνδῶν, εἰσὶν ἀνθρω-
„ ποφάγοι Ἰνδοὶ, καὶ εἰσὶν οἱ ἐμψύχων ἀπεχόμενοι. Καὶ
„ οἱ Μαγουσαῖοι, οὐκ ἐν Περσίδι μόνῃ τὰς θυγατέρας γα-
„ μοῦσιν, ἀλλὰ καὶ ἐν παντὶ ἔθνει ὅπου ἂν οἰκήσωσι, τοὺς
„ τῶν προγόνων φυλάσσοντες νόμους, καὶ τῶν μυστηρίων
„ αὐτῶν τὰς τελετάς..... Ἰουδαῖοι πάντες οἱ διὰ Μωσέως
„ δεξάμενοι νόμον, τοὺς γεννωμένους ἄρρενας παῖδας ἐν τῇ
„ ὀγδόῃ αἱμάσσουσι περιτέμνοντες, οὐκ ἀστέρος παρουσίαν ἀ-
„ ναμένοντες, οὐ κλίματος ἐξουσίαν ἐκτρεπόμενοι, οὐχ ὑπὸ
„ νόμου ἀλλοτρίας χώρας ἀγόμενοι, ἀλλ' εἴτε ἐν Συρίᾳ τυγ-
„ χά-

(1) Εὐσέβ. Εὐαγγ. Προπαρ. Βιβλ. ς'. Κεφ. ι'.

» χαίνουσιν, εἴτε ἐν Γαλλίᾳ, εἴτε ἐν Ἰταλίᾳ, εἴτε ἐν Ἑλ-
» λάδι, ἢ ἐν Παρθίᾳ, ἢ ὅπου ἂν ὦσι τοῦτο ποιοῦσι......
» Καὶ οὔτε οἱ ἐν Παρθίᾳ Χριστιανοὶ πολυγαμοῦσι Πάρθοι
» ὑπάρχοντες, οὔθ᾽ οἱ ἐν Μηδίᾳ κυσὶ παραβάλλουσι τοὺς νε-
» κρούς, οὐχ᾽ οἱ ἐν Περσίδι γαμοῦσι τὰς θυγατέρας αὐτῶν
» Πέρσαι ὄντες, οὐ παρὰ Βάκτροις καὶ Γάλλοις φθείρουσι τοὺς
» γάμους· οὐχ᾽ οἱ ἐν Αἰγύπτῳ θρησκεύουσι τὸν Ἆπιν, ἢ τὸν
» κύνα, ἢ τὸν τράγον, ἢ αἴλουρον, ἀλλ᾽ ὅπου εἰσὶν, οὔτε
» ὑπὸ τῶν κακῶς κειμένων νόμων νικῶνται.

Γ′. Οὐδὲν φασὶν αὐτὸ ἑαυτὸ κινεῖ· ἢ γὰρ ἂν καὶ ἑαυτό τι
ἐκ τοῦ μὴ ὄντος παράγειν δύναιτο. Καὶ δεῖται ἄρα τὰ πάν-
τα, ὥσπερ δὴ τοῦ δωρουμένου αὐτοῖς τὸ εἶναι, οὕτωτοι καὶ τοῦ
εἰς τὸ εἶναι συνέχοντος αὐτὰ, καὶ τοῦ κινοῦντος. Κινοῦνται δή-
τα ὑπὸ τοῦ Θεοῦ καὶ αἱ λογικαὶ φύσεις. Καὶ Θεὸν αὐτὸν ἴ-
σασιν αἴτιον ὄντα τῶν καθ᾽ αὐτὰς προαιρέσεων.

Τὸ μηδὲν αὐτὸ ἑαυτὸ κινεῖν εὐλόγως ἠξιῶσθαι φαμὲν ἐ-
πὶ τῆς σωματικῆς καὶ ἐνύλου φύσεως, τῆς καθ᾽ ἑαυτὴν ἀ-
δρανοῦς τε καὶ παθητικῆς οὔσης τε καὶ λεγομένης. Τῇ δὲ αὖ-
λῳ τὸ δραστήριόν τε καὶ αὐτοκίνητον, προσῆκον τε καὶ ἰδιάζον
εἶναι ἡγούμεθα γέρας. Ταῖς γὰρ οὕτως ἐχούσαις φύσεσι καὶ
δύναμιν ἐνῆκεν ὁ Δημιουργὸς, τοῦ παρ᾽ ἑαυτῶν κινεῖσθαι ἔ-
χειν, καὶ οἴκοθεν προαιρεῖσθαι, οἷα δὴ καὶ τοῦ βουλεύεσθαι.
Ἢ τί καὶ ἔδει βουλῆς αὐταῖς, ὑπὸ ἄλλου βουλητικῶς ἀγομέ-
ναις; Ἡ δὲ κατὰ τὴν αὐτοκινησίαν δύναμις αὕτη, τὴν λογι-
κὴν κτίσιν ὑπὲρ τὴν ἄλογον τάττουσα, τὴν ἐν τῷ Κτί-
σαντι καταγγέλλει ἀπειροτελῆ σοφίαν καὶ δύναμιν. Ψυχὴν
δὲ, οὐκ αὖτις ἔχοι ὅσον εἰπεῖν, τὸ ἀφ᾽ ἑαυτῆς τι κινεῖσθαι,
τῷ ἀφ᾽ ἑαυτοῦ ἐκ τοῦ μὴ ὄντος παράγεσθαι παραπλήσιον τί-
θεσθαι. Τῆς γὰρ δυνάμεως προσούσης μὲν ἐκεῖνο, ἀπού-
σης δὲ τοῦτο· μηδεμιᾶς τῷ μηδενὶ προσούσης δυνάμεως. Καὶ
δεῖσθαι τοίνυν τοῦ παράγοντος, καὶ συνέχοντος Θεοῦ, καὶ τὰς
ψυχὰς αὐτὰς ὁμόλογον, ὡς μὴ ἀναγκαῖον τὸ εἶναι ἐχού-
σας, ἐνδεχομένως δὲ, καὶ κατὰ μετουσίαν παρὰ τοῦ Αὐτοόντος,
εὐθέντοι καὶ καθ᾽ ἑαυτὰς, ἐπὶ τὸ μὴ ὂν, ἀφ᾽ οὗ ἡ πρώτη
γένεσις αὐταῖς, διολισθαινούσας τε καὶ ὑποπιπτούσας. Δεῖσθαι
δὲ καὶ τοῦ κινοῦντος αὐτὰς, οὐχὶ καθ᾽ ἑκάστην τῶν ἰδίων αἱρέ-
σεων αὐτὰς διορίζοντος, καὶ οἷον ὠθοῦντος, (πῶς γὰρ, εἰ
τῷ



τῷ βουλεύεσθαι περὶ τὰ πρακτέα ἔχειν αὐτὰς κατεπλούτι-
σεν;) ἀλλὰ συνέχοντος μὲν αὐταῖς τὸ αὐτοκίνητον τῆς
δυνάμεως, καὶ συντηροῦντος, τῷ δὲ ὀρθῷ λόγῳ, ὃν φύσει
αὐταῖς ἐνῆψε λαμπτῆρος δίκην, διοδηγοῦντος. „ Τοῦτον γὰρ
„ ἁπάσῃ ψυχῇ φυσικὸν νόμον βοηθὸν αὐτῇ καὶ σύμμαχον
„ ἐπὶ τῶν πρακτέων, ὁ τῶν ὅλων Δημιουργὸς ὑπεστήσατο (1).
Οὕτως οὖν καὶ κινεῖσθαι λέγειν ὑπὸ Θεοῦ τὰς ψυχὰς, κατὰ
τὰς θελήσεις δώσομεν, τοῦ αὐτεξουσίου ἀκεραίου τε καὶ ἀβλα-
βοῦς αὐταῖς μένοντος. Ὡς οἵγε ἀμέσως ἐπὶ μιᾷ ἑκάστῃ
προαιρέσει, ὥσπερ ταῖς ὑπ᾽ ἀλλήλων προσβολαῖς τὰ σώμα-
τα καὶ συγκρούσεσι, τὸν Θεὸν ἄγοντα καὶ φέροντα ἐφιστάνον-
τες, ὡς οἱ περὶ Μαλεβράγχιόν τε, καὶ Θωμᾶν ὑπειληφέναι
φέρονται, τὴν λογικὴν οὐχ ὅπως ἀδικοῦσι φύσιν αὐτοὶ, τὸ
κατ᾽ αὐτὴν αὐτεξούσιον σώζοντες μὲν τῷ δοκεῖν, πράγματι
δὲ περιτέμνοντες, ἀλλὰ δὴ καὶ πρὸς Θεὸν αὐτὸν τὰ βλα-
σφημότατα ἀπερεύγονται, ἅμα μὲν τὴν τοῦ παράγειν τὰ
ἀφ᾽ ἑαυτῶν κινεῖσθαι δυνάμενα ἰσχὺν ἀποστεροῦντες, καὶ ὥσπερ
ὡρολογοποιὸν φαῦλον τοῖς τεχνικοῖς τῶν ὡρῶν γνώμοσιν ἐν-
δελεχῶς ἐπικαθίζοντες, ἅμα δὲ καὶ τῶν πλειόνων, ἅπερ
ἀτόπως καὶ παρὰ λόγον αἱροῦνται ἄνθρωποι, τὰς αἰτίας τῷ
Παναγάθῳ προστρίβοντες.

„ Ὢ πόποι· οἷον δήυ Θεοὺς βροτοὶ αἰτιόωνται.
„ Ἐξ ἡμέων γάρ φασι κακ᾽ ἔμμεναι· οἱ δὲ καὶ αὐτοὶ,
„ Σφῇσιν ἀτασθαλίῃσιν, ὑπὲρ μόρον ἄλγε᾽ ἔχουσιν.

„ Ἀλλὰ γὰρ, αἰτία δὴ τοῦ ἑλομένου, Θεὸς ἀναίτιος. Ὃς
τοσοῦτο δεῖ τοῦ τῶν ἐν ἡμῖν προαιρέσεων γίνεσθαι, ὡς αὐτοὶ
φασὶ, παραίτιος, ὅσῳ γε καὶ τοῦ τοῖς προαιρετοῖς εἶναι ὑ-
παίτιος.

Δ′. Εἰ πάντα Θεῷ προγινώσκεται ἀπ᾽ αἰῶνος, καὶ τὰ
ἐφ᾽ ἡμῖν, προγινώσκεται δὲ ἀσφαλῶς, καὶ ἀπταίστως· γίνε-
ται ἄρα ἀσφαλῶς καὶ ἀπταίστως· ὥστε συμπαρακολουθεῖ ἡ
τάξις τῶν ἡμῖν πραττομένων, τῇ τάξει τῶν ὑπὸ Θεοῦ γινω-
σκομένων, μὴ ἐξὸν ἄλλως μὲν λέγειν ὑφ᾽ ἡμῶν γίγνεσθαι,
ἄλλως

(1) Εὐσέβ. Εὐαγγ. Προπαρ Βιβλ. ϛ′.

ἄλλως δέπως ὑπ' ἐκείνου προεγνῶσθαι. Τῆς ἄρα τάξεως τῶν ἐσομένων ἐν τῇ τοῦ Θεοῦ προγνώσει ἀμεταθέτως ἐχούσης, καὶ ἡ τῶν ἐφ' ἡμῖν τάξις ἀπαραίτητος ἔσται· ὡς μηδὲ ἐφ' ἡμῖν εἶναι ταῦτα γίνεσθαι, ἢ μὴ γίνεσθαι, ἀλλ' ἐπανάγκες εἶναι γίνεσθαι. Ἄρα κτ.

Ὁ μὲν οὖν λόγος οὗτος, ὃς καὶ θεολογικὸς ἐστὶν, ὡς ἐκ τῆς θείας προγνώσεως εἰλημμένος, πολὺς ἔδοξεν εἶναι, ἐπ' ἀναιρέσει τοῦ αὐτεξουσίου, τὴν ἰσχύν. Διὸ καὶ τῶν Σχολαστικῶν Ἁρμαχανός τις ὄνομα, καὶ Καϊετάνος ἕτερος, ὁ καὶ τῇ Καρδιναλείῳ πορφύρᾳ σοβήσας, πρὸς τὸ μέγεθος τῆς ἀπορίας ἀπειρηκότες, ὁ μὲν ἐπὶ εἰκοστὸν ἔτος, ἢ λέγεται (1) περὶ τὴν ἐπίλυσιν σφαδάσας, ὁ δὲ εἰς τὸν εἰσέπειτα αἰῶνα τὴν λύσιν εἶναι ὑπερθετέαν ἀποφηνάμενος, οὐδὲν ἔχων ὅ,τι καὶ εἴποιεν λόγου ἄξιον. Φησὶ δὲ καὶ Αὐγουστῖνος, (2) ὡς ὁ Ῥωμαῖος Κικέρων τουτέστι ἐν τοῖς περὶ Μαντικῆς Βιβλίοις αὐτοῦ διηπορηκώς, (3) μᾶλλον εἵλετο τὴν πρόγνωσιν τῶν Θεῶν ἀποσκευάσαι, ἢ τὸ ἐφ' ἡμῖν παρακινῆσαι, καὶ ut nos faceret liberos, fecit sacrilegos, ἵνα ἐλευθέρους ἡμᾶς ἀναδείξῃ, ἱεροσύλους ἀπέφηνε. Πρὸς γεμὴν τὴν ἀπορίαν ὁ ἱερὸς οὗτος ἀνὴρ εὐστόχως μάλα ἀπήντηκεν. „ Μηδὲ γὰρ ἕπεσθαι, τοῦ Θεοῦ τὴν γνῶσιν τῶν αἰτίων „ ἁπάντων βεβαίως προέχοντος, μηδὲν περὶ τοῦτο „ ἐφ' ἡμῖν εἶναι. Καὶ γὰρ καὶ αὐταὶ ἡμῶν αἱ θελήσεις, „ ἐν τῇ τάξει τῶν αἰτίων εἰσίν. (4) Ἀμέλειτοι γὰρ πάντα προειδὼς ἀπ' αἰῶνος, καὶ τὰς ἡμετέρας αὐτὰς θελήσεις προέγνω· καὶ ὡς ἐλεύθεραι ἔσονται, καὶ ὡς ἐλευθέρως τῷ κατ' αὐτὰς αὐτεξουσίῳ προσχρήσονται. Οὕτω δέτοι προεγνωκότος τοῦ Θεοῦ, εἰμὴ δέοι ἐψευσμένην τινὰ τὴν τῶν ἐσομένων γνῶσιν ἐκεῖνον λέγειν προειληφέναι, εἰκὸς ἡγεῖσθαι ἐλευθέρας εἶναι τὰς θελήσεις καὶ αὐτεξουσίους, ἅττα ἂν βού-

(1) Παρὰ Γενσίου. ἐν Β'. Μέρ. τῆς Μεταφ. Κεφ. δ'. in Appendice §. 36.
(2) Βιβλ. Γ'. Περὶ Θεοῦ Πόλ. Κεφ. Ϛ'.
(3) Βιβλ. Β'.
(4) Αὐγ. ἔνθ. ἀνωτ.



βούλοιντο, προαιρεῖσθαι, λόγος δὲ τοῦ τοιούτου, ἐπείτοιγε προγνοὺς, οὐχὶ καὶ προδιετάξατο, οὐδέτι εἰς ὑπόστασιν τῶν ὄντων συμβάλλεται τὸ τῆς προγνώσεως, εἰ τοῦτο μόνον πρόγνωσις εἴη. „ Ὥσπερ γὰρ δὴ ἡ τῶν παρῳχηκότων μνήμη, „ οὐδὲν ἀναγκάζει τὰ γεγονότα εἶναι (εἴγε ταῦτα δηλονότι ἐλευθέρως ἐγένετο.) „ οὕτως ὁ Θεὸς τῇ κατ' αὐτὸν προ„γνώσει οὐκ ἀναγκάζει (τουτέστιν οὐκ ἀναγκαίως ἔσεσθαι „ ποιεῖ τὰ ἐσόμενα, (εἴπερ δηλ. ἐλευθέρως ταῦτα ἔσται.) (1). Καὶ ἡ μὲν πρόγνωσις ἐν τῷ Θεῷ προαιώνιος, τὰ δὲ γινωσκόμενα ἐν χρόνῳ τε καὶ ὑπὸ χρόνον. Κἀκείνη μὲν ἄπειρος, τὰ δὲ πεπερασμένα, καὶ ἡ μὲν ἄτρεπτος, τὰ δὲ τρεπτὰ καὶ ἀλλοιωτά. Κατὰ τὸν αὐτὸν ἄρα λόγον ἐκείνη μὲν ἀναγκαία τε καὶ ἀμετάθετος, τὰ δὲ ἐνδεχόμενα, καὶ ἐφ' ἡμῖν πρὸς τὸ οὕτως, ἢ ἄλλως ἔχειν κείμενα.

Ε'. Ἆρ' οὖν οὐκ ἄμεινον ἦν ἀγαθοὺς ἀνάγκῃ γίνεσθαι, ἢ ἐλευθερίας ὀνόματι ἐξεῖναι κακίαν αἱρεῖσθαι;

Αὕτη δὴ ἡ τοῦ περὶ τῷ Γαζαίῳ Αἰνείᾳ Θεοφράστου (2) πρότασις. Πρὸς ἣν Ἀξίθεος εὖ μάλα, καὶ τοῦ Θεοῦ ἀξίως ἀπήντηκεν. „ Καὶ τίς αὕτη γένοιτ' ἂν (εἰπὼν) ἀ„ρετὴ, δουλείαν ἠναγκασμένῃ ψυχῇ; Βίαιον γὰρ οὐδὲν „ κάλλιστον μάθημα· οὐδ' ἀνάγκη τὸ γινόμενον πρὸς εὐφη„μίαν ἐπιτήδειον. Πῶς δὲ ἀμείνων ὁ ἄνθρωπος ἦν, εἰ „ λίθινος ἦν, ὅπου βούλοιτο ὁ τεχνίτης περιφερόμενος, ἢ „ τινὰ φθόγγον παρ' ἑαυτοῦ παρεχόμενος, ὃν εἰς τὴν ὅλην „ ἁρμονίαν ὁ Δημιουργὸς συντάσσει καλῶς; (3) Τούτοις σύμφωνα τὰ τοῦ Εὐσεβίου (4)· τὸ γὰρ δίκην ἀψύχων λέγειν κι„νεῖσθαι ἡμᾶς, τῇδε, καὶ τῇδε ὑπό τινος ἔξωθεν δυνάμεως „ νευροσπαστουμένους, εἰς τὸ ἐπ' ἀνάγκαις ἐθελῆσαι τόδε πρᾶ„ξαι, καὶ ἕλεσθαι παρὰ προαίρεσιν ἕτερα, πῶς οὐκ ἂν εἴη „ ἀναιδὲς καὶ ἀναισχυντότατον; Οἱ γοῦν τοιαῦτα ἀποροῦντες αὐ-

(1) Αὐγ. Βιβλ. Β'. περὶ Αὐτεξ. Κεφ. δ'.
(2) Ἐν Διαλόγ. περὶ Ἀθαν. Ψυχ.
(3) Αὐτ. Αὐτ.
(4) Εὐαγγ. Προπαρασκ. Βιβλ. ϛ'. Κεφ. ϛ'.

αὐτὴν, δοκοῦντες καλλίονα ζητεῖν, τὴν ἀνθρώπου φύσιν, ἄρδην ἀναστρέπουσι, τὸ κάλλιστον ὧν ἔχει καὶ οὐσιωδέστατον ἀφαιρούμενοι. (§. ωμβ'. ωμγ'.) „ Καὶ τὸν Θεὸν αἰτιώμενοι ὅτι οὐκ ἐποίησε τὸν ἄνθρωπον κακίας ἀνεπίδεκτον, „ ἀλλ' αὐτεξούσιον, λανθάνουσιν ἑαυτοὺς αἰτιώμενοι τὸν Θεὸν, „ ὅτι λογικὸν ἐποίησε τὸν ἄνθρωπον, καὶ οὐκ ἄλογον. (1) Ἀλλὰ γὰρ λόγους πρὸς τοὺς τοιούτους (ἀρέσκει γάρ μοι τοῖς Οἰνομάου πρὸς Χρύσιππον, καὶ τοὺς ἄλλους τοὺς καταδουλοῦν πειρωμένους τὸ ἐν ἡμῖν αὐτεξούσιον, χρήσασθαι ῥήμασι) λό- „ γους δὴ οὐκέτι πρὸς αὐτοὺς ποιησόμεθα, σκύτος δέ τι τῶν „ εὐτόνων λαβόντες, ὡς ἐπ' ἀναγώγους παῖδας τὰς πλευρὰς „ εὖ μάλα καταξανοῦμεν τοὺς αὐτῶν.

## Θεώρημα ΞΗ'.

§. ωμς'. „ Τὰ λεγόμενα πάθη, (ἃς ζωτικάς τινας ὀρέξεις μετὰ συντόνου καὶ σφοδρᾶς κινήσεως τῶν ἐν τῷ σώματι ὑγρῶν, καὶ μάλιστα τοῦ αἵματος, καὶ τοῦ πνεύματος τοῦ ψυχικοῦ εἶναι φαμὲν (§. χπς'.) οὔτ' ἐν μόνῳ τῷ σώματι, ὡς ἐν ὑποκειμένῳ κείμενα ἐστὶν, οὔτ' ἐν τῇ ψυχῇ „ μόνῃ καθ' ἑαυτὴν, ἀλλ' ἐν τῷ συναμφοτέρῳ.

Εἰ γὰρ ὀρέξεις τινὲς τὰ πάθη ταῦτα τίθεται εἶναι (ἐξ ὑποθ.) ἐν τῇ τὸ ὀρεκτὸν κεινούσῃ ψυχῇ (§. ωκα'.), καὶ πρὸς αὐτὸ, ἢ ἀπ' αὐτοῦ φερομένη, κείσονται πάντως. Εἰ δὲ καὶ μετὰ κινήσεως τῶν ἐν τῷ σώματι ὑγρῶν ἐπισήμου, (ἐξ ὑποθ.) καὶ ἐν τῷ σώματι δῆλον ὅτι. Ἄρα κτ.

## Πορίσματα.

§. ωμζ'. Α'. Καὶ ποιά τις αἴσθησις ἄρα τὸ πάθος ἂν εἴη, ὡς κατὰ κοινωνίαν τῆς ψυχῆς συμβαῖνον μετὰ τοῦ σώματος.

(1) Νεμέσ. περὶ Ἀνθρώπου Κεφ. μα'.



τος. (§. ψξέ. ψξς'. κξ.) Ἡ οὐκ ἄνευ αἰσθήσεως. „ Ταύ- „ τῃ τοι καὶ τοῖς πάλαι κίνησις εἶναι τῆς ὀρεκτικῆς δυνά- „ μεως αἰσθητὴ, ἐπὶ φαντασίᾳ ἀγαθοῦ, ἢ κακοῦ (1) τὸ πάθος ὥρισται. Ἥτε διαίρεσις τῆς ὀρέξεως εἴς τε τὴν λογικὴν, καὶ ἀπαθῆ, οἵα ἡ κατὰ τὴν βούλησιν εἶναι λέγεται (§. ωλς'. ωλζ'.) καὶ τὴν αἰσθητικήν τε καὶ ἐμπαθῆ ἔδοξεν ἔχειν εὖ (2). Ὅ,τε Νεώτερος Καρτέσιος perceptiones, „ aut sensus, aut commotiones animæ (3) προσλήψεις, „ ἢ αἰσθήσεις, ἢ ταραχὰς τῆς ψυχῆς οὐκ ἀπεικότως τὰ παθήματα ἀπέδωκεν ὁρισάμενος.

Β'. Διαφέρει δὲ ἡ κατὰ τὰ περὶ ὧν ὁ λόγος πάθη, τῆς κοινοτέρας αἰσθήσεως. α. ὅτι ἡ μὲν ἁπλῶς αἴσθησις, διὰ κινήσεως προσηνοῦς τε καὶ ἀταράχου, καὶ τῇ ἁρμονικῇ τοῦ ζώου συστάσει προσηκούσης τελεῖται, ἡ δὲ μετὰ κινήσεως σφοδροτέρας ἐνσκήπτει τῷ ζώῳ, καὶ πολλῷ αὐτοῦ τῷ αἵματι, καὶ τῷ ψυχικῷ πνεύματι ἐνεγειρούσης τὸν σάλον καὶ τάραχον. „ Διὸ δὴ κίνησις παρὰ φύσιν τῇ ὁρμῇ πλεονάζουσα εἶναι „ εἴρηται. (4) χρῆναι δὲ ἔχειν τὸ πάθος, ὑπεξέθη, καὶ „ μέγεθος ἀξιόλογον (5). β. Ὅτι ἡ μὲν αἴσθησις, τῇ γνώσει τοῦ αἰσθητοῦ καθ' ἑαυτὴν ἠρεμεῖ· τὸ δέ γε πάθος καὶ ὀρέξει συνῆπται· ἔχει τε, ὡς αὖτις ἀναλογισάμενος εἴποι, ὡς ὁ νοῦς πρὸς τὴν βούλησιν, οὕτω καὶ πρὸς τὸ πάθος ἡ αἴσθησις.

Γ'. Ἔνθεν τοι καὶ ἅπαν μὲν πάθος αἴσθησις ἐστὶν, οὐ πᾶσα δὲ πάθος αἴσθησις.

Δ'. Καὶ ἡ ψυχὴ δὲ χωριζομένη τοῦ σώματος, ὥσπερ οὖν καὶ πᾶσα ἄϋλος φύσις, τῶν τοιούτων παθῶν ἀνεπίδεκτος ἐστὶν, οἷα περ καὶ ἁπλῶς τῆς αἰσθήσεως. (§. ψξζ'.)

Ε'. Κατὰ δὲ τὴν ἀναισθησίαν παντελῆ τῶν κτηνῶν κατηγο-

(1) Νεμέσ. Κεφ. ις'.
(2) Πυρχέτ. Μεταφ. Μέρ. Β'. Κεφ. Ε'. Βουδδέϊς. Πνευματολ. Κεφ. Θ'. §. 230.
(3) Καρτέσ. περὶ Παθ. Μέρ. Α'. Ἄρθρ. 27.
(4) Ἀνδρόνικ. Περιπατ. παρὰ Γεράρ. Βλάχ. ἐν Ἀρμ.
(5) Νέμ. Αὐτ. Κεφ. ις'.

γοροῦντας, ἀπαραιτήτως κατηγορητέα τῶν αὐτῶν, σὺν αὐτῇ τῇ τῆς ὁποιασοῦν γνώσεως (§. ψξθ΄.) καὶ αὐτῆς τῆς ὀρεκτικῆς δυνάμεως ἡ ἀπουσία. Καὶ οὐδὲ πεινάσει κατ᾽ αὐτὰς τὰ κτήνη κυρίως εἰπεῖν, οὐδὲ διψήσει, οὐδὲ πρὸς συνουσίαν ἐξοιστρηθήσεται ὅλως, οὐδὲ μὴ κομιδῇ ἀλγήσει ποτὲ καίτοι μεληδὸν κατατεμνόμενα καὶ σπαραττόμενα, οὐ μᾶλλον ἢ τὰ φυτὰ ἐκπρεμνιζόμενα, καὶ ἀποφλοιούμενα. Ὅθεν δὴ τοῖς θαυμαστῶς οὕτω φιλοσοφοῦσιν, οὐδὲ τὴν ἄλογον ὄρεξιν, ἄλογον εὐλόγως ὀνομαστέον, πλὴν ὅσον ἐν ἀνθρώποις τοῖς νοῦ καὶ λόγου μετέχουσι, βουλῆς οἱασοῦν ἡγεῖται καὶ σκέψεως.

## Θεώρημα ΞΘ΄.

§. ωμη΄. „Ἐπὶ τῶν ὀρεκτικῶν παθῶν, συμβαίνει τις „τῇ ψυχῇ καὶ τῷ σώματι ἀμοιβαία ἀλληλενέργεια, εἴτ᾽ οὖν „ἀλληλοπάθεια, κἂν ὁ τρόπος ᾖ ἡμῖν ἀγνοούμενος.

Τὸ δὴ Α΄. μέρος, ἐξ αὐτῆς δῆλον τῆς συνειδήσεως. Ἐπειδὴ γὰρ οὐδ᾽ ἐν μόνῃ τῇ ψυχῇ ἐνιδρυμένον τὸ πάθος ἐστίν, οὐδ᾽ ἐν μόνῳ τῷ σώματι, ἀλλ᾽ ἐν τῷ συναμφοτέρῳ (§. ωμς΄.) καὶ ποιά τις αἴσθησις ἐστὶν αὐτὸ κατὰ κοινωνίαν (§. ωμζ΄.) τῶν τε ἔσω καὶ τῶν ἔξω τῶν ἐν ἡμῖν περαινομένων, ὁποτέρωθεν οὖν τὸ πάθος, τὸ ἐνδόσιμον σχοίη, ἐπὶ θάτερον ἀνάγκη μεταχετεύεσθαι, καὶ ὑπ᾽ ἀλλήλων οὕτως ἐν τοῖς πάθεσι, τὰ ἐξ ὧν ὁ ἄνθρωπος συγκεκρότηται, ἄγεσθαι, καὶ φέρεσθαι, ὡς μηδὲ τὸ σῶμα ἀτρεμεῖν πεφυκέναι, τῆς ψυχῆς πρὸς τοῖς ἐμπαθῶς ὀρεκτοῖς ἐχούσης, μηδὲ τὴν ψυχὴν ἀνάπαλιν ἀδιαφορεῖν, τοῦ σώματος προσπαθέστερον συνταρασσομένου. Ὅρα ἐν ταῖς ὑποθέσ. (§. χπη΄.)

Ἀλλὰ καὶ τὸ Β΄. οὐδεὶς ἂν οὕτω θρασὺς δογματιστὴς εἶναι θελήσειεν, ὡς οὐκ ἂν ἐκ πολλοῦ τοῦ περιόντος αὐτῷ τὴν τοσούτου πράγματος προσμαρτυρήσειεν ἄγνοιαν. Εἰ γὰρ ὅπως ἡ ψυχὴ πνεῦμα οὖσα, τοῦ ὁπωσοῦν κινεῖσθαι, παραίτιος τῷ σώματι γίνεται (§. ψξα΄.) ἀνείκασον ὅλως καὶ ἀτέκμαρτον, ἡμῖν τε καὶ πᾶσι τοῖς ἐπιεικῶς φιλοσοφοῦσι φθάσαν προανωμολόγηται, πόσῳ δὴ μᾶλλον ἐν ἀγνοίας ἀδύτοις ἀποκείσεται ὁ λόγος, καθ᾽ ὃν ἀνάπαλιν ἡ ὕλη, οἵα ἂν ᾖ, δια-



διάθεσιν καὶ ἀλλοίωσιν ὁποιανοῦν τῇ ψυχῇ πνεῦμα οὔσῃ προσεμποιῆσαι; Ἄρα, κτ.

## Σχόλιον.

§. ωμθ΄. Τῆς ψυχῆς τι τῶν καταθυμίων αὐτῇ ὄντων ἀ-
νασπεφούσης τοῖς λογισμοῖς, ῥᾷον πως αὐτίκα καὶ ἑτοιμοτέ-
ρα γίγνεται τοῦ αἵματος ἡ φορά, πλείων δὲ καὶ δαψιλεστέρα
τοῦ πνεύματος ἡ διάχυσις. Ἄττει δέ πως ἡ καρδία, πλα-
τύνονται δὲ σφυγμοί, ὄμμα δὲ χαροπόν, καὶ πρόσωπον ἐν
φαιδρότητι θάλλον, τῷ τε ἐπανθοῦντι τῆς χρόας ἐπίσημον
παρεπιδεικνυμένης τὸ γαῦρος, καὶ τῷ ἐπιτρέχοντι τοῦ μειδιά-
ματος, τἄνδον τῆς ψυχῆς λαμπρῶς καταγγέλλει· τοὐναντίον
δὲ εἴ τι τῶν ἀηδεστέρων τῇ ψυχῇ διενθυμηθῆναι ἐπέλθοι,
καὶ τῷ σώματι αὐτῷ ταῖς εἰρημέναις διαθέσεσι τὰς ἐναν-
τιωτάτας ἐπισυμβαίνει παθαίνεσθαι· ὠχρός τε γὰρ εἶλε πα-
ρειὰς καὶ βλέμμα σκυθρωπόν, καὶ στεναγμὸς πολλάκις καὶ
δάκρυον, σφυγμοί τε στενούμενοι, καὶ τὸ σπλάγχνον τῆς καρ-
δίας ὑπεκλεῖπον, καὶ πνεῦμα, καὶ αἷμα νωθέστερά τε κατα-
στάντα εἰς κίνησιν, καὶ ἀμβλύτερα, τῆς ψυχῆς ἀειδήλως τὴν
ἀθυμίαν μηνύει. Εἶτ᾽ ἀνάπαλιν τοῦ σώματος κακουμένου
μένου, καὶ τοῖς ἀλγεινοῖς κατατεινομένου τῇ ψυχῇ ἐκ τοῦ αὐτο-
λάθου δυσθυμία καὶ λύπη, προσηνῶς δὲ καὶ ἡδέως διατιθεμέ-
νου, εὐθυμία καὶ γῆθος. Καὶ ἐν θυμοῖς δέ, καὶ ἐπιθυμίαις,
καὶ ἐλπίσι, καὶ φόβοις, οὕτως ἀπαραίτητος ἐστὶ καὶ ἄφυκτος ἡ
τῶν μερῶν αὐτῇ ἀλληλοπάθεια, ὡς ταύτης ἀρθείσης μηδὲ
τὸ πάθος συνίστασθαι. Διὸ καὶ εἴ τῳ ἐκ μακρᾶς ἕξεως, ἢ
μᾶλλον ἐκ θείας τινος μοίρας, ἀσυμπαθῆ ἔχειν περί τι
τῶν ἔσω τὰ ἐκτὸς γένηται, ἢ ἀνάπαλιν, τῷ τῆς ἀπαθείας
πλεονεκτήματι τὸν τοιοῦτον περισεμνύνειν εἰώθαμεν, τῆς ἐν
αἵματι καὶ σαρκὶ ἀσθενείας τιθέμενοι κρείττονα. Τῇ μὲν οὖν
Πηνελόπῃ ἐν τῇ περὶ ἧς ὁ λόγος ἀλληλοπαθείᾳ τὸ πά-
θος καταφαίνεται.

Ὣς τῆς τήκετο καλὰ παρήϊα δακρυχεούσης.
„ Κλαιούσης ἑὸν ἄνδρα παρήμενον. Αὐτὰρ Ὀδυσσεὺς

 τῷ

τῷ ἀσυμπαθεῖ τῶν ἔξω πρὸς τὰ ἔσω κινήματα θαυμασίως παρέφαινε τὴν ἀπάθειαν. Καὶ γὰρ

„ Θυμῷ μὲν γοόωσαν ἐλέαιρε ἣν γυναῖκα,
„ Ὀφθαλμοὶ δ' ὡσεὶ κέρα ἕστασαν, ἠὲ σίδηρος.
„ Ἀτρέμας ἐν βλεφάροισι, δόλῳ δ' ὅγε δάκρυα κεῦθεν.

Ὁ δὲ ἐν τῇ τοῦ πλεονάζοντος ὑφαιρέσει τὸ μετριοπαθὲς παρεπιδεικνύμενος, τὸν ἄνθρωπον ἐλέγχει, οὗ συνδιατίθεται μὲν ὑπ' ἀλλήλων κατὰ φύσιν τὰ μέρη, κολούεται δὲ τὸ χεῖρον, τῷ κρείττονι ὑπεῖκον καὶ ὑπερέχοντι. Καὶ καλῶς πάλιν Ὅμηρος εἰπών·

„ Τοῦ δ' ἀγαθοῦ οὔτ' ἂρ τρέπεται χρὼς, οὔτε λίην
„ Ταρβεῖ,
„ Τὸν φόβον οὐκ ἀφεῖλεν, ἀλλὰ τὸν ἄγαν φόβον, ἣ καλῶς τῷ Πλουτάρχῳ σεσημείωται·

Ἀλλὰ γὰρ (ὅ τὸ Β'. ἦν) τίς ἂν ἐξειπεῖν ἔχοι, καὶ διερμηνεῦσαι ὅπως ἡ ψυχὴ ὑπὸ τοῦ σώματος ἄγεσθαι καὶ φέρεσθαι πέφυκεν; ὅπως ἡ ἄϋλος φύσις, ᾗ μηδὲν παρὰ τὸ γινώσκειν καὶ ἁπλῶς βούλεσθαι, προσῆκον εἶναι κατ' οὐσίαν νοεῖται, τὰς κατὰ τὰς εὐθυμίας καὶ δυσθυμίας, ἐπιθυμίας τε καὶ ὀργὰς, καὶ ἐλπίδας, καὶ πτοίας, καὶ τὰς λοιπὰς, ὅσαι τοιαῦται μέσως εἰσὶν, ἀλλοιώσεις, καθ' αὑτὴν τρέπεσθαι καὶ ἀλλοιοῦσθαι δύναται; τῶν δὲ τοιούτων καὶ ἐπιτάσεως καὶ ἀνέσεως οὐκ ἀνεπιδέκτων ὁμολογουμένων, πῶς ἡ ἀπλουστάτη οὐσία, τὸ κατ' αὐτὰς μᾶλλον ὑποστήσεται καὶ τὸ ἧττον; Διὰ τοῦτο γοῦν καὶ πολλοῖς ἐπῆλθε τῶν Νεωτέρων, ἀρχαῖον δόγμα ἀνορύξαι ἐκ πολλοῦ κείμενον, καὶ μέσην τινὰ ψυχῆς καὶ σώματος, οἷον ψυχὴν ἄλλην ὑποθέσθαι τὴν τὰ πάθη τῆς ἀλογίας, καὶ τὰς κατ' αὐτὰ ἀλλοιώσεις ἀναδεχομένην (1), ὃ δὴ πάλαι τοῖς περὶ Πλάτωνα ἐπρεσβεύετο. Ὑπὲρ οὗ καὶ Πλούταρχος ὁ Χαιρωνεὺς ἵσταται (2) περὶ τὴν τῆς ἐκ ψυχῆς καὶ σώματος ἐν ἀνθρώπῳ διπλόην, ἥτις (ᾗ φησὶν) ἡ ἐμ-

(1) Γασσενδ. Κυδβόρτ. καὶ ἄλλοι παρὰ Γενουενσ. ἐν Β'. Μέρ. τῆς Μεταφ. Ὀρ. α'. Σχόλ. Καὶ ὁ αὐτ. ἐν Προτ. ιε'. Ἀριθμ. 5.

(2) Ἐν τῷ περὶ τῆς Ἠθικ. Ἀρετῆς.



ἡ ἐμφανεστέρα ἐστὶ, καὶ ἑτέραν μίξιν εἰσάγων „ καθ' ἣν αὐ-
„ τὴ ἐστὶ τῆς ψυχῆς ἐν ἑαυτῇ συνθετόν τι, καὶ διφυὲς, καὶ
„ ἀνόμοιον, ὥσπερ ἑτέρου σώματος τοῦ ἀλόγου πρὸς τὸν λό-
„ γον ἀνάγκῃ τινὶ καὶ φύσει συμμεμιγμένου, καὶ συναρμοσθέν-
„ τος. Εἴτε τοῦ Πυθαγόρου τεκμαιρόμενος, τοῦ διὰ τῆς Μουσικῆς τὸ ἄλογον τοῦτο κηλεῖν καὶ παραμυθεῖσθαι σπουδάσαντος, καὶ ἐκ τοῦ Πλάτωνος ἀναμφίδοξον τιθέμενος, τὸ, ὥσπερ οὖν τὴν τοῦ παντὸς ψυχὴν, οὕτω τοι καὶ τὴν ἀνθρώπου, ἐκείνης οὖσαν ἀπόμοιραν, μὴ ἁπλῆν εἶναι καθ' αὑτὴν οὐδὲ μονοειδῆ τινα, οὐδ' ἀσύνθετον. Ἡ μέντοι τῆς τρίτης ταύτης οὐσίας θέσις, ἄτοπός τε ἐστὶ, καὶ οὐδὲν εἰς διασάφησιν τοῦ κατὰ τὰ πάθη συμβαίνοντος τῇ ψυχῇ συνεισφέρουσα, οὐδὲν ἐλασσόνων, εἰ μὴ καὶ πλειόνων δυσχερειῶν τὸ πρᾶγμα ἐμπιπλῆσιν. Εἰ γὰρ ἀΰλοντι κἀκεῖνο, πῶς τῇ ὕλῃ συμπεπλεχθήσεται; πῶς ὑπὸ τοῦ σώματος πείσεται; εἰ δ' ὑλικόν τι, ὅσον ἂν καὶ διαφέροι λεπτότητι τὸν τῆς ὕλης λόγον μὴ ἀποβάλλουσα, πῶς αὖθις τῷ ἀΰλῳ τῆς ψυχῆς κοινωνήσει, τῶν ἃ παθαίνεται. Εἰ δ' οὐκ οἶδ' ὅ,τι τούτων οὐδέτερον εἶναι φήσωσιν, αὐτοὶ δὴ, ζόφῳ ζόφον προσεπιχέουσι, καὶ ἀγνοίᾳ ἐκ μέσου ποιῆσαι πειρῶνται τὴν ἄγνοιαν. Εἰ δὲ πέως μηδὲν τῆς ψυχῆς ὑπὸ τῶν παθῶν κινεῖσθαι τὸ λογικὸν λέγωσι, τὸ δέ τοι ἄλογον, θαυμαστὸν ὅσον πάλιν ἐκθρώσκει τοῦ λόγου ἀπορειῶν οὐκ ἐρῶ σμικρὸς, ἀλλὰ σφηκίαν. Τί γὰρ, τοῦ τὴν ἁπλῆν ψυχὴν ἐξ ἐναντίων συγκροτεῖν ἐθέλειν ἀλογώτερόν τε, καὶ βιαιότερον; Πῶς δὲ οὐδὲν ἐκ τοῦ πάθους τῷ λογικῷ ἐπισυμβαίνει, εἰ τούτῳ ἐκείνῳ συνδιαστρέφεται; πῶς δ' οὐδὲν ἐκ τοῦ λογικοῦ τῷ ἀλόγῳ, εἰ ὑπ' ἐκείνου τοῦτο μορφοῦται, καὶ διευθύνεται; Ἀλλ' οὐδὲν ἐπιεικῶς ἐκ τοῦ πλάσματος ὄφελος. Καὶ ὁμολογητέον πάνυ, τὴν μὲν τῶν ἐν ἀνθρώπῳ μερῶν κατὰ τὰ πάθη ἀλληλοπάθειαν, ὡς ἐναργές τι δόγμα καθ' ἑαυτὸ, καὶ αὐτόπιστον. Συνομολογητέον δὲ τῷ δόγματι καὶ τὸν τρόπον εἶναι ἀπερινόητον, οἷα πολλὰ τῶν ἐν τῇ Φιλοσοφίᾳ καὶ ἄλλα, ὧν τοῦ ὅτι ἐστὶ γινωσκομένου, τὸ ὅπως τε καὶ διατί ἐστιν, ἠγνόηται.

## Πορίσματα.

§. ων΄. Α΄. Ὀρθῶς οὖν ἔχον ἐντεῦθεν μοι δοκεῖ ἀποφαίνεσθαι ὡς αἱ κατὰ τὰ πάθη ὁρμαὶ, ὁτὲ μὲν ἀπὸ τῆς ψυχῆς, ὡς ἐξ αἰτίας ἐγείρεσθαι ἄρχονται, ὁτὲ δὲ ἐξ αὐτοῦ τοῦ σώματος. Διό μοι καὶ ὁ τὸ περὶ παθῶν ἐκπονήσας Νεώτερος (1) οὐκ ἀκριβὴς, ὁ τῇ κινήσει τοῦ ζωτικοῦ πνεύματος, ὡς αἰτίῳ παρακτικῷ τὰ πάθη ἀνατιθέμενος, ὅ,τε τοῦτον ἀποθειοῦν νομίζων, ὡς δῆθεν τὴν τάξιν τῆς φύσεως διαστρέψαντα, καὶ τῇ ἐνούσῃ ψυχῇ προκαταρκτικῶς τὰ πάθη ἀποδιδοὺς (2) οὐ πάνυ τοι δίκαιος. Τὸ γὰρ δὴ ταῖς ἀντιλήψεσι τῶν ἀγαθῶν ἢ κακῶν τὰ πάθη πρώτιστα διεγείρεσθαι ἀληθὲς ὂν οὐδὲν ἧττον, ἢ τῇ παραυξήσει τε καὶ παραμονῇ τῇ ἐκείνων συνεπιδιδόναι ταῦτα, καὶ ἐπιῤῥώννυσθαι (§. χπα΄.) οὐδὲ τοῦτο ψευδές ἐστιν, ὡς ποτὲ μὲν σωματική τις προσβολὴ, καὶ διάθεσις ἔξωθεν ἐπιοῦσα τὴν ἀντίληψιν ἐνειργάσατο, ὑφ᾽ ἧς ἡ ὁρμὴ, καθ᾽ ἣν τὸ πάθος· ἄλλοτε δ᾽ ἀνάπαλιν ἡ ψυχὴ αὐτὴ, καὶ ἄνευ τῆς ἐκ τοῦ σώματος ἀφορμῆς, τῷ τε ὀρεκτῷ ἐξ ἑαυτῆς προσέσχε, καὶ τὴν ἐν τῷ σώματι τρικυμίαν αὐτοβουλήτως ἐκίνησε.

Β΄. Ὅτι δὲ τὰ πάθη οὐκ ἔξω τῆς τοῦ λόγου γίνεται ἐπικρατείας αὐτόθεν καταφανές. Ἐπειδὴ γὰρ τῶν παθῶν, νῦν μὲν τὸ σῶμα προκατάρχει, νῦν δ᾽ ἡ ψυχὴ αὐτοκινήτως καθάπερ εἴρηται (ἀνωτ.) τῷ ἴσῳ λόγῳ ἡ ψυχὴ παρ᾽ ἑαυτῇ κείμενον ἔχει, ὥσπερ δὴ τὸ μὴ εἰς πάθος τοῦ σώματος ἡγεῖσθαι, οὕτω τοι τὸ μηδὲ ἕπεσθαι. (ὅρα §. χπζ΄. καὶ §. ωμδ΄. Ἀριθμῷ Γ΄.) Διὰ τοῦτο δὴ τοῦ ἀλόγου εἰς τὸ ἐπιπειθὲς τῷ λόγῳ, καὶ μὴ, παρὰ τῷ Ἀριστοτέλει (3) διῃρημένου, τὰ πάθη ἐπιπειθῆ τῷ λόγῳ καὶ κατήκοα εἴρηται γίνεσθαι, „ ὅτι „ πέ-

(1) Καρτέσ. Περὶ Παθ. Μέρ. Α΄. Ἄρθρ. 27.
(2) Γενουένσ. Μεταφ. Μέρ. Β΄. Ὁρισμ. ιέ. Σχόλ.
(3) Ἐν τοῖς Ἠθικοῖς.



„ πέφυκε πείθεσθαι λόγῳ, καὶ κινεῖσθαι, ὡς ἂν ὁ λόγος „ κελεύῃ ἐπὶ τῶν κατὰ φύσιν ἐχόντων ἀνθρώπων (1).

## Θεώρημα Ο΄.

§. ωνα΄. „ Ἀχωρίστως τοῖς πάθεσιν ἡδονῆς, ἢ λύπης „ παρέπεται αἴσθησις, κατὰ τὸ μᾶλλον, καὶ ἧττον.

Ἡ γὰρ κατὰ τὰ πάθη τῷ τε ζωτικῷ πνεύματι, καὶ τοῖς ἄλλοις ὑγροῖς, καὶ διὰ τούτων τοῖς στερεοῖς ἐγγινομένη ἀλλοίωσις, ἤτοι, ὡς ἡ κατὰ φύσιν τοῦ σώματος ἀπαιτεῖ ἁρμονία τελεῖται, κἀντεῦθεν ἡδονῆς, ἢ οὐχ οὕτως, καὶ ἡ τῆς λύπης αἴσθησις ἐκ τοῦ σύνεγγυς. Τὰ δὲ σωματικὰ ταῦτα κινήματα οὐκ ἰσομέτρως ἀεὶ ἔχοντα ἐπιτάσεις δέχεται καὶ ὑφέσεις, ἄλλοτε ἄλλως· ὥστε κατὰ τὸ μᾶλλον καὶ ἧττον, ἐν τοῖς πάθεσιν, ἡ τῆς ἡδονῆς, ἢ λύπης αἴσθησις ἐστὶν ἀχώριστος.

## Σχόλιον.

§. ωνβ΄. Διακριτέον ἐν τούτοις τὸ ἡδὺ καὶ τὸ λυπηρὸν, ἢ
κατ᾽ ἰδέαν σκοπούμενα, τῶν τοῦ ὀρεκτικοῦ ἐπικλίσεών τε καὶ ἀ-
ποστροφῶν τελικῶς κινητικὰ γίνεται. (§. ωκθ΄.) Διακρι-
τέον δὲ καὶ τὴν ἐκ τῆς ἐπιτυχίας, ἢ ἀποτυχίας τοῦ τέλους
παρεπομένην ἡδονήν τε καὶ λύπην, (§. Αὐτ.) τῶν γὰρ τοιού-
των μετείη ἄν ποτε τῇ ψυχῇ, κἂν ταῖς κατὰ βούλησιν οὔσῃ
λογικὴν ἀπαθεστέραις ὀρέξεσιν. Ὡσαύτως δὲ οὐδὲ περὶ τῶν
κατὰ θεωρίαν ἡδονῶν, οἵας ἐν τοῖς μαθήμασιν ἥδεσθαι φα-
μὲν τὰς ψυχὰς τῶν φιλεπιστημόνων, οὐδὲ περὶ τῶν ἐν ταῖς
„ καλαῖς πράξεσιν, ἃς οὐ πάθη, ἀλλὰ πείσεις καλεῖν εἰώ-
„ θασιν. (2) Εἰ βούλει δὲ καὶ τὰς κατ᾽ αἴσθησιν ψιλὴν ἡ-
δονὰς ἢ λύπης ὧδε μοι ὑπέξελε τῷ λόγῳ, οἷον εἴ τις εὐώ-
δους

(1) Νεμέσ. Περὶ Ἀνθρώπου Κεφ. ιϛ΄.
(2) Αὐτ. Κεφ. ιη΄.

δοῦς ὀσφρησάμενος, ἢ τερπνόντι ἰδών, ἢ γλυκέως ἀπογευσάμενος, ἡδέως διατεθείη τὸ αἰσθητήριον, ἢ γοῦν ἀηδῶς τοὐναντίον, εἰ δυσώδους ὀσφρήσαιτο, ἤτι αἰσχρὸν ἰδεῖν καὶ ἀκαλλὲς ἴδοι, ἢ πικροῦ γάσοιτο, ἢ συφώδους, καὶ τῶν τοιούτων. Περὶ δὲ ἐκείνων μάλιστα ἐκδεκτέον ἐνταῦθα, ἃς ἐν ᾧ τὸ πάθος μετά τινος ταραχῆς ἐπισήμου, ἐν ἡμῖν κρατεῖ, κατ᾽ ἐνδοτέραν τινὰ ἥκιστα λανθάνουσαν ἡμᾶς αἴσθησιν, ἡδονὰς αἰσθανόμεθα καὶ λύπας. Αἱ γὰρ τοιαῦται ὀπαδοί πως εἰσὶ τοῖς πάθεσι, καὶ τούτοις συναύξουσι, καὶ συνεπιδιδόασιν, ἢ συνυφίενται καὶ συναπομαραίνονται ἀναλόγως, ὁποία ποτ᾽ ἂν ᾖ, ἡ ἐν τῷ αἵματι καὶ τοῖς πνεύμασιν ἐπισυμβαίνουσα ἀλλοίωσις, καὶ μεταβολή. Παρὰ δὲ τὰς ὀπαδοὺς δὴ ταύτας τοῖς πάθεσιν οὔσας ἡδονάς τε καὶ λύπας· καὶ ἡ ἐκ θυμηδίας διάθεσις τῆς ψυχῆς, καὶ ἡ ἐκ τῆς ταύτῃ ἀντιθέτου ἀθυμίας, οὐκ ἀπὸ σωματικῆς ἀλλοιώσεως γινόμεναι ἡδοναὶ καὶ λῦπαι εἰσὶν, οὐχὶ τοῖς πάθεσι παρεπόμεναι, πάθη δὲ ἐν τοῖς ἄλλοις μάλιστα τὰ ἐπισημότατα. Τῶν τοίνυν σωματικῶν ἡδονῶν, αἳ τοῖς πάθεσιν ἕπονται, τὴν διανομὴν ἄριστα ὁ Νεμέσιος διαιτήσας ὑπέθετο (1). „ Τούτων
„ αἱ μὲν εἰσὶ ( φησὶν ) ἀναγκαῖαι ἅμα καὶ φυσικαί, ὧν
„ χωρὶς ζῆν ἀδύνατον· ὡς αἱ τροφαὶ αἱ τῆς ἐνδείας ἀ-
„ ναπληρωτικαί, καὶ τὰ ἐνδύματα ἀναγκαῖα. Αἱ δὲ φυσι-
„ καὶ μὲν, οὐκ ἀναγκαῖαι δὲ, ὡς αἱ κατὰ φύσιν, καὶ κατὰ νό-
„ μον μίξεις. Αὗται γὰρ εἰς μὲν τὴν διαμονὴν τοῦ παντὸς
„ γένους συντελοῦσι, δυνατὸν δὲ καὶ χωρὶς αὐτῶν ἐν παρ-
„ θενίᾳ ζῆν. Αἱ δὲ οὔτε ἀναγκαῖαι, οὔτε φυσικαί· ὡς ἡ
„ μέθη, καὶ ἡ λαγνεία, καὶ αἱ πλησμοναὶ τὴν χρείαν ὑ-
„ περβαίνουσαι· οὔτε γὰρ εἰς διαδοχὴν τοῦ γένους ἡμῶν συμ-
„ βάλλονται, ὡς ἡ κατὰ νόμον συνουσία, οὔτε εἰς σύστασιν
„ τῆς ζωῆς, ἀλλὰ καὶ προσβλάπτουσι. Τῷ τοίνυν κατὰ Θεὸν
„ ζῶντι μόνας μεταδιωκτέον τὰς ἀναγκαίας ἅμα καὶ φυσι-
„ κὰς ἡδονάς· τῷ δὲ μετ᾽ ἐκεῖνον, ἐν δευτέρᾳ τάξει τῶν ἀ-
„ ρετῶν τεταγμένῳ, ταύτας τε, καὶ τὰς φυσικὰς μὲν, οὐκ ἀ-
„ να-

(1) Νεμέσιος Κεφ. ιη΄.



„ ναγκαίας δὲ, μετιτέον μετὰ τοῦ προσήκοντος τοῦ μέτρου, καὶ
„ τρόπου, καὶ καιροῦ, καὶ τόπου· τὰς δὲ ἄλλας φευκτέον παν-
„ τὶ τρόπῳ· ἁπλῶς δὲ ἡγητέον ταύτας εἶναι καλὰς ἡδονὰς,
„ τὰς μὴ συμπεπλεγμένας λύπῃ, μήτε μεταμέλειαν ἐμ-
„ ποιούσας, μήτε βλάβης ἑτέρας γεννητικὰς, μήτε τοῦ με-
„ τρίου παραχωρούσας, μήτε τῶν σπουδαίων ἡμᾶς ἔργων ἀ-
„ φελκούσας ἐπὶ πολύ, ἢ καταδουλούσας.

## Θεώρημα ΟΑ΄.

§. ωνγ΄. „ Τὰ πάθη τῷ ζώῳ ἁπλῶς ἐστὶν ἀναγκαῖα·
„ οὐδὲν ἧττον δὲ τῷ ἀνθρώπῳ ἐπωφελῆ ἐστὶ, καὶ ᾗ ἄνθρω-
„ πος, εἰ μὴ εἰς ὑπερβολὰς ἢ διεκπίπτοντα.

Ἐπιτοίνια γὰρ ἐστὶ τῶν ὀρέξεων, αἷς τὸ ζῶον, ὅσα μὲν εἰς σύστασιν τὴν ἑαυτοῦ καὶ σωτηρίαν συντελοῦντα ἐστὶν, ἧπερ ἔχει δυνάμεως, μεταδιώκει, ὅσα δὲ εἰς φθορὰν φέροντα, ἐκκλίνει καὶ διαφεύγει. Ἄρα τὸ Α΄.

Τῷ δὲ ἀνθρώπῳ, ὃς νοῦς ἐστὶ ( Σωκρατικῶς φάναι ) ἐν σώματι, πολλοῖς μὲν προσεκτέον, πολλῶν δὲ ἀφεκτέον, οἷς ἂν ἀλύπως τε καὶ ἀσφαλῶς τὸν σωματικὸν δὴ τοῦτον διανύσειε βίον. Πρὸς ἃ δὴ, κατὰ μέτρον, τὸ ὑπὸ τοῦ λόγου ὁριζόμενον, διεγείρεσθαι πέφυκεν, καὶ κινεῖσθαι. Ἄρα καὶ τὸ Β΄.

## Σχόλιον.

§. ωνδ΄. „ Ἔστι γοῦν καὶ ταῦτα τὰ πάθη συστατικὰ τῆς
„ ζωώδους οὐσίας. Ἄνευ γὰρ τούτων, οὐκ ἔστι συστῆναι τὴν
„ ζωήν. (1) Οὐ γὰρ οὐδ᾽ ἂν τὰς φύσει παρεπομένας αὐτοῖς ἐνδείας πληροῦν, μὴ ὑπὸ πείνης κινούμενα καὶ δίψους τὰ ζῶα, ἐπείγοιτο, καὶ οὐδὲ τῶν οἰκείων ἀντέχοιτο, οὐδὲ τῶν ἀλλοτρίων ἀπέχοιτο, μὴ ὑπὸ μὲν ἐκείνων ἡδέως, ὑπὸ δὲ τούτων ἀη-
δῶς

(1) Νεμέσ. Κεφ. ιε΄.

δῶς διατιθέμενα. Οὐδὲ μὲν οὖν σφίσιν ἀμύνεσθαι, καὶ δια-
σώζειν ἑαυτὰ τῶν πολεμίων, ἐπίμως ἂν ἔχοι, μὴ ὑπὸ
θυμοῦ νυττόμενα, οὐδὲ τοῦ πληθυσμοῦ τοῦ ἑαυτῶν εἴδους φρον-
τίζοι, μὴ πρὸς συνουσίαν ὀργῶντα, οὐδ' αὖ τῶν φυτῶν αὐ-
τοῖς ἐπιμεληθείη, μὴ περιπαθῶς πρὸς αὐτὰ ἔχοντα. Καὶ
τῷ ἀνθρώπῳ δέ, εἴτις κατὰ τοὺς Στωϊκοὺς, πρὸς μηδὲν μὲν
ὄντα χρήσιμα, νοσήματα δὲ ἄττα, καὶ κακώσεις τινὰς εἶναι
ἁπλῶς τὰ πάθη ἀποφαίνοιτο, ἧττον ὁ τοιοῦτος οὐδὲν τῆς ἀ-
ψύχου στοᾶς, κρίνειν ἔοικε τὸν ἄνθρωπον ἐμψυχότερον. Πῶς
γὰρ οὐκ ἀναγκαῖα τῷ ζωτικὸν ἕλκοντι τὸν ἐπὶ γῆς βίον, τὰ
τῆς ζωώδους συστάσεως παρακολουθήματα; Εἰ δὲ καὶ ἀρετὴ
τὸ ἰδιάζον ἀνθρώπῳ, καὶ πρεπωδέστατον, πῶς οὐ συντελῆ ἔ-
σαι αὐτῷ τὰ ὀρεκτικὰ ταῦτα κινήματα, ἃ καὶ πρὸς ἀρετὴν
κοῦφα γίνεται, καὶ ἀρεταὶ ἄντικρυς εἰσίν, εἰ μόνον ὑπὸ τοῦ
ὀρθοῦ εἴη ῥυθμιζόμενα λόγου, μηδ' εἰς ἀμετρίας ἐκπίπτον-
τα; „ ἔοικε γὰρ συνῳκειῶσθαι τοῖς πάθεσι τὴν τοῦ ἤθους
„ ἀρετὴν, ὡς Ἀριστοτέλης φησίν. (1) Ταύτῃτοι οὐδὲ βούλε-
„ ται ὁ λόγος τὸ πάθος ἐξαιρεῖν παντάπασιν. (οὔτε γὰρ
„ δυνατὸν, οὔτε ἄμεινον). Ἀλλὰ ὅρον τινὰ, καὶ τάξιν ἐπι-
„ τιθεὶς αὐτῷ, τὰς ἠθικὰς ἀρετὰς οὐκ ἀπαθείας οὔσας,
„ ἀλλὰ συμμετρίας παθῶν, καὶ μεσότητας ἐμποιεῖ. (2)
„ Τὰ γὰρ πάθεα τᾶς ἀρετᾶς ὕλα· περὶ ταῦτα γὰρ καὶ ἐν
„ τούτοις αἱ ἀρεταί. (3) Καὶ δεῖ τοίνυν ἕξιν τοῦ δέοντος ὑ-
„ πάρχοισαν τὴν ἀρετὴν, καὶ μεσότητα τῶν παθέων, μή-
„ τ' ἀπαθέα, μήτ' ἐκπαθέα ἦμεν· ἁ μὲν γὰρ ἀπάθεια
„ ἀπαρόρμητον καὶ ἀνενθουσίαστον, παρέχεται τὰν ψυχὰν
„ ποτὶ τὸ καλόν· ἁ δ' ἐκπάθεια συντεταραγμένον, καὶ ἀ-
„ νεπιλόγιστον. (4) .... γίνεται γὰρ ἐκ τῶν παθέων ἁ ἀ-
„ ρετὰ, καὶ γεννηθεῖσα πάλιν σὺν αὐτοῖς συνίσταται.....
„ Οὐκ ἀφελεῖν οὖν δεῖ τὰ πάθεα τᾶς ψυχᾶς, οὔτε γὰρ ὠ-
„ φέλιμον, ἀλλὰ συναρμόσασθαι ποτὶ τὸ λόγον ἔχον τῷ
„ δέοντος, καὶ τῷ μετρίῳ.

Σχό-

(1) Ἠθικ. Βιβλ. ί. Κεφ. ή.
(2) Πλούταρχ. Περὶ Ἠθικ. Ἀρετ.
(3) Θεαγὴς ὁ Πυθαγορ. Περὶ Ἀρετῆς.
(4) Αὐτ. Αὐτ.



## Σχόλιον Β'.

§. ωνέ. Οὐχ ἄπο δὲ σκοποῦ τοξεύειν δόξαιμεν οὐδ' ἐνταῦ-
θα, εἰ συντόμως περὶ ἑνὸς ἑκάστου τῶν παθῶν διέλθοι-
μεν, ἅς τε διαφορὰς ἔχει πρὸς ἄλληλα αὐτὰ, καὶ τίνα τὰ
παρεπόμενα ἑκάστῳ ὑποτιθέμενοι. Ἐνστησόμεθα δὲ τὸν λό-
γον ἀπὸ τῆς ἡδονῆς ἀρξάμενοι καὶ τῆς λύπης. Ἡδονὴ καὶ λύπη,
οὐχ ᾗ δὴ τοῖς λοιποῖς τῶν παθῶν ὀπαδοί τινες γινόμεναι
διαθέσεις (§. ωνά. ωνβ'.) ᾗ δὲ, αὐτὸ τοῦτο, πάθη ὄν-
τα καὶ αὐτὰ, τῶν παθῶν ἁπάντων κρίνεται τὰ κεφαλαιωδέ-
στατα, καὶ ἀφ' ὧν, οἱονεὶ ῥιζῶν, τὰ ἄλλα ἔοικεν ἀναφύεσθαι·
„ (1) τῶν γὰρ παθέων ἡδονὰ καὶ λύπα ὑπέρτατα. (2)

## Ἡδονή.

§. ωνϛ'. Ἔστι δὲ ἡδονὴ ἁπλῶς ἡδεῖά τις καὶ φαιδρὰ διά-
θεσις τῆς ψυχῆς, ἐπὶ ἀντιλήψει ἀγαθοῦ παρόντος, ἐπίση-
μον τινὰ ἀλλοίωσιν ἐμποιοῦσα τῷ σώματι. Διὸ καὶ κίνησιν
λείαν αὐτὴν ὡρίσαντο, τῆς κατὰ τὴν λύπην τραχυτέρας οὔ-
σης κινήσεως ἀντιδιαστειλάμενοι. Ἰδιαίτερον δὲ ἡδονὴ ἄλογος
ἐστὶ φασὶν ἔπαρσις· ἡ δὲ χαρὰ εὔλογος ἔπαρσις· καὶ ἀ-
σμενισμὸς ὁ ἐπὶ τοῖς ἀγαθοῖς τοῖς ἀπροσδοκήτοις· καὶ ἡ
ἐπὶ τοῖς τοῦ σώφρονος ἔργοις εὐφροσύνη. Εὐθυμία δὲ, ἡ
ἐπὶ διαμονῇ, καὶ ἀνεπιζητησία παντός. Καὶ ἡ μὲν δι' ὤτων
ἡδονὴ κήλησις· ἡ δὲ δι' ὄψεος τέρψις, οἱονεὶ τρέψις τις οὖ-
σα, καὶ προσβολὴ τῆς ψυχῆς ἐπὶ τὸ ἀνειμένον. Διάχυσις
δὲ, ἀνάλυσις ἀρετῆς. Ἐπιχαιρεκακία δὲ ἡδονὴ ἐπὶ τοῖς τῶν
πέλας ἀτυχήμασιν· ἐπὶ τούτοις δὲ καὶ ἡδονὴ καταστηματικὴ
ἀκούει, ἡ ἐπ' ἀναιρέσει ἀλγηδόνων, καὶ οἷον ἀοχλησία τις οὖ-

σα

(1) Βαϋμεϊστὲρ Πνευματολ. Μέρ. Γ'. Κεφ. ί. §. 133.
(2) Θεαγ. Ἐν τοῖς περὶ Ἀρετ.

σα τελεία. (1) Καὶ οὕτω μὲν Πρόδικος, καὶ οἱ ἀπὸ τῆς Στοᾶς, ἑκάστῳ τῶν ὀνομάτων τούτων ἰδιόν τι σημαινόμενον ὑποτάσσοντες, καὶ νομοθετοῦντες ἄντικρυς τὰ ὀνόματα. „ Τὸ „ μέντοι εἰπεῖν ἡδονὴν χαρὰν οὐχ ἁμάρτημα, ὥσπερ οὐδὲ „ τὴν μονάδα ἀδιαίρετον Σουΐδας φησί. (2)

Γίνεται δέ τις κατὰ τόδε τὸ πάθος τῶν σκευῶν πλατυσμός, καὶ τῶν ἐν αὐτοῖς ὑγρῶν, καὶ τοῦ αἵματος μάλιστα ἀραίωσις, καὶ ἡ κυκλοφορία ταχίων καὶ δαψιλεστέρα, ὡς καὶ πλημμυροῦντος ἐνίοτε τῇ ὑπερβολῇ τοῦ πάθους, καὶ τὴν καρδίαν ἐπικλύζοντος, καὶ θάνατον ἐξαπίνα προμνηστεύεσθαι· τῆς δὲ ψυχῆς γηθομένης ἡ τοῦ πνεύματος διάχυσις, καὶ αὐτὸ φαιδρύνει τὸ πρόσωπον, καὶ τὰ μέλη πάντα οἷον ἀνακουφίζει, καὶ μᾶλλον εὐκίνητα ἀπεργάζεται. Ἀνίσανται γὰρ ὑπὸ χαρᾶς πολλάκις καθήμενοι, καὶ οὐδὲ μένειν οἷοί τε εἰσί, τρέχουσι δέ, καὶ σκιρτῶσι, καὶ χεῖρας ἐπ' ἀλλήλαις ἀνακροτοῦσι, καὶ ᾄδουσι, καὶ τοῖς ἄλλοις ἐντυχεῖν, καὶ προσλαλῆσαι ἀποδίδουσι τὸ θυμῆρες. Οὐ γὰρ οὐδὲ σιγήν, ἡ χαρὰ ἀσπάζεται, οὐδὲ μόνωσιν. Καὶ δαψιλὲς δέ, καὶ καπυρὸν ἐκγελῶσιν, εἰ τύχοι τι μάλιστα τῶν ἀήθων καὶ παρὰ δόξαν συμβαῖνον, ἐφ' ᾧ τὸ τοῦ γέλωτος. Ψυχῆς γὰρ θυμηδούσης ὁ γέλως, κατ' Ἐπίκτητον εἰπεῖν (3) οἱονεί τις ἐστὶν ὑπερέκ-
„ χυσις.

## Λύπη.

§. ωνζ΄. Λύπη ἐστὶ διάθεσις ἀηδὴς τῆς ψυχῆς, ἐπὶ ἀντιλήψει κακοῦ παρόντος, οὐκ ἄνευ σωματικῆς ἀλλοιώσεως. Ἄλογον ὡρίσαντο συστολήν, ἢ δόξαν πρόσφατον ἐπὶ κακοῦ παρουσίᾳ. (4) Καταμεριζομένοις δὲ καὶ ταύτην, ὡς μὲν ἐκ
τῶν

(3) Ὅρα Ἀνδρόν. Περιπατ. Περὶ Παθῶν, καὶ Σουΐδαν ἐν λέξ. Ἡδονή.
(2) Σουΐδ. ἐν λέξ. Χαρά.
(3) Ἐπίκτ. ἐν τῷ Ἐγχειριδίῳ. Κεφ. μγ΄.
(4) Ἀνδρόνικ. Περιπατ. Περὶ Παθῶν.



τῶν ἀποτελεσμάτων καὶ τοῦ μεγέθους, ἄχος μὲν ἐστὶ λύπη ἀφωνίαν ἐμποιοῦσα, ἄχθος δὲ λύπη βαρύνουσα· (1) ὄχλησις δὲ λύπη στενοχωροῦσα· βαρυθυμία δὲ λύπη βαρύνουσα, καὶ ἀναψυχὴν μὴ διδοῦσα. Σφακελισμὸς δὲ λύπη σφοδρά. Ὀδύνη δὲ λύπη ὀξεῖα· ὡς δὲ ἐκ τῶν αἰτίων, ἔλεος καὶ οἶκτος λύπη ἐπ' ἀλλοτρίοις κακοῖς, ἢ ἐπὶ τοῖς παρ' ἀξίαν τεταπεινωμένοις. (2) Φθόνος δὲ λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς, ὧν ἡ μὲν ἀγάπῃ συνῆπται, ἡ δὲ μίσει. Ζῆλος δὲ λύπη ἐπὶ τὸ ἄλλοις ὑπάρχειν, ἡμῖν δὲ μή, ἐν ᾧ καὶ τὸ τοῦ πόθου πάθος ἐμφαίνεται. Πένθος δὲ λύπη ἐπ' ἀοράτου τέλους. Δυσχέρεια δὲ λύπη ἐξ ἐναντίων λογισμῶν. Ἀνία δὲ λύπη ἐξ ἀναλογισμῶν. Μεταμέλεια δὲ λύπη ἐπὶ ἁμαρτήμασι πεπραγμένοις. Σύγχυσις δὲ λύπη τοῦ διορᾶν τὸ ἔργον, τὸ δὲ μέλλον οὐ κωλύουσα. Ἀθυμία δὲ λύπη ἀπελπίζοντος ὧν ἐπιθυμεῖ τυχεῖν. Νέμεσις δὲ λύπη ἐπὶ ἐπαιρομένοις παρὰ τὸ προσῆκον. Δυσφορία δὲ ἐστὶ λύπη μετὰ ἀπορίας τοῦ πῶς χρήσεται τοῖς παροῦσι.

Ἡ δὲ τῷ σώματι κατὰ τὰς λύπας ἐμποιουμένη διάθεσις, τῇ κατὰ τὰς ἡδονὰς ὡς εἰκὸς ἐναντιωτάτη. Στενοῦται γὰρ λυπουμένοις τὰ σκεύη συστελλόμενα, καὶ τὰ ἐν αὐτοῖς ὑγρά, καὶ τὸ αἷμα πρὸ τῶν ἄλλων, καὶ τὸ πνεῦμα, οἷον ἀποναρκεῖ, καὶ ἀμβλύνεται. Διὸ καὶ ὑπερφυῶς ὁ ἐκ Ναζιανζοῦ „ μέγας (3) δεσμὸν καρδίας τὴν λύπην ὠνόμαζε. Κἀντεῦθεν νωθεῖς εἰσί, καὶ ἀμβλεῖς λυπούμενοι, κάτω τε νενευκότες εἰς γῆν καταπίπτειν τὸ ὄμμα, καὶ χαῦνόν τι βλέπον, καὶ λελυμένον ἔχουσιν ὠχριῶσί τε, καὶ βαρὺ στένουσι, καὶ ποτνιῶνται τοῖς ἄλλοις, εἶτα τὴν σιγὴν ἀσπάζονται, καὶ τὴν μόνωσιν, καὶ δακρύουσι δέ, καὶ κόπτονται. Εἰ γάρ τοι, καὶ ταῖς ἡδοναῖς τὰ πολλὰ τὸ δακρύειν φαίνεται παρακολουθοῦν, ἐκ λύπης ἀλλ' οὖν τινος συνανακεκραμμένης καὶ τότε τῇ θυμηδίᾳ. (4) Τὰ δὲ δάκρυα, καὶ τὸ πλεονάζον τῆς λύ-
πης

(1) Νεμέσ. Κεφ. ιθ΄. Καὶ Ἀνδρόν. ὁ Περιπατ. ἐν τῷ περὶ Παθ.
(2) Μέγας Βασίλ. εἰς Ψαλμ. ριβ΄. Δαμασκ. περὶ Πίστ. Κεφ. λά.
(3) Γρηγόρ. ὁ Θεολόγ. παρὰ Ἐλάχῳ ἐν Ἀρμενίᾳ.
(4) Βουδδαῖος ἐν Ἠθικ. Θεολογ. Σελ. 210.

της ἀποφορτίζει, ὡς ἄρα τῇ ἀποθλίψει τοῦ ἐκ τῶν ἀδακρύων ὑγροῦ, τὸ ἐκλελοιπὸς τῆς κινήσεως αὔξοντα. Καὶ ὁ οἶνος
„ δὲ διὰ τὸ πνευματῶδες, διὸ καὶ δότε οἶνον φησὶ (1) τοῖς
„ ἐν λύπαις. Καὶ τὸ τοῖς φίλοις τὰ λυπηρὰ ἐξαγγέλλειν, καὶ διεξιέναι. Κουφίζονται δὲ οἱ λυπούμενοι, καὶ τῶν φίλων
„ συναλγούντων. Διὸ κἂν ἀπορήσειεν αὖτις, πότερον ὥσπερ
„ βάρους μεταλαμβάνουσιν; ἢ τοῦτο μὲν οὔ· ἡ παρουσία δὲ
„ αὐτῶν ἡδεῖα οὖσα, καὶ ἡ ἔννοια τοῦ συναλγεῖν ἐλάττω τὴν
„ λύπην ποιεῖ; (2) ἢ ὅτι τὴν συνέχουσαν ἀχλὺν τῇ συντυχίᾳ, καὶ προσλαλιᾷ διαρριπίζοντες οἷον καὶ διασκεδαννῦντες τῆς καρδίας ἀποσκευάζονται. Διὸ καὶ ὁ Τραγῳδός· (3)

„ Συνάλγησον, ὡς ὁ κάμνων δακρύων μεταδοὺς
„ Ἔχει κουφότητα μόχθων.

Ἰσχυρὸν δὲ ἄλλως τὸ τῆς λύπης ὑποσεῖλαι, καὶ λόγος ὁ δεικνὺς μὴ τοσοῦτον τὸ δεινὸν εἶναι, ἡλίκον δοκεῖ τῷ πάσχοντι. Οὐ γὰρ ἐστὶν (4)

„ Οὐκ ἔστι λύπης ἄλλο φάρμακον βροτοῖς,
„ Ὡς ἀνδρὸς ἐσθλοῦ καὶ φίλου παραίνεσις.

Καὶ γὰρ (5)

„ Ἥδυγε φίλου λόγος ἐστὶ τοῖς λυπουμένοις.

ΠΙ-

(1) Παροιμ. Κεφ. κδ'.
(2) Ἀριστ. Ἠθικ. Βιβλ. θ'. Κεφ. ιά.
(3) Εὐριπίδης ἐν Ἀνδρομέδῃ.
(4) Αὐτ. ἐν Δι[illegible].
(5) Μένανδρος.



# ΠΙΝΑΞ

## ΤΩΝ

## ΕΝ ΤΗ ΨΥΧΟΛΟΓΙΑ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

# ΚΕΦΑΛΑΙΩΝ.

ΚΕΦ. Α'. Περὶ ὧν σφίσιν ἑαυτοῖς προσέχοντες συνίσμεν ἐνεργειῶν, καὶ δυνάμεων. Σελ. 5
ΚΕΦ. Β'. Εἰ αἱ κατὰ τὰς προτεθείσας δυνάμεις ἐνέργειαι τῇ ἁπλῶς σωματικῇ καὶ ἐνύλῳ φύσει προσήκουσι. Καὶ εἰ τὰ τοῦ σώματος πάθη, καὶ ἡ ἐν ἀνθρώπῳ ψυχῇ προσοικειοῦται. 20
ΚΕΦ. Γ'. Τίς ἡ τῆς λογικῆς ψυχῆς Οὐσία; 62
ΚΕΦ. Δ'. Περὶ Δυνάμεων τῆς ἐν ἡμῖν Ψυχῆς· καὶ Πρῶτον περὶ Δυνάμεως Κινητικῆς. 147
Β'. Περὶ Δυνάμεως Αἰσθητικῆς. 154
Γ'. Περὶ Δυνάμεως Φανταστικῆς. 195
Δ'. Περὶ Δυνάμεως Μνημονικῆς, ἢ περὶ Μνήμης. 215
Ε'. Περὶ Δυνάμεως, ἣν ἰδιαίτερον Νοῦν καλοῦμεν. 226
ϛ'. Περὶ Δυνάμεως Ὀρεκτικῆς, καὶ περὶ Θελήσεως, καὶ τῶν παρεπομένων αὐτῇ· ἐφ' οἷς καὶ περὶ Παθῶν. 255